# ΙΩΣΗΦ ΜΟΝΑΧΟΥ
## ΤΟΥ ΒΡΥΕΝΝΙΟΥ

BRU

ΤΑ

# ΕΥΡΕΘΕΝΤΑ

ΑΞΙΩΣΕΙ

ΤΟΥ

ΥΨΗΛΟΤΑΤΟΥ ΚΑΙ ΕΥΣΕΒΕΣΤΑΤΟΥ

ΠΡΩΗΝ ΗΓΕΜΟΝΟΣ ΜΟΛΔΟΒΛΑΧΙΑΣ

ΚΥΡΙΟΥ

ΚΥΡΙΟΥ

1558

ΓΡΗΓΟΡΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ

ΓΚΙΚΑ ΒΟΕΒΟΔΑ

ΔΙ' ΕΠΙΜΕΛΕΙΑΣ

ΕΥΓΕΝΙΟΥ ΔΙΑΚΟΝΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ

ΗΔΗ

ΤΟ ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΝΤΑ.

## ΤΟΜΟΣ Β.

Ἐν Λειψίᾳ τῆς Σαξονίας

ἐν τῇ Τυπογραφίᾳ τοῦ Βρεϊτκόπφ.

Ἔτει αψξη.

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

# ΠΙΝΑΞ
## ΤΩΝ ΕΝ
## ΤΩ Β΄. ΤΟΜΩ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

ΚΑΙ ΤΟΥΤΟΥ ΚΤΗΤΩΡ

### ΜΕΛΕΤΗ.

Περὶ τῆς τῶν Κυπρίων πρὸς τὴν ὀρθόδοξον Ἐκκλησίαν μελετηθείσης ἑνώσεως. Εἴρηται δὲ ἐν τῷ περιωνύμῳ τῆς τοῦ Θεοῦ Σοφίας Ναῷ, ἐν τῷ Συνοδικῷ πρὸς τὴν Σύνοδον. Σελ. 1

### ΛΟΓΟΣ.

Περὶ τῆς ἡμῶν Πίστεως· δι᾽ ἀξιωματικῶν ἐπιχειρημάτων δεικνὺς, ὅτι πασῶν τῶν ἡμῖν ἐγνωσμένων Πίστεων οὐκ ἔστι ταύτης εὐσεβεστέρα. Ἐκφωνηθεὶς ἐν τῷ Βασιλικῷ Κοιτῶνι. Σελ. 26

### ΛΟΓΟΣ Α΄.

Εἰς τὸν Εὐαγγελισμὸν τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Ῥηθεὶς ἐν τῷ Παλατίῳ τῇ Παρασκευῇ τῆς Πέμπτης ἑβδομάδος τῶν Νηστειῶν. Τυχούσης τηνικαῦτα τῆς ἑορ-

τῆς, καὶ ἐπαύριον τελεμένης τῆς ἀκολεθίας τε̃ Ἀκαθίςε. Σελ. 48

## ΛΟΓΟΣ Α΄.

Ῥηθεὶς τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ ἐν τῷ αὐτῷ Παλατίῳ, εἰς τὸ ἔνατον Εὐαγγέλιον τῶν ἁγίων Παθῶν, ἤτοι, εἰς τὸ εἱςήκεισαν παρὰ τῷ Σταυρῷ ἡ Μήτηρ αὐτε̃, κτλ. Σελ. 66

## ΛΟΓΟΣ.

Ἀναγκαίας τινὰς ἀπορίας περιέχων καὶ λύσεις περὶ τῆς τε̃ Θεε̃ Λόγε ἐνσάρκε οἰκονομίας· Ῥηθεὶς ἐν τῷ αὐτῷ Παλατίῳ, καὶ Πρέσβεων ἐκ Περσίδος ἐκεῖσε παρατυχόντων, τῶν περὶ αὐτὰς ἐσχολακότων. Σελ. 92

## ΛΟΓΟΣ.

Ἐν τῷ Τρικλίνῳ τε̃ αὐτε̃ Παλατίε ῥηθείς· Διδασκαλικαῖς χρήσεσι, καὶ Γραφικαῖς ῥήσεσι παριςῶν, ὅτι καὶ ἡ θεία ἐνέργεια, καὶ τοῖς ἀξίοις θεωρεμένη ἔλλαμψις, καὶ ἡ ἐν τῷ Θαβωρίῳ παραδειχθεῖσα χάρις ἄκτιςος. Σελ. 112

## ΛΟΓΟΣ Β΄.

Εἰς τὸν Εὐαγγελισμόν· ῥηθεὶς ἐν τῷ αὐτῷ Παλατίῳ πρὸ τῶν ἑσπερινῶν ὕμνων, μετὰ ἐνιαυτὸν ἀπὸ τῆς τε̃ Α΄. ἐκφωνήσεως. Σελ. 141

## ΛΟΓΟΣ Β΄.

Εἰς τὴν Σταύρωσιν τε̃ Κυρίε ἡμῶν Ἰησε̃ Χριςε̃. Εἴρηται δὲ τῇ Ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ ἐν

τῷ Παλατίῳ τῆς βασιλίδος τῶν Πόλεων, συνελθόντων ἀπείρων, καὶ διὰ τοῦτο λαληθεὶς τεχνικώτερον. Σελ. 161

## ΛΟΓΟΣ Α΄.

Περὶ Συντελείας· Ῥηθεὶς ἐπὶ συνελεύσει τῆς πόλεως ἐν τῷ τῶν ἁγίων Ἀποστόλων Ναῷ, καὶ τοῦ ἑνὸς τῶν Βασιλέων αὐτόθι παρόντος. Διαλαμβάνων φιλοτιμότερον καὶ περὶ τοῦ ἑπτὰ ἀριθμοῦ. Σελ 190

## ΛΟΓΟΣ Β΄.

Περὶ Συντελείας. Λαληθεὶς ἐν τῷ Παλατίῳ ἐπὶ παρουσίᾳ πολλῶν Ἀρχιερέων· τὰς τῶν πολλῶν περὶ ταύτης δόξας ἀποκρουόμενος, καὶ συμπεραίνων, ὅτι εἰμὴ τὸ ἐκπεσὸν ἐκεῖνο τάγμα ταῖς τῶν ἁγίων ψυχαῖς τέλεον ἀναπληρωθῇ, Συντέλεια οὐ γενήσεται. Σελ. 208

## ΛΟΓΟΣ Γ΄.

Εἰς τὸν Εὐαγγελισμόν· ἐν τῷ αὐτῷ ῥηθεὶς Παλατίῳ, μετὰ ἐνιαυτὸν ἕνα τῆς τοῦ Β΄. Λόγου πρὸς τὴν αὐτὴν Ἑορτὴν ἐκφωνήσεως. Σελ. 227

## ΛΟΓΟΣ Γ΄.

Ἐν τῷ αὐτῷ λαληθεὶς Παλατίῳ, κατὰ τὴν ἐφεξῆς τῷ τότε μεγάλην Παρασκευήν· Παριστῶν ἀριδήλως, ὅτι διὰ τὸ πωλεῖσθαι καθ' ἑκάστην τὸ τοῦ Χριστοῦ Σῶμα καὶ Αἷμα παρὰ τῶν οὕτω λεγομένων Πνευματικῶν, καὶ ἀγοράζεσθαι παρ' ἡμῶν, οἴμοι! τὸ ἡμέτερον γένος ἀφα-

ἀφανισμῷ παραδίδοται, καὶ Ἰσμαηλίταις περιπίπτει. Σελ. 244

## ΔΗΜΗΓΟΡΙΑ.

Εἰς τὸ αὐτὸ ῥηθεῖσα Παλάτιον, ἐπὶ παρουσίᾳ τοῦ Πατριάρχου, καὶ τῶν ἐν Τέλει, καὶ τοῦ Κλήρου, καὶ πάσης τῆς Πολιτείας, περὶ τοῦ τῆς Πόλεως ἀνακτίσματος. Σελ. 273

## ΥΠΟΜΝΗΣΙΣ.

Περὶ τῆς τοῦ βίου ματαιότητος ἐκ τῶν ἤδη γραφέντων τοῖς Διδασκάλοις, ῥηθεῖσα τοῖς Βασιλεῦσι, καὶ τοῦ Οἰκουμενικοῦ συνεδριάζοντος τούτοις, ἐπὶ λύπῃ συμβάσῃ. Σελ. 283

## ΠΑΡΑΜΥΘΙΑ.

Ῥηθεῖσα πρὸς τὸν Αὐτοκράτορα ἐν τοῖς Στουδίου, ἐπὶ τῇ τελευτῇ τῆς αὐτοῦ νύμφης Ἄννης· παρουσιάζοντος αὐτόθι τοῦ Πατριάρχου, καὶ τοῦ Βαΐλου, καὶ τοῦ Ποτέστα, καὶ τῶν περὶ αὐτούς. Σελ. 291

## ΛΟΓΟΣ Δʹ.

Ῥηθεὶς ἐν τῷ Παλατίῳ, κατὰ τὴν ἡμέραν τῆς ἁγίας καὶ μεγάλης Παρασκευῆς, περὶ τῆς τοῦ Κυρίου Σταυρώσεως. Σελ. 299

## ΥΠΟΜΝΗΜΑ.

Περὶ Νοός, ἐν τῷ αὐτῷ ῥηθὲν Παλατίῳ. Κεφαλαιώδεσι χρήσεσι διαλαμβάνον ὡς χρὴ τοῦ-

τον καθαίρειν· ἐπεὶ τῶν ἐν τῇ ἡμετέρᾳ ψυχῇ δυνάμεων ἕτος ἐςὶ τὸ κράτιςον καὶ τιμιώτατον. Σελ. 322

## ΛΟΓΟΣ.

Ῥηθεὶς ἐν τῷ τῶν Ἁγίων Ἀποςόλων Σηκῷ, πρὸ τριῶν ἡμερῶν τῆς τῶν ἁγίων Θεοφανίων ἑορτῆς. Σελ. 344

## ΛΟΓΟΣ Α'.

Περὶ τῆς μελλέσης Κρίσεως, καὶ τῆς Ἀϊδίε Μακαριότητος· Εἴρηται δὲ ἐν τοῖς ἁγίοις Ἀποςόλοις, τῇ Κυριακῇ τῆς Ἀποκρέω, συνελθόντων πολλῶν. Σελ. 361

## ΛΟΓΟΣ Β'.

Περὶ τῆς μελλέσης Κρίσεως, καὶ τῆς Ἀϊδίε Μακαριότητος· Ῥηθεὶς καὶ αὐτὸς ἐν τοῖς ἁγίοις Ἀποςόλοις, μετὰ ἑβδόμην ἡμέραν τῆς τε Α'. ἐκδόσεως. Σελ. 385

## ΛΟΓΟΣ.

Εὐχαριςήριος εἰς τὴν Θεοτόκον· Εἴρηται δὲ ἐν τῇ Μονῇ τῶν Ὁδηγῶν, μετὰ τὴν ἐκ τῆς χώρας τῆς Εἰκόνος ταύτης ἐπάνοδον. Σελ. 405

## ΛΟΓΟΣ.

Περὶ Καρτερίας· Εἴρηται δὲ μετὰ τὴν ἀπαλλαγὴν τε πολέμε, ἐν τῇ τῆς Ὁδηγητρίας αὐλῇ. Σελ. 414

Τῶν δὲ δύο ἐφεξῆς Λόγων εὕρηνται μόναι αἱ ἐπιγραφαὶ μετὰ τῶν ἀρχῶν.

## ΛΟΓΟΣ Ε'.

Ῥηθεὶς ἐν τῷ αὐτῷ Παλατίῳ, εἰς τὸ κατὰ τὴν μεγάλην Παρασκευὴν ἐν τῇ ἀκολουθίᾳ τῆς Ἐννάτης Ὥρας, ἀναγινωσκόμενον Εὐαγγέλιον· οὗ ἡ ἀρχή. Ἐπεὶ ἐν ταῖς προῤῥηθείσαις δυσίν. κτξ.

## ΛΟΓΟΣ.

Ἐκφωνηθεὶς ἐνώπιον τῆς Ὁδηγητρίας ἐν τῇ γενομένῃ Λιτανείᾳ, μετὰ τὴν τελείαν τῆς Πόλεως ἀπολύτρωσιν· οὗ ἡ ἀρχή· Ἔργον ἐστὶ ταῖς μελίσσαις. κτλ.

# ΙΩΣΗΦ ΜΟΝΑΧΟΥ
# Ω ΒΡΥΕΝΝΙΟΣ
## ΤΟ ΕΠΩΝΥΜΟΝ
# ΤΩΝ ΣΩΖΟΜΕΝΩΝ ΟΜΙΛΙΩΝ.
## ΤΟΜΟΣ Β.

# ΜΕΛΕΤΗ
ΠΕΡΙ
## ΤΗΣ ΤΩΝ ΚΥΠΡΙΩΝ

πρὸς τὴν ὀρθόδοξον Ἐκκλησίαν μελετηθείσης ἑνώσεως. Εἴρηται δὲ ἐν τῷ περιωνύμῳ τῆς τοῦ Θεοῦ Σοφίας Ναῷ, ἐν τῷ Συνοδικῷ, πρὸς τὴν Σύνοδον.

Ἐγὼ περὶ τῆς γενέσθαι μελετωμένης ταύτης ἑνώσεως, ἐκεῖνο φημί· τίς κοινωνία ἀληθείας πρὸς πλάνην; τί δὲ ἡμῖν καὶ Κυπρίοις κοινόν; Ἐκεῖνοι ἀνέκαθεν ὄντες αὐτόνομος Ἐκκλησία, Ἐκκλησίᾳ ἡμῖν ἀντιθέτῳ περὶ τὰ καίρια τῶν δογμάτων, τὴν αὐτονομίαν ταύτην προδόντες, ὑπόκειν-

ται πάντως, καὶ ἑκόντες ἢ ἄκοντες, ἤδη δουλεύουσιν. Ἡμεῖς δὲ, τίνα πρόσοδον, ἢ ὠφέλειαν παρ᾽ ἐκείνων ἐλπίζοντες εἰς κοινωνίαν αὐτοὺς προσδεξόμεθα; χαιρέτωσαν, ἢ ἐῤῥέτωσαν· ὅτι θέλουσι μὲν ἑνωθῆναι τῇ τῶν ὀρθοδόξων Ἐκκλησίᾳ, ἀλλὰ μενόντων τῶν συνήθων, ὧν ποιεῖν πρὸς τοὺς Λατίνους ὀφείλουσι, πάντων ἀπαρατρέπτων· ἤγουν ἐκείνοις μὲν ὑπείκειν ἔργῳ εἰς τὸν αἰῶνα δουλεύοντας, ἡμῖν δὲ λόγῳ ψιλῷ, καὶ μέλανι μόνον δόξαι ὑποταγῆναι· καὶ αὐτὸ δὲ τοῦτο λανθάνειν ἀεὶ ὅσον οἷόν τε, καὶ μηδέποτε γνωρισθῆναι σαφῶς, ὡς ἂν μὴ κατά τι, τοῖς κυρίοις αὐτῶν τοῖς Λατίνοις προσκρούσαντες, βιασθῶσι, καὶ τὸν σμικρὸν σπινθῆρα τῆς εὐσεβείας, ὃν ἔχειν δοκοῦσι, φανερῶς ἐξομόσασθαι· τοῦτο δ᾽ οὐκ ἔστι τὴν τῶν Κυπρίων Ἐκκλησίαν τῇ Οἰκουμενικῇ συναφθῆναι, ἀλλὰ τὸν Οἰκουμενικὸν, καὶ τοὺς ὑπ᾽ αὐτὸν, λεληθότως τῷ Ῥώμης ὑποταγῆναι. Καὶ πᾶσα δὲ αἵρεσις, ἀμετακινήτων αὐτῇ τῶν συνήθων φυλαττομένων, παρακαλεῖ ἑνωθῆναι τοῖς ὀρθοδόξοις ἡμῖν· καὶ αὐτὸς δὲ ὁ Πάπας οὐδὲν ἄλλο ζητεῖ παρ᾽ ἡμῶν, ἢ τὸ καλεῖν αὐτὸν ἅγιον, καὶ συλλειτουργεῖν τοῖς ἐκείνου ὑπείκουσιν· ὁμολογίαν δὲ πίστεως κεκρυμμένην, ἢ ἐλευθέρας πρὸς δουλεύουσαν Ἐκκλησίαν ἑκούσιον συνυποταγὴν, οὐδ᾽ ὁ μακρὸς ἅπας ἐγνώρισε χρόνος· οὔτε μὴν ὑπέκυψεν ἡ ἀδούλωτος τῶν ὀρθοδόξων Ἐκκλησία ποτέ· οὔκουν οὐδενὶ ὑποκύψει δυναστείᾳ τινὶ, οὐδὲ τοῖς ὑποκύψασι τυραννίδι συνυποκύψει πώς, μὴ λάθῃ καὶ αὐτὴ τὴν ἐλευθερίαν ζημιωθεῖσα, καὶ συγκατασπασθεῖσα τοῖς εἰς τὸν λάκκον κειμένοις, ἀνελκύσαι τούτους ἐκεῖθεν προθυμουμένη.

Τοῦτο δὲ παρ᾽ ἐκείνων ἠγάπων μαθεῖν, πῶς αὐτόνομοι ὄντες, καὶ τὴν αὐτονομίαν πρός τινων βίᾳ ἀφαιρεθέντες, ἢ γνώμῃ καταλιπόντες, ταύτην, ἣν πάλαι προὔδωκαν ὑπισχνοῦνται παρέχειν ἡμῖν, καὶ τηρεῖν ἀπαράτρεπτον, τὴν οὐκ ἐπ᾽ αὐτοῖς; ἢ πῶς δυνήσονται δήπου δυσὶ κυρίοις δουλεύειν, καὶ σφῶν αὐτῶν εἶναι, προδοῦναι φθάσαντες τὸ αὐτόνομον; Πλὴν ἡμεῖς μίαν αὐτονομίαν ἐν Κύπρῳ εἶναι νομίζομεν, οὐχὶ τέσσαρας·

ἐκεῖ

ἐκεῖ δὲ, ὅσοι Ῥωμαίων Ἐπίσκοποι, τοσαῦται παρ' αὐτοῖς καὶ αὐτονομίαι. Ὁ μὲν γὰρ Λεμισοῦ τῶν Ῥωμαίων Ἐπίσκοπος, τῷ τῆς Λεμισοῦ Φραγκεπισκόπῳ ὑποτέτακται μόνῳ· ὁ δὲ τῆς Πάφου, τῷ Πάφου· ὁ τῆς Ἀμμοχώσου, τῷ Ἀμμοχώσου· καὶ ὁ τῆς Λευκωσίας, τῷ Λευκωσίας· ἑτέρῳ δὲ Ῥωμαίων, οὐδεὶς οὐδενί. Ἀλλ' οὐδὲ καθ' αὑτὸν αὐτῶν ἕκαστος αὐτόνομός τις ἐστὶν, ἐπεὶ ἄλλῳ προὔδωκε τὴν ἰδίαν ἐλευθερίαν· ὅθεν καὶ πρὸς ἀλλήλους οἱ πάντες, καὶ ἀνυπότακτοι εἰσὶ, καὶ ἀσύμφωνοι· τίνι οὖν λόγῳ δικαίῳ, εἰς κοινωνίαν αὐτοὺς προσδεξόμεθα; ταυτὶ γὰρ πάντα οὐ τῆς πρὸς ἡμᾶς ὑποταγῆς γνώρισμα, οὐδὲ ὀρθοδοξίας ἴδια, ἀλλὰ σχίσματος. Εἰ δ' ὅτι τυραννούμενοι πάσχουσι ταῦτα, καὶ οὐχ ἑκόντες, διὰ τοῦτο κοινωνίας εἰσὶν ἄξιοι, κοινωνητέον λοιπὸν Καλαβροῖς τε, καὶ Σικελοῖς, καὶ πᾶσιν ἁπλῶς τοῖς ὁπωσοῦν ὑπό του, περὶ τὸ δόγμα τῆς εὐσεβείας τυραννουμένοις· καὶ γὰρ κἀκεῖνοι οὐ θέλοντες πάσχουσιν, ἀλλὰ πάσχοντες θέλουσιν· ἀλλ' οὐδεὶς ὀρθοδόξων ἐστὶν, ὃς τὸν μὴ αἱρούμενον ἀποστῆναι τῆς πλάνης εἰς ἑαυτοῦ κοινωνίαν αἱρήσεται· ὅτι πλάνη κακίας αἰτία, καὶ τῆς προτέρας ἡ δευτέρα καρπός· μᾶλλον δὲ ταύτης ἐκείνη προτρέχει, κἀκείνῃ ταύτῃ συμπλέκεται, καθάπερ μάλα σαφῶς, αὐτή τε τῶν πραγμάτων ἡ πεῖρα διδάσκει, καὶ οἱ τῆς Ἐκκλησίας ὧδε διδάσκαλοι ἀποφαίνονται· ὅτι, φασὶν, οὔτε ἀπὸ διεφθαρμένων δογμάτων, δυνατὸν ἀνενεγκεῖν βίον ὄντα τοιοῦτον, οὔτε μένειν ἐν ὑγιαινούσῃ τῇ πίστει διεφθαρμένον βιοῦντα βίον· διεφθαρμένος γὰρ βίος, πονηρὰ τίκτει δόγματα· καὶ δόγματα φαῦλα, φαῦλον βίον ἀπογεννᾷ· καὶ ὥσπερ ἐν τοῖς βασιλικοῖς νομίσμασιν, ὁ μικρόν τι τοῦ χαρακτῆρος περικόψας, ὅλον τὸ νόμισμα κίβδηλον ἀπειργάσατο, οὕτω καὶ ὁ τῆς ὑγιοῦς πίστεως καὶ τὸ βραχύτατον ἀνατρέψας, τῷ παντὶ λυμαίνεται, ἐπὶ τὰ χείρονα προϊὼν ἀπὸ τῆς ἀρχῆς· καὶ ἡ ὀρθοδοξία, ἅτε σταθμητὶς οὖσα ἠκριβωμένη, τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ ἐπιδέχεται· καὶ χαλεπόν ἐστι, μᾶλλον δ' ἀδύνατον χρῆσθαι, ἢ Θεῷ, ἢ ἀνθρώπῳ, ἢ αὐτῷ ἑαυτὸν, τὸν εὐσεβείας

ἀλλότριον· καὶ τῷόντι δυσχερὲς ἀποθέσθαι πολλῷ χρόνῳ νεμόμενον πάθος, καὶ παραλῦσαι ἕξιν ἱδρυθεῖσαν μακρᾷ συνηθείᾳ· ὁ γὰρ τῷ ἐθισμῷ κεκρατημένος, πρὸς τὸ ἄηθες ἐστὶ δυσμετάβλητος· ὅτι οὐκ ἔστιν ἁμαρτία ἀσυγχώρητος, εἰ μὴ ἡ ἀμετανόητος· ἀμετανόητος δὲ ἁμαρτία, ἡ ἀδιάπαυστος· καὶ ὡς ἰσχύει οὐδὲν ἁμαρτία ἔνθα ἐστὶ μετάνοια, οὕτως ἀνίσχυρος ἡ μετάνοια, ὅπου ἡ ἁμαρτία κατακρατεῖ· καὶ ἔστιν ἁμαρτία πᾶσα πρὸς θάνατον, ἡ ἀμετανόητος· περὶ ἧς κἂν ἅγιος ὑπὲρ ἑτέρου προσεύξηται, οὐκ εἰσακούεται· ὁ τῷ ἀσυγχωρήτῳ συμπράττων, καὶ αὐτὸς ἀσυγχώρητος· καὶ ὁ τοὺς ἁμαρτάνοντας ἐκδικῶν, βαρυτέρως ἐκείνων κολάζεται· τὸν ἀτιμάζοντα ἑαυτὸν, τὶς δοξάσει; καὶ τὸν αὐτὸν χωρίζοντα τοῦ Θεοῦ, τὶς ἀνθρώπων δυνήσεται ἑνῶσαι;

Εἰ δὴ ταῦτ' ἀληθῆ, καὶ οὐκ ἐνδέχεται ἄλλως τὰ πράγματα γίνεσθαι, ἢ ὡς τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῶν ἁγίων αὐτοῦ ἀπεφήνατο, ἀδύνατόν μοι πάντως δοκεῖ, ἔθος διακόσια ἔτη ψυχῶν τοσούτων κατακρατῆσαν, γράμμασιν ἐκκοπῆναι ψιλοῖς. Διάτοι τοῦτο προσήκει μάλιστα ξυρᾶν λέοντα, ἢ τοξεύειν πρὸς οὐρανὸν, ἢ ταῖς χερσὶ τῶν νεφῶν ἅπτεσθαι, ἢ τὰς ὄρνιθας ἀμέλγειν, ἢ τυφλῷ διανεύειν, ἢ νεκρῷ διαλέγεσθαι, ἢ ᾄδειν πρὸς ὄνον, ἢ τὸν πηλὸν ἐκπλύνειν, ἢ τίλλειν ᾠὸν, ἢ θάλατταν ἀροτριᾶν καὶ σπείρειν, ἢ εἰς τὸν ἀέρα πόλιν μεγίστην κτίζειν, ἢ αἰγιαλῷ λαλεῖν, ἢ ἄμμον μετρεῖν, ἢ αἰθίοπα σμήχειν, ἢ πῦρ ξαίνειν, ἢ δικτύῳ ἀνέμους θηρᾶν, ἢ φιλοσοφεῖν ἀγρόταις, ἢ Κυπρίους εἰς κοινωνίαν ὀρθοδόξων προσδέχεσθαι· τὶ δήποτε; ὅτι ἀφ' οὗ Κύπριοι τοῖς Λατίνοις ὑπέκυψαν, τεσσαράκοντα ἔτη πρὸς τοῖς διακοσίοις παρῆλθε· δύο καὶ τεσσαράκοντα Πατριάρχαι τῆς βασιλίδος τῶν πόλεων ταυτησὶ, καὶ ἑπτὰ καὶ δέκα Βασιλεῖς, οἷς πᾶσιν οὐδ' ὄναρ ἐπῆλθε Κυπρίους προσδέξασθαι. Οὓς τοίνυν τοσοῦτοι καὶ τοιοῦτοι, ὡς ἀναξίους εἰς κοινωνίαν τῶν ὀρθοδόξων παρεῖδον, ἡμεῖς ἀρτίως παραδεξόμεθα, ὡς δῆθεν πάντων ἐκείνων καὶ ἁγιώτεροι καὶ σοφώτεροι;

ἄπαγε

ἄπαγε τῆς τοσαύτης ἀγνοίας, ἵνα μὴ λέγω πωρώσεως! τὸ γὰρ προσδέξασθαι τούτους, οὓς αὐτοὶ παρῃτήσαντο, ἀπραξίαν μὲν πάντων ἐκείνων κατηγορεῖ τὴν ἐσχάτην, ἡμῶν δὲ πάλιν ἄκραν ἐλέγχει ἀπόνοιαν. Ὡς ἔγωγε μυριάκις ἂν ἑλοίμην θανάτῳ παραδοθῆναι, ἢ τὴν ὀρθόδοξον Ἐκκλησίαν, (ἥτις γε μόνη τῇ οὐρανίῳ τῶν πρωτοτόκων συνάπτεται) τῇ τῶν Κυπρίων ἡνωμένην ἰδεῖν, ἥτις οὐδὲ Ἐκκλησία ἐστὶ, κατὰ τὸν τῆς ἀληθείας λόγον αὐτόνομος, ἀλλ᾽ ὑποτεταγμένη ἑτέρᾳ κατὰ πολλά.

Ὁ νεύματι μόνῳ τὸν Θεὸν ἀπαρνούμενος, ἀπωλείᾳ ὑπόκειται· καὶ ὁ λόγοις καὶ τρόποις καὶ γράμμασι κινδυνεύων περὶ τὴν πίστιν, πῶς ἔσται ὀρθόδοξος; πῶς δὲ καὶ ἕνωσις ἔσται δυοῖν, μυρίων μεσεμβολέντων ἀμφοῖν; ἢ πῶς μὴ ψευδὴς ἔσται Σύνοδος, τῶν τοῦ ἑνὸς μέρους προσώπων πάντων ἀπόντων; ἐγὼ ζητῶ τὸν διδάξοντα· ἑνουμένῳ γὰρ παντὶ πᾶν ἑνοῦται ἑνούμενον, μηδενὸς διείργοντος μεταξὺ τὰ ἑνούμενα· εἰ δὲ μένει, καὶ πάρεστι τὸ ἀμφότερα διϊστῶν, οὐδαμῶς ἑνοῦται καθάπαξ τὰ διειργόμενα· κἂν ἴσως δόξῃ ἑνοῦσθαι, τοῖς οὐκ ὀξὺ βλέπουσιν· ἕνωσις γάρ ἐστι διεστώτων πραγμάτων κοινωνικὴ συνδρομή· καὶ Σύνοδος ἐστὶν ὑπεναντίων προσώπων ὑπὲρ διαφόρων πραγμάτων συνέλευσις· οἱ δὲ τῶν Κυπρίων Ἐπίσκοποι οὕτοι, μὴ μόνον εἰς ἡμᾶς ἀφικέσθαι, ἀλλὰ καὶ αὐτῆς τῆς Νήσου προβῆναι κωλύονται· πῶς οὖν αὐτῶν μεθ᾽ ἡμῶν ἔσται Σύνοδος; Εἰ δέ τις λέγει, ἐπεὶ μὴ μνημονεύουσι τὸν Πάπαν ῥητῶς οὐδὲν ἡμῶν διαφέρουσι, σύμφημι· πλὴν, ὃ πολλῷ τούτου χεῖρον, ἐγγράφως αὐτὸν, καὶ μεθ᾽ ὅρκου, ἁγιώτατον εἶναι κηρύττουσι, καὶ τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου μόνον διάδοχον ἀληθῆ, καὶ παρὰ πᾶσαν αὐτῶν τὴν ζωὴν ὑποτάσσεσθαι τούτῳ, καὶ μόνοις τοῖς ὑπ᾽ αὐτὸν Ἐπισκόποις, αὐτοί τε, καὶ πάντες οἱ ὑπ᾽ αὐτοὺς ἐπαγγέλλονται· οὐδὲν δὲ κωλύει καὶ αὐτὰ ἐκθέσθαι τὰ ῥήματα δεῦρο, ἃ κατ᾽ ὀφειλὴν ἀπαραίτητον, καὶ παῤῥησίᾳ ὁμολογοῦσι, καὶ στέργειν ὑπισχνοῦνται τοῖς Λατίνοις οἱ Κύπριοι.

„ „ Ἐγὼ ὁ δεῖνα Ἐπίσκοπος τῆς δε τῆς Πόλεως, ἀπὸ
„ ταύτης τῆς ὥρας καὶ εἰς τὸ ἑξῆς, ὑποτάσσομαι τῷ θρό-
„ νῳ τῆς ἐν Ῥώμῃ Ἐκκλησίας· ὁμολογῶ τὸν Πάπαν ἅγιον,
„ καὶ ὑποτάσσομαι καὶ τῷ Κυρίῳ μου τῷ δε Ἀρχιεπισκόπῳ
„ τῆς Λευκωσίας, καὶ τοῖς αὐτοῦ διαδόχοις τοῖς κανονικῶς
„ εἰσιοῦσι· τὸν ἁγιώτατον Πάπαν τῆς ἐν Ῥώμῃ Ἐκκλησίας,
„ καὶ τὴν ἐν Λευκωσίᾳ τῶν Λατίνων Ἀρχιερωσύνην, καὶ
„ πάντας τοὺς αὐτῶν κανόνας, παντὶ τρόπῳ σπουδάσω δε-
„ φανδεύειν καὶ βοηθεῖν, σάλβω ὄρδινε μέῳ, salvo ordine
„ meo· ἤτοι σωζομένης τῆς τάξεώς μου· καὶ ὡς ἂν αὐτῷ
„ ἐγὼ βοηθήσω, οὕτως ἐμοὶ βοηθήσει ὁ Θεὸς, καὶ τὰ ἅγια
„ Εὐαγγέλια. Αὕτη ῥητῶς οὑτωσὶ, καὶ εἰς τὴν Ἀλεξαν-
δρίναν ἐγγέγραπται ἡ ὁμολογία, καὶ ὁ Ὑποψήφιος ταύ-
την ἐνώπιον πάντων ὁμολογεῖ, καὶ διὰ Νοταρίου Λα-
τίνου γραφομένη καθάπαξ, καὶ μάρτυσι τοῖς παρα-
τυχοῦσι, διὰ τὸ στερεὸν, ὡς ἔθος, βεβαιουμένη, τῷ Ὑπο-
ψηφίῳ χειρίζεται· ἤδέπου καὶ γράμμασι τοῖς ἐκείνου
ἐπικυροῦται, οἰκειοχείρως αὐτὴν ὑπογράφοντος, καὶ ὑπὸ
δύο Νομιμαρίων, ταῖς ἡμερησίαις διατυπώσεσι κατα-
στρώννυται· ὡς ἂν μηδὲ βουλομένῳ αὐτὴν ἀπαρνήσασθαι
τῷ ταλαιπώρῳ ἐξῇ.

Ὅτι δὲ ὀρθοδοξίας ἀθέτησις ταῦτα, καὶ πρὸς τοὺς
σχισματικοὺς φανερὰ συγκατάβασις, καὶ τὸ παρ᾽ αὐτῶν
γινόμενον ἔθος σαφῶς μαρτυρεῖ. Προκαθήμενος γὰρ
συνοδικῶς ὁ τῶν Λατίνων Ἐπίσκοπος, παρεστῶτα τὸν
„ Ὑποψήφιον ἐρωτᾷ· ὑποτάσσῃ τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης
ὁ δεῖνα; ὁ δὲ παῤῥησίᾳ εὐθὺς ἀποκρίνεται· ναὶ Δέσποτά
„ μου ἅγιε· τούτου γὰρ ἕνεκεν πάρειμι. Εἶτα μικρᾶς σι-
γῆς γενομένης, πάλιν τοῦ προβιβαζομένου πυνθάνεται
„ ῥητῶς οὑτωσί· ὁμολογεῖς τὸν τῆς Ῥώμης Πάπαν ἅγιον,
„ καὶ τὴν ἁγίαν Ἐκκλησίαν τῆς Ῥώμης ὀρθόδοξον καὶ κα-
„ θολικὴν Ἐκκλησίαν; ὁμολογεῖ καὶ ταῦτα ὁ Ὑποψήφιος·
διὸ καὶ αὖθις ἀκούει· ὁμολογεῖς ἀληθείᾳ τοῦ λοιποῦ πι-
„ στὸς εἶναι, τοῦ τῶν Λατίνων Ἐπισκόπου τῆς Λευκωσίας
„ ἐν πᾶσι, καὶ ἔχειν αὐτὸν κατὰ πάντα, καὶ τιμᾶν ὡς
οἰκεῖον

οἰκεῖον Μητροπολίτην, καὶ πρὸς τούτοις ὅταν κληθῇς " εἰς Σύνοδον ἀπαντᾷν ἀκωλύτως· εἰ δ' οὖν, ὑποκεῖσθαι " ἐπιτιμίοις; καὶ ὅταν ἔλθῃ ὁ Λεγάτος ἀπὸ τοῦ Πάπα τι- " μᾷν ἐκεῖνον μετὰ λιτῆς ἐν τῷ εἰσέρχεσθαι αὐτὸν καὶ ἐξέρ- " χεσθαι, σύ τε καὶ πάντες οἱ ὑπὸ σέ; συνοδεύειν τε αὐτῷ, " καὶ συμπράττειν, καθ' ὃ ἂν χωρήσῃ τὰ δυνατὰ, ὥσπερ " ἄρα καὶ οἱ πρὸ σοῦ; συγκατατίθεται ταῦτα πάντα, καὶ στέργειν ἀπαραβάτως ὁμολογεῖ πάντων ἐνώπιον· καὶ εἰς πίστωσιν προφανῆ τῶν λεγομένων τὸ τηνικαῦτα καὶ πραττομένων, τῶν θείων ἐκεῖ προκειμένων Εὐαγγελίων, πάντων ὁρώντων, ἐκτείνας τὴν χεῖρα, καὶ τιθεὶς ὑπερ- θεν τῶν ἱερῶν ἐκείνων γραμμάτων, ὀμνύει παρὰ πᾶσαν αὐτοῦ τὴν ζωὴν, πάντα φυλάττειν αὐτός τε καὶ πάν- τες οἱ ὑπ' αὐτὸν, ὅσα ῥητῶς, ἐγγράφως τε, καὶ ἐμ- πράκτως, ἐκεῖ παρὼν ἐπαγγέλλεται. Οὕτω γοῦν τελε- σθέντος ἀριδήλως τοῦ ὅρκου, ἱερολογίας χρήζων καὶ προ- βιβάσεως ἐπὶ τούτοις, οἰκειότερον δὲ εἰπεῖν χειρουργίας Λατινικῆς, ὁ μὲν αὐτίκα κλίνει τὴν κεφαλὴν, εἰς γόνα- τα τοῦ Λατίνου, ὁ δὲ θέμενος βίβλον οἰκείαν, ἐπὶ τῆς κο- ρυφῆς τοῦ Ὑποψηφίου, τελεσιουργῶν αὐτὸν ἱερολογεῖ, ψάλλοντος μὲν μετ' ᾠδῆς φιλοτίμου, τὸ δόξα ἐν ὑψίστοις Θεῷ, τοῦ τῶν Λατίνων Κλήρου, διιόντος δὲ, τὴν ἐν τῇ βίβλῳ εὐχὴν μυστικῶς τοῦ Φραγκεπισκόπου· ἧς ὀψὲ τε- λεσθείσης, προσκυνῶν μετ' αἰδοῦς τὸν Ἐπίσκοπον, καὶ ἀσπαζόμενος αὐτὸν εἰς τὴν χεῖρα, καὶ εἰς τὸ στόμα, καὶ εὐλογούμενος παρ' αὐτοῦ, δύο παραλαβόντων αὐτὸν Ἱε- ρέων Λατίνων, καὶ διαβασταζόντων ἔνθεν κἀκεῖθεν, καὶ Νοταρίου προτρέχοντος, ληψόμενος ἄπεισι τὴν Ἐκκλη- σίαν, ἧς Ὑποψήφιος γέγονε· πλὴν οἱ ὀψικεύσαντες τοῦ- τον ἄχρι τῆς Ἐπισκοπῆς τῶν Ῥωμαίων Λατῖνοι, κλεί- σαντες ταύτης τὰς θύρας, καὶ ἱστάμενοι πρὸ πυλῶν, στρεφόμενοι λέγουσι πρὸς αὐτόν· λάβε τὴν Ἐκκλησίαν " ταύτην, ἣν ἐγχειρίζει σοι δι' ἡμῶν ὁ δεῖνα τῶν Λατίνων " Ἐπίσκοπος Ὑποψήφιε. "

Οὕτω γοῦν προβιβάζονται πάντες οἱ τῆς ἐν Κύπρῳ Ἐκκλησίας τῶν Ῥωμαίων Ἐπίσκοποι. Ἀμέλει καὶ κατ'

 ὀφειλὴν

ὀφειλὴν ἀπαραίτητον ἔκτοτε συνερχόμενοι, ὁ τῶν Ῥωμαίων Ἐπίσκοπος, καὶ πάντες οἱ ὑπ' αὐτὸν Κληρικοὶ, κατὰ πᾶσαν ἐπίσημον ἑορτὴν ἐν τῇ Μητροπόλει τῶν Φράγκων συμφοραίνουσι τούτοις, καὶ λειτουργούντων ἐκείνων, ἐπὶ μὲν Ἄμβωνος ὁ πρῶτος τῶν Ἱερέων τὸν Ἀπόστολον, ἐπὶ δὲ τῆς τραπέζης τοῦ βήματος, τὸ τῆς ἡμέρας Εὐαγγέλιον ὁ Ἐπίσκοπος ἀναγινώσκει, πρότερον πρὸς τὸν Λατῖνον εἰπὼν, τὸ καὶ παρ' ἡμῖν σύνηθες, εὐλόγη-
» σον Δέσποτα τόνδε τὸν Εὐαγγελιστὴν, καὶ μετὰ ταῦτα προσκυνήσας ἐκεῖνον, ἅτε συλλειτουργὸν, καὶ τὴν δεξιὰν αὐτοῦ ἀσπασάμενος· εἴς τε ἐξόδους θανόντων, καὶ μνημόσυνα Λατίνων, καὶ οἱ Ἐπίσκοποι καλοῦνται, καὶ εἰς πᾶσαν ἁπλῶς (*) τῶν εἰς ἑορτῆς λόγον, μέγα παρ' ἐκείνοις δοκούντων, οἱ τῶν Ῥωμαίων ἱερεῖς λαλοῦνται αὐτοῖς ὁμοίως, καὶ μισθὸν τῆς συνελεύσεως, καὶ τῆς ἱεροπραξίας αὐτῶν λαμβάνουσιν ἐπίσης τοῖς Λατίνοις, ὡς μηδὲν αὐτοῖς διαφέροντες. Καὶ ταῦτα μὲν κατὰ πρόσληψιν ἴσως, ἢ βίαν, καὶ οὐ πάντη ἑκόντες συγκαταβαίνουσι.

Τὸ δὲ τοὺς προφανῶς διγαμοῦντας χειροτονεῖν, καὶ τοὺς μετὰ τὴν χειροτονίαν εἰς συνοικέσιον δεύτερον ἐρχομένους, καὶ τοὺς παιδοποιοῦντας μετὰ πορνῶν καὶ συνεισάκτων ἀναφανδὸν, παραδέχεσθαι πάντας, καὶ τούτοις συλλειτουργεῖν, οὐ τυραννούμενοι πρός τινος, ἀλλὰ θέλοντες οἴκοθεν πράττουσιν· ὅθεν οὐδεὶς τῶν ἱερᾶσθαι λαχόντων ἐστὶ παρ' αὐτοῖς, ὃς μὴ καὶ παλλακὰς ἐκ τοῦ φανεροῦ κέκτηται, καὶ ζώσης αὐτῷ τῆς νομίμου, καὶ θανέσης μᾶλλον, καὶ πρὸ τοῦ συναφθῆναι νομίμως αὐτῇ· καὶ οὗτοι πάντες ἱερουργοὶ, καὶ τοῖς Ἐπισκόποις συλλειτουργοί· τὸ δὲ αἴτιον, ὅτι καὶ οἱ Ἐπίσκοποι τὴν αὐτὴν αὐτοῖς ὁδὸν διῆλθον, καὶ τοῖς αὐτοῖς ὑπέκυψαν πάθεσι, καὶ μὴ μόνον Λατίνοις, ἀλλὰ καὶ πᾶσι τοῖς ἀνὰ τὴν Νῆσον ἐκείνην Αἱρετικοῖς, εἰς πολλὰ τῶν Μυστηρίων συγκαταβαίνουσι. Καὶ Λατῖνοι μὲν πάντες, καὶ Αἱρετίζοντες οἱ ἐν Κύπρῳ, τὰ ἑαυτῶν συνήθη καὶ δόγματα πάντα φυλάττουσιν ἀπαράτρεπτα, μόνοι δὲ δυστυχῶς οἱ Ῥωμαίων

μαίων Ἐπίσκοποι, καὶ πᾶσιν εἰς πάντας ἐκ μέρους συνυποκύπτουσιν.

Τούτων οὖν οὕτως, ἢ κατὰ νόμιμον ἔγγραφον, ἢ ἀπαραίτητον ἔθος γίνεσθαι πάντως ὀφειλομένων ἐκεῖσε, οὔτε ἀφ᾽ ἑαυτῶν ἐκεῖνοι ἐξελῆσαι δύνανται, τῆς ἐπαράτου ταύτης δουλείας, καίπερ θέλοντες τοῦτο, καὶ παντὶ τρόπῳ σπεύδοντες, ὥς φασιν, οὔθ᾽ ἡμεῖς ταύτης ἐλευθερῶσαι τούτους ἰσχύομεν· κἂν γὰρ οὐρανῷ γῆν μίξωμεν, τὸ τοῦ λόγου, κἂν ὑπερβῆναι τὸν Σολομῶντα δόξωμεν τῇ σοφίᾳ, ἓν γοῦν τῶν ὅσα ὀφείλουσι τοῖς Λατίνοις πληροῦν εἰς λόγον ὑποταγῆς, μὴ κατὰ τὸ ἐξ ἀρχῆς σύνηθες, γίνεσθαι πάλιν ὡσαύτως μετὰ τὴν ἕνωσιν, παρεμποδίσαι ἡμεῖς οὐ δυνάμεθα. Καὶ τί λέγω, χρόνον, ἔθος, ἢ νόμιμον πρᾶξιν μεταποιῆσαι; ὅπου γε οὐδὲ Συνοδικὸν γράμμα τολμήσει τις ἡμῶν ἐκεῖ φανερῶς ἀγαγεῖν· ἓν ἐστὶ μόνον, τὸ, καὶ ἡμῖν ὀλέθριον, κἀκείνοις ἀλυσιτελὲς, ὃ χαρίσασθαι δῆθεν αὐτοῖς ἐξισχύομεν, τὸ ὑποκύψαι ἡμᾶς ἀθλίως τοῖς Κυπρίοις, ἀλλ᾽ οὐχὶ τοὺς Κυπρίους ἡμῖν, καὶ διὰ τῆς πρὸς ἐκείνους συγκαταβάσεως ταύτης, ἀλόγως τῷ Ῥώμης ὑποταγῆναι. Ἐπεὶ τοίνυν τυραννούμενοι ἁμαρτάνουσι, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία βούλεται μὲν παντὶ σθένει χεῖρας τούτοις ὀρέξαι, ἀδυνατεῖ δὲ, παραχωρήσει Θεοῦ, ἐλπίδι ἑνώσεως, καὶ μακρᾷ διορίᾳ, νῦν αὐτοὺς ἀπωσώμεθα· ὅτι οὔτε τὸ δυνατὸν χωρὶς τοῦ συμφέροντος, οὔτε τὸ συμφέρον δίχα τοῦ δυνατοῦ ἀνύειν τι πέφυκε· καὶ ὁ βουλόμενός τι ποιεῖν, μὴ δυνάμενος δὲ, οὐδὲν κατορθοῖ· καὶ αὖθις ὁ δυνάμενος μὲν, μὴ βουλόμενος δὲ, οὐκ ἐπιχειρεῖ· διὸ καὶ ἑκατέρωθέν πως ἀμελεῖται τὰ κρείττονα, διότι οἱ βουλόμενοι οὐ δύνανται, καὶ οἱ δυνάμενοι οὐ βούλονται.

Ἀλλ᾽ ἰδοὺ φησὶν ἐκεῖνοι καὶ λόγοις ὑπισχνοῦνται, καὶ γράμμασι, καὶ σφραγῖσιν ὁμολογοῦσι πάντα στέργειν καὶ πράττειν, ὅσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία φρονεῖ. Ὅτι μὲν οὖν ὑπισχνοῦνται μυρία, καὶ γράμμασί τε καὶ λόγοις ἀπόντες, οἶδα κἀγώ· ὅτι δὲ, οὐδεὶς αὐτῶν παρεῖναι τολμήσει

σει αὐτοπροσώπως κληθεὶς πρὸς ἡμᾶς, ἢ παῤῥησιάσασθαι τὴν εὐσέβειαν, δῆλον ὃ φασὶ καὶ τυφλῷ· καὶ ὅτι πρᾶξαι ὧν ὑπισχνοῦνται οὐδὲν ἐξισχύουσι, τάτε προῤῥηθέντα ἔθιμα πάντα, καὶ αὐτὴ ἡ Ἀλεξανδρῖνα κατηγορεῖ. Ἔχει γὰρ ὧδε κατὰ λέξιν τὰ ἐν αὐτῇ „μὴ ἐχέτω δὲ ἄδειαν ἄλλος τὶς καταδικάζειν τὸν Ῥωμαῖον Ἐπίσκοπον, ἢ κολάζειν, ἢ ἐξορίζειν, ἢ μετατιθέναι ἀπὸ μιᾶς ἐνορίας εἰς ἄλλην, ἢ ἀργὸν αὐτὸν ποιεῖν ἀπὸ τῆς Ἀρχιερωσύνης, εἰμὴ μόνον ὁ τῆς Ῥώμης Ἀρχιερεὺς κατὰ τὸ ἐξ ἀρχῆς δικαίωμα τῆς Ἀποστολικῆς προτιμήσεως· καὶ μετ' ὀλίγα „ἔτι βουλόμεθα τὸν παρόντα Ἀρχιεπίσκοπον Γερμανὸν, μέχρις ἂν ζῇ τῷ Ἀρχιεπισκοπικῷ τιμᾶσθαι ἀξιώματι· μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν, μηδένα εἶναι Ῥωμαίων Ἀρχιεπίσκοπον, πλὴν τοῦ ἐν Λευκωσίᾳ κατὰ καιροὺς εὑρεθησομένου Ἀρχιεπισκόπου Λατίνων. Ἐν δὲ Χριστῷ Ἰησοῦ, ὅς ἐστιν ἡ ἀληθινὴ πάντων εἰρήνη, ἔσονται ἑκάτεροι διὰ τῆς ἑνώσεως καὶ ὁμονοίας ἀλλήλων μέλη, καὶ τῆς αὐτῆς κεφαλῆς ταυτὸ σῶμα· καὶ μετά τινα „ὁ Μητροπολίτης Λευκωσίας, καὶ οἱ κατὰ τόπον Λατῖνοι Ἐπίσκοποι τοσαύτην ἄδειαν ἐχέτωσαν, εἰς τὰς ἀνακρίσεις τῶν ἐν ταῖς ἐνορίαις αὐτῶν εὑρισκομένων Ῥωμαίων, ὅσην ὁ Μητροπολίτης εἰς τοὺς Ἐπισκόπους αὐτοῦ. Συνορᾶς ὅτι διὰ τῆς πρὸς ἀλλήλους ἑνώσεως, ὁ Πάπας αὐτῶν κεφαλὴ, καὶ ἄλλος οὐδείς; καὶ ἓν σῶμα Λατῖνοι καὶ Κύπριοι; καὶ ταῦτα μὲν οὕτω γέγραπται εἰς τὴν Ἀλεξανδρῖναν ῥητῶς, ἣν οὐ δύνανται παραβαίνειν οἱ Κύπριοι, κἂν πολλὰς ὑποσχέσεις, καὶ σφραγίδας ποιεῖσθαι πρὸς ἡμᾶς ὑποκρίνωνται.

Μηδεὶς δέ με οἰέσθω τινὶ κακίᾳ φερόμενον ψεύδεσθαι κατ' αὐτῶν· μάρτυς γάρ μοι ἐστὶν ὁ πάντα ὁρῶν ὀφθαλμὸς, ὅτι τὰ πλείω τῶν εἰρημένων ὀφθαλμοῖς οἰκείοις τεθέαμαι. Ἄλλως τε καὶ τοποτηρητὴς τοῦ Πατριάρχου ἐκεῖσε πεμφθεὶς, ἐφ' ᾧ γυμνάσαι τὰ κατ' αὐτοὺς, οὐ δύναμαι Συνοδικῶς τεταγμένος εἰς τοῦτο, ἅπερ ἴδον καὶ ἔγνων σιγᾶν· τὸ γὰρ σιγᾶν τὴν ἀλήθειαν, χρυσίον

ἐστὶ

ἐςὶ θάπτειν· ὅτι φιλεῖ τὴν ἀλήθειαν ἡ ἀλήθεια· καὶ ἡ τῆς ἀληθείας ἀπόπτωσις, ἀορασία ἐςὶ διανοίας καὶ τύφλωσις. Ὥσπερ γὰρ ὁ τὸ ψεῦδος λαλῶν, μολύνεται τὴν ψυχὴν καὶ τὸ σῶμα, οὕτω καὶ ὁ λαλῶν τὴν ἀλήθειαν ἁγιάζεται ἀμφότερα· καὶ ὃν τρόπον ἡ πίςις κηρύττεται παρὰ πᾶσιν, ὡσαύτως χρὴ καὶ τὴν ἀλήθειαν καταγγέλλεσθαι· οἱ γὰρ σαφῶς τὴν ἀλήθειαν μὴ γινώσκοντες, οὐδ' ἀληθῶς πιςεύειν δύνανται· ἡ γὰρ γνῶσις κατὰ φύσιν προηγεῖται τῆς πίςεως· καὶ πᾶς ὁ δυνάμενος λέγειν τὴν ἀλήθειαν καὶ μὴ λέγων, κατακριθήσεται ὑπὸ τοῦ Θεοῦ· καὶ ταῦτα ἔνθα πίςις ἐςὶ τὸ κινδυνεύόμενον, καὶ τῆς ὅλης Ἐκκλησίας τῶν ὀρθοδόξων ἡ κρηπίς· τὸ γὰρ ἐφησυχάζειν ἐν τοῖς τοιούτοις, ἀρνήσεως ἴδιον· τὸ δὲ ἐλέγχειν, ὁμολογίας εἰλικρινοῦς. Οὐκοῦν διάτι τῶν ὅσα τὴν αἴσθησιν ὑποσαίνει τὴν ἕνωσιν ἀπαναίνομαι ταύτην· ὁ Κύριος οἶδεν ὅτι οὐ ψεύδομαι· ἀλλ' ἐκεῖνο μόνον σφοδρῶς δεδοικὼς, μὴ τοὺς Κυπρίους σῶσαι βουλόμενοι οὐ κατὰ καιρὸν, λάθωμεν καὶ ἡμᾶς αὐτοὺς, καὶ μυριάδας ἀπείρους, μᾶλλον δὲ τούς τε νῦν καὶ τοὺς ἐσομένους ἅπαντας ὀρθοδόξους παραδεδωκότες τῇ ἀπωλείᾳ· καὶ εἴπερ σαφῶς ἠπιςάμην σωθησομένας ἐντεῦθεν, λέγω δὴ ἐκ τῆς μελετωμένης ἑνώσεως ταύτης, τὰς τῶν Κυπρίων ψυχὰς, τὰς νῦν λέγω, καὶ τὰς εἰς τὰς μετ' ἔπειτα γενεὰς, καὶ προὔκειτόμοι χεῖρας ἅμα καὶ πόδας, καὶ πάντα τμηθῆναι τὰ μέλη, οὐκ ἂν τοῦτο παρῃτησάμην παθεῖν· ἀλλὰ καὶ τοῦτο, πρὸς ὃ μέλλω λέγειν, ἔςιν οὐδέν· εἴγε μοι προὔκειτο ἀληθείᾳ ἐκ τούτου ὅπερ εἰμὶ, εἰς τὸ μηδαμῆ μηδαμῶς εἶναι χωρῆσαι, μόνον πάντας αὐτοὺς ἀληθείᾳ σωθῆναι, ἡδέως ἂν τοῦτο κατεδεξάμην· τίς γὰρ εἰμὶ αὐτὸς, ἢ τὸ εἶναί με, πρὸς σωτηρίαν τοσούτων ψυχῶν συγκρινόμενον; ὥςε οὐ διάτι τῶν ἀνθρωπίνων τὴν τοιαύτην ἕνωσιν παραιτοῦμαι, ἀλλὰ διὰ τὸ τῆς πίςεως ἀμετάθετον.

Ἐγὼ δὲ ἐπὶ πᾶσι καὶ τὰς Συνοδικὰς ἀποφάσεις ἐκείνας ςέργεσθαι βούλομαι· λέγω δὴ ταύτας, ἃς ἡμῖν

ἀπιοῦ-

ἀπιοῦσιν ἐς Κύπρον ἡ Σύνοδος ἐνεχείρισεν· ἔχουσι δὲ κατὰ λέξιν ὧδε· „ἐὰν ὁμολογῶσι τὸν Πάπαν τῆς Ῥώμης
„ ἅγιον, καὶ τοὺς ὑπ᾽ αὐτὸν Ἐπισκόπους ἑαυτῶν Ἐπισκόπους
„ ἡγοῦνται, οὐκ ὀφείλετε τούτοις συγκοινωνῆσαι· καὶ ἐὰν τὸν
„ πρὸς Ἱεροσολύμοις ἀναγόμενον, ἀδιάφορον ἡγοῦνται, οὐκ
„ ὀφείλετε τούτοις συγκοινωνῆσαι· καὶ ἐὰν συμφοραίνωσι
„ τοῖς τῶν Λατίνων Ἐπισκόποις (ἐπειδὴ τὸ συμφοραίνειν
„ αὐτοῖς, συγκοινωνεῖν ἐστὶ τούτοις· ὁ δὲ ἀκοινωνήτῳ κοινω-
„ νῶν, καὶ αὐτὸς ἀκοινώνητος ἐστὶν) οὐκ ὀφείλετε τούτοις
„ συγκοινωνῆσαι. Δεῖ μέν τοι καὶ τὴν παρ᾽ ἡμῶν γενομένην πρᾶξιν ἐκεῖ, κἀνταῦθα Συνοδικῶς ὑπαναγνωσθῆναι, ἥτις ἐν τοῖς πρὸς Κρῆτας ἐμοῖς κεῖται συγγράμμασιν, ὡς ἂν γνωσθείη μᾶλλον τὰ κατ᾽ αὐτούς.

Ἀλλ᾽ ὡς ἄν, φησὶ, μὴ δῶμεν αὐτοῖς ἀφορμὴν παντελῶς λατινίσαι, τὴν πρὸς αὐτοὺς ταύτην ἀνεχόμεθα συγκατάβασιν. Ἐμοὶ δοκεῖ ἄλλο τι πρὸ τούτου τοῦ λόγου, καὶ οὐχὶ τοῦτο μόνον λογίσασθαι χρή· ποῖον δὴ τοῦτο; ἐρῶ· μή πως ἐκ τῆς ἀπράκτως πραχθησομένης πράξεως ταύτης, εἰς τὸ παντελῶς λατινίζειν, αὐτούς τε καὶ ἄλλους μυρίους ὠθήσωμεν· τοῦτο δὲ δῆλον ἐντεῦθεν· ὅτι περ ἄχρι τῆς δεῦρο, ἡ ἕνωσις αὕτη ἅτε μόνον μελετωμένη ἐλάνθανε τοὺς πολλοὺς, οὐ μὴν δὲ πραχθεῖσα λήσειν δυνήσεται καὶ εἰς τὸ ἑξῆς· ἀλλὰ καθάπερ τις διάτορος σάλπιγξ περιηχήσει τὰ πέρατα, οὐχ ὡς ἐπράχθη φημιζομένη, ἀλλὰ δυσφήμως πλατυνομένη, λεγόντων, ὡς ἄρα ὁ νῦν Οἰκουμενικὸς, συνάμα τῷ Αὐτοκράτορι, καὶ πᾶσι Μητροπολίταις, καὶ τοῖς ὑπ᾽ αὐτοὺς ἄρχουσι, μετὰ χρονίου καὶ Συνοδικῆς σκέψεως, τῷ Ῥώμης πάντες ὑπέκυψαν. Εἴωθε γὰρ τῶν χειρόνων ἡ φήμη μετὰ προσθήκης ἀγγέλλεσθαι, καθάπερ ἡ τῶν ἀγαθῶν μεθ᾽ ὑφέσεως· ἐπεὶ τῶν ἀνθρώπων οἱ πλεῖστοι κακοὶ, καὶ χαίρει τὸ πλῆθος ἀεὶ μεθ᾽ ὑπερβολῆς ἐξαγγέλλειν, τὰς εἰς τὸ χεῖρον μεταβολάς· οὕτω δὲ καὶ εἰς τὴν Κύπρον τῆς φήμης μάλιστα κηρυσσομένης, βιασθήσονται μὲν τοῦ λοιποῦ προφανῶς λατινίζειν οἱ Κύπριοι, ἅτε φωραθέντες περὶ τὴν τῶν

Λατίνων πίστιν ἐπίβελοι, καὶ ὃ πειρώμεθα πρᾶξαι δῆθεν αὐτῶν εἰς ἀντίληψιν, κρημνὸς ἔσαι τούτοις, καὶ προφανέστατος ὄλεθρος. Οἱ δὲ τὴν Κρήτην, καὶ Ῥόδον, καὶ Λέσβον, καὶ τὰς λοιπὰς Νήσους οἰκοῦντες Ῥωμαῖοι, ὁμοίως Κυπρίοις, τοῖς Φραγκεπισκόποις ὑπείκειν ἀναγκασθήσονται· ἢ καὶ μᾶλλον ἐντεῦθεν αὐτοὶ, εὐλόγου δραξάμενοι ἀφορμῆς, παραπλησίως ἐκείνοις, ζῆν οἴκοθεν προαιρήσονται· ὅτι οὐδὲν οὕτω πρόχειρον ὡς κακία εἰς μίμησιν· κἀντεῦθεν πρόχειρος ἔψεται τοῖς Νησιώταις Λατινισμός· ἐπεὶ εὐζήλωτόν τι καὶ ῥάδιον πρᾶγμα ἡ μοχθηρία· καίγε πλανωμένῳ τῷ ὁμοφύλῳ, συμπλανᾶσθαι τῶν ζώων πέφυκεν ἕκαστον· ὅπερ ἐπὶ τὰς τῶν προβάτων καὶ τῶν ὀρνίθων ἀγέλας προφανέστερον δείκνυται.

Τί μὴ λέγω τὸ χεῖρον; πολλοὶ τῶν ἐνταῦθα δοκούντων λογίων, αὐτίκα μετὰ τὴν ἕνωσιν ἐς Ἰταλίαν προδραμοῦνται, τρόπῳ παντὶ κρατύνοντες τὰ Λατίνων· κἀντεῦθεν Λεγάτοι εὐθὺς ἀπὸ Ῥώμης στωμύλοι, ἢ καὶ λόγων ἔμπειροι, ἐκπεμφθήσονται, καὶ ἄλλα μὲν ἴσως ἐροῦντες εὔλογά τε καὶ ἰσχυρὰ, κατὰ δὲ τὸν εἰκότα λόγον καὶ ταῦτα πρὸ τῶν πολλῶν „ Ὁ ἁγιώτατος Πατὴρ, καὶ « πάντες οἱ ὑπ' αὐτὸν τῆς πρεσβυτέρας Ῥώμης καθολικοὶ, « ἀνεωγμέναις ἀγκάλαις, καὶ χερσὶν ὑπτίαις, τὴν ὑμῶν « ἐπιστροφὴν ἀπεδέξαντο, καὶ προσδέχονται ὑμᾶς ἤδη, ἅτε « γνησίους αὐτῶν ἀδελφοὺς, χαίροντες ἐπὶ τούτῳ μέγα καὶ « διαρκὲς, ὅτι καὶ ἐν τῷ οὐρανῷ μεγίστη γέγονε καὶ γίνεται « χαρὰ ἐπὶ τῇ μετανοίᾳ ὑμῶν, καὶ τῇ ἑνώσει πασῶν τῶν « Ἐκκλησιῶν· ὅτι νενεκρωμένοι ἦτε καὶ ἀνεζήσατε· ἀπολωλότες καὶ εὑρέθητε σήμερον, τῷ τε Θεῷ καὶ τῷ ἁγιωτάτῳ Πατρί. « Πρὸς ταῦτα τί καὶ ἀπολογήσονται οἱ « ἡμέτεροι; ἴσως ἐροῦσιν ἀρνούμεθα τοῦτο· ἀλλὰ τὰ γράμματα ὑπογεγραμμένα Συνοδικῶς, καὶ πρὸς Πατριάρχου καὶ Βασιλέως ἐσφραγισμένα, βιάσονται τούτους καὶ ἄκοντας σιωπᾶν· καὶ ἔσαι ἀνάγκη, ἢ πάντας καθαιρεθῆναι τοὺς ὑπογράψαντας ταῦτα, ἢ πάντας ἐνδίκως ἀφορισθῆναι, ἢ λατινίσαι τοὺς πάντας, ἢ εἰς μυρία σχίσματα

μερισθή-

μεριαθῆναι τὸ ἡμέτερον γένος, καὶ ἕως αἰῶνος καὶ αὐτὸν αἰσχυνέσθαι τὸν ἥλιον ὁρᾷν. Καὶ ταῦτα κατηγορούντων ἐκείνων σὺν λόγῳ πεισόμεθα, ὅπου γε καὶ μηδενὸς ἐγκαλοῦντος, ἀληθείας δικαζούσης καὶ καθαρᾶς συνειδήσεως, τοῖς τοῦ Πάπα οἰκείοις, καὶ ἄλλως ἀκοινωνήτοις ἡμῖν, συναρίθμιοι πάντως καὶ ἐσόμεθα καὶ κριθησόμεθα.

Ἡμῖν μὲν οὖν ταῦτ' ἐπακολουθήσει, καὶ πλείω, ἐκ τῆς πραχθησομένης ἀπράκτως ἑνώσεως ταύτης, ὅπερ καὶ ἔφθην εἰπὼν, εἴπερ ἐγκαταλείψει Θεοῦ αὐτὴ γένηται· τοῖς δέ γε Κυπρίοις σύγχυσις ἅμα καὶ διωγμὸς ἕψεται πρός τε τῶν αἱρετιζόντων ἐκεῖ, καὶ τῶν τῆς Νήσου πάσης Ἀρχόντων, καὶ τῶν Φραγκεπισκόπων αὐτῶν· καὶ μάλιστα νῦν, ὅτε ὁ τοῦ Ῥηγὸς αὐτάδελφος τῷ τῆς Ἀρχιεπισκοπῆς τετίμηται ἀξιώματι, καὶ τῇ κοσμικῇ ἀρχῇ τὰ τῆς Ἐκκλησίας τῶν Λατίνων εἰς πάντα συνέρχεται· ὥστε καὶ ἄκοντες ἔργῳ ἐπαρνήσονται πάλιν, ἃ φυλάττειν πρὸς ἡμᾶς ὡμολόγησαν μέλανι. Πολλοὶ δ' αὐτῶν καὶ εἰς ἀπιστίαν ὑποπλαισθέντες ἐκ τούτων, ἐτασμοῖς καὶ φρουραῖς καὶ θανάτοις δοθήσονται· ἐπαπειληθήσεται δὲ καὶ εἰς τὸ ἑξῆς, μηκέτι τοὺς ἐκ τῆς Πόλεως προσδέχεσθαι Κληρικοὺς ἐν πάσῃ τῇ Νήσῳ· καὶ ἁπλῶς οὐδὲν ἔσαι τὰ τῆς ἑνώσεως, εἰ μὴ ἀπάτη πρότερον ἡμετέρα, καὶ ὕστερον τῶν Κυπρίων πρὸς ἡμᾶς ἐπικαύχησις, καὶ τοῦ κοινοῦ γένους ὄνειδος, ὡς εἰκῇ καὶ μάτην κοινωνησάντων αὐτοῖς. Ἐπεὶ τοίνυν διαιρέσεων καὶ σχισμάτων αἰτία, καὶ κατ' ἀντίφρασιν ἕνωσις, οὐχὶ κατ' ἀλήθειαν, ἡ πρὸς τοὺς Κυπρίους ἡμῶν συγκατάβασις δείκνυται, ἀφεθήτωσαν μένειν ἐφ' οἷς ἡρετίσαντο, μήπως τούτους ἀνασπάσαι τοῦ λάκκου πειρώμενοι, συγκατασπασθῶμεν αὐτοῖς εἰς ἀπώλειαν. Ἐμοὶ τὸ κινεῖν κακὸν εὖ κείμενον, ταράττειν φαίνεται βόρβορον· καὶ καλόν μοι δοκεῖ τὸ τῷ κρημνιζομένῳ χεῖρα διδόναι, εἰ ἔσι μὴ συναπολέσθαι αὐτῷ κινδυνεύοντι· οἶδε τῷ δοκεῖν συμπάσχειν τὸ πάσχειν ἀκόλουθον, τὸ οἰκεῖον συμφέρον σπουδασέον ἐν ἅπασιν· ἐπεὶ πολλοὶ τῆς πίσεως, ἢ τῆς ἀρετῆς ἐκπεσόντες, καὶ τοὺς λοιποὺς ὑποσκελίζειν

σκελίζειν σπουδάζουσιν, ἵνα μὴ μόνοι ἐν ἀσχημοσύνῃ διατελῶσιν· ὅτι μὴ κοινωνεῖν ἁμαρτίαις ἑτέρων τοῦ θείου Παύλου φωνή· καὶ ὁ τοῖς ἀκοινωνήτοις κοινωνῶν, καὶ αὐτὸς ἀκοινώνητος, τῶν Ἀποστόλων πάντων ἀπόφασις· τὸ μὲν γὰρ φιλάνθρωπον καὶ Θεῷ φίλον, καὶ πρέπον ἡμῖν· καὶ δεῖ τὰ χρηστὰ καὶ συμβουλεύειν, καὶ σπουδάζειν, καὶ ἐπεύχεσθαι ἕκαστον ἑκάστῳ, καὶ ἅπασιν ἅπαντας· ἐπαινετὴ γὰρ ὄντως, ἡ τοιαύτη διάθεσις· τῷ δὲ δῆθεν ἄλλους ἐλεεῖν, βρόχοις δυσεκλύτοις ἐμπλέκεσθαι, καὶ κακοῖς ἐμπίπτειν ἀφύκτοις τῷ βοηθεῖν ἐθέλειν ἑτέροις, οὐ μόνον οὐκ ἐπαινετὸν, ἀλλὰ καὶ πλείστης καταγνώσεως ἄξιον· καὶ ὁ τοῖς ἑκουσίως ὑπείκουσιν ἑκοντὶ ὑπείκων, οὐχ ἧττον ἀλλὰ μᾶλλον ὑπόκειται· καὶ μυρίοι ἀκαίρως σπουδάσαντες σῶσαι πολλάκις ἑτέρους, ἑαυτοὺς προσαπώλεσαν.

Ἔστι κακὴ ὁμόνοια, καὶ καλὴ διαφωνία· ἔστι χισθῆναι καλῶς, καὶ ὁμονοῆσαι κακῶς· οἷς γὰρ ἡ φιλία ἀπωλείας πρόξενος, τούτοις τὸ μῖσος ἀρετῆς ὑπόθεσις γίνεται· καὶ κρείσσων ἐμπαθοῦς ὁμονοίας, ἡ ὑπὲρ ἀπαθείας διάστασις· καλὸν τὸ εἰρηνεύειν πρὸς πάντας, ἀλλ᾽ ὁμονοοῦντας πρὸς τὴν εὐσέβειαν· ἡ γὰρ εἰρήνη μετὰ μὲν τοῦ δικαίου καὶ πρέποντος, κάλλιστον ἐστὶ κτῆμα καὶ λυσιτελέστατον, μετὰ δὲ κακίας, ἢ δουλείας ἐπονειδίστου, πάντων αἴσχιστόν τε καὶ βλαβερώτατον. Ἐπεὶ οὐδεὶς δύναται κτήσασθαι τὴν ἀγάπην τῶν πονηρῶν καὶ κακῶν, χωρὶς κακίας καὶ πονηρίας· μεγάλη δὲ ἀρετὴ τοῦ δικαίου, ὅταν ἔχῃ τοὺς τοῦ Θεοῦ ἐχθροὺς, ἐχθρούς· καὶ τοὺς αὐτοῦ φίλους, φίλους· ὥσπερ μεγάλη κακία ἁμαρτωλοῦ, ὅταν τοὺς τοῦ Θεοῦ φίλους ἔχῃ ἐχθροὺς, καὶ τοὺς ἐχθροὺς αὐτοῦ φίλους. Ἡμεῖς οὖν μνημονεύοντες τῶν τοῦ Κυρίου λόγων, ὧν εἴρηκε πρὸς ἡμᾶς λέγων „ μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν, ὅτι οὐκ ἔστι δοῦλος μείζων τοῦ Κυρίου αὐτοῦ· εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι· καὶ ἐν τῷ κόσμῳ ὄντες θλῖψιν ἕξετε· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ· ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται·

θήσεται· τέτοις ςοιχέντες τοῖς ῥήμασι, πάντα ςέγομεν εἰρlωαίως, τὰ παρὰ τῶν ἐκτὸς ἡμῖν ἐπαγόμενα, καίπερ δεινοῖς ἀπείροις περιςοιχέμενοι διὰ βίε, ὡς μηδενὸς καινε γινομένε, ἢ ἄλλων παχόντων, τῇ τε Χριςε χάριτι πάντα φέρομεν ἀνδρικώτατα, μηδενὶ τῶν προσιςαμένων ὑπείκοντες· τίνος χάριν; ἢ τοῖς ἅπασι πρόδηλον, ὅτι τέτο ἐςὶ μόνον τὸ εἶναι ἡμῖν, ἡ ὀρθόδοξος πίςις ἡμῶν· αὕτη πλέτος ἡμῶν, αὕτη δόξα, αὕτη γένος, αὕτη ςέφανος, αὕτη καύχημα· ἓν βάπlισμα, μία πίςις ἡμῖν, Ἐκκλησία μία, καὶ Θεὸς εἷς δοξάζεται τρισυπόςατος· καὶ οἱ μὴ ἕτω πιςεύοντες, ἀπολέσθωσαν. Οὐκ ἀρκεῖ τοιγαρεν Ἀνατολῆς καὶ Δύσεως ἡμᾶς ἐκπεσεῖν, γῆς καὶ θαλάσσης ὁμε, κινητῶν τε καὶ ἀκινήτων κτημάτων, καὶ τῶν τε βίε χεδὸν ἡδέων, ἀλλὰ προσαφελεῖν ἡμῶν ὁ δαίμων διὰ Κυπρίων πειρᾶται καὶ αὐτlὼ τlὼ εὐσέβειαν; αὕτη ἡ βελὴ ε μὴ γένηται· κἂν δόξῃ προβlῶαι, ὥσπερ πομφόλυξ ἀφανιθήσεται· φησὶ γὰρ ὁ Κύριος, ἄρα ἐλθὼν ὁ Υἱὸς τε Θεε, εὑρήσει τlὼ πίςιν ἐπὶ τῆς γῆς, δηλαδὴ τlὼ ὀρθόδοξον· καὶ ἡ ἀδιώατος ἀπόφασις ἄκυρος ἐςὶ, κἂν μυριάκις ἀποφανθῇ· καὶ ἐὰν κατὰ φύσιν ε διώαται τελεσθlῶαι, ε χρεία κατ' αὐτῆς ἐκκαλεῖσθαι λοιπόν· περὶ γὰρ τῶν ἀδιωάτων ἐδεμία ἐςὶν ἐνοχή· ὅτι ἐδενὶ νόμῳ βεβαιεται, τὸ τῇ φύσει τῶν πραγμάτων κεκωλυμένον.

Δεῖ δὲ κἀκεῖνο σκοπεῖν, ὅτι τὸ ἔργον τέτο, εἰ μέλλει τε προσήκοντος τέλες τυχεῖν, δεῖται καὶ Τοποτηρητῶν παρεσίας ἐνταῦθα, τῶν ἁγιωτάτων ἀπὸ Συρίας Πατριαρχῶν· δεῖται καὶ ἐπιδημίας, ἢ τῶν δῆθεν μετανοέντων ἐκείνων Κυπρίων, ἢ κἂν ἑτέρων προσώπων ἀξιολόγων τὲς τόπες τηρέντων αὐτῶν· δεῖ δὲ καὶ πάντας αὐτοπροσώπως ἐνταῦθα, ἢ τὲς πλείες παρεῖναι τῶν Μητροπολιτῶν, καὶ μὴ τρισὶ συλλαβαῖς ὁρωμέναις ἐν μέλανι, πᾶν δοκεῖν κατορθεν τὸ ζητέμενον. Ἦ γὰρ ε πρόδηλον ἅπασιν, ὅτι ἐν πάσαις ταῖς τοιαύταις Συνόδοις, πολλὰ μὲν δεῖ εἰπεῖν τῶν σιωεδρευόντων ἕκαςον,

πολλὰ

πολλὰ δὲ καὶ ἀντακοῦσαι, καὶ λύσαι τὰ ὑποπίπτοντα, καὶ ἀνθυπενεγκεῖν τὰ ὑφορμῶντα, ὧν οὐδὲν δύνανται ἐν τοῖς γράμμασι γνῶμαι μονότροποι καὶ ἀργαὶ καὶ ἄψυχοι, ἐν τῷ χάρτῃ διερριμμέναι; ἀπολογίαι γάρ εἰσι πρὸς κατηγορίας ἀνεξετάστους, καὶ ἀποφάσεις πρὸς κρινομένους μὴ φαινομένους, καὶ δικαιώσεις πρὸ κρίσεως· καὶ σιγῶ λέγειν, ὡς καὶ ὑποψίας πλήρεις, καὶ λειποταξίου ἐγγὺς ἅπασαι αἱ κατ' ἰδίαν, καὶ μὴ συνοδικῶς γραφόμεναι γνῶμαι παρά τινων.

Εἰ δὲ προβάλλοιντο δῆθεν οἱ δικαιοῦντες αὐτοὺς, οἷα συκίνην ἐπικουρίαν λέγοντες, εἰ ἕνα ἁμαρτωλὸν αὐτῷ προσερχόμενον, οὐκ ἀποστρέφεται ὁ Χριστὸς, ἀλλὰ προσδέχεται φιλανθρώπως, καὶ εἰς τὴν ἑαυτοῦ βασιλείαν εἰσάγει, ἡμεῖς τοσαύτας μυριάδας χριστιανῶν προσερχομένων τῇ Ἐκκλησίᾳ, πῶς ἀποστραφησόμεθα; καὶ εἰ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἐν οὐρανῷ χαρὰ γίνεται, πόση χαρὰ καὶ εἰς τὸν οὐρανὸν ἅμα, καὶ εἰς τὴν γῆν, καὶ γενήσεται καὶ ἔσται, εἰ τοὺς Κυπρίους εἰς ἕνωσιν προσδεξώμεθα; εἴδὴ ταῦτα, ἤ τινὰ τοιαῦτα προβάλλοιντο, ἑτοίμως ἂν πρὸς ταῦτα αὐτὸ τὸ δίκαιον ἀποκρίνοιτο· ὅτι τὸν ἐπὶ ταῖς ἑαυτοῦ ἁμαρτίαις μετανοοῦντα, καὶ πρὸς τὴν ἀρετὴν ὁλοχερῶς ἐπιστρέφοντα μόνον προσδέχεται ὁ Θεός· καὶ περὶ τῆς τούτου ἐπιστροφῆς ὁμολογουμένως οἱ Ἄγγελοι χαίρουσι· καὶ αἱ τοῖς πάθεσι προκατειλημμέναι ψυχαὶ τότε σώζονται, ὅταν ἀρθῇ ἀπ' αὐτῶν, τὰ δι' ὧν τῆς ἀπωλείας μετέχουσιν· ἀναφαιρέτων δ' ἐκείνων μενόντων, κατ' οὐδὲν ἧττον καὶ αὖθις ἀπόλλυνται, μηδὲν ἐκ τῶν γραμμάτων, ἢ τῶν λόγων ὠφεληθεῖσαι, ὧν εἰκῇ καὶ μάτην, ἤ τισιν αὗται, ἤ τινες αὐταῖς ἐχαρίσαντο· ὅθεν οὐδὲ χαρὰ περὶ τούτων ἕπεται τοῖς Ἀγγέλοις, ὅτι οὐδ' ἐπιστροφὴ τοῖς ἁμαρτήσασι προηγήσατο· ὅπου γὰρ τὸ πρῶτον τούτων οὐκ ἔστιν, ἐκεῖ καὶ τὸ δεύτερον ἄπεστιν. Ὅτι δὲ νόμιμα ταῦτα καὶ δίκαια, μάρτυρες ἅπαντες οἱ ὀρθοδοξοῦντες Ἐπίσκοποι, οἱ πάντα τὸν ὁτιοῦν ἁμαρτόντα θανάσιμον κρίμα, καὶ κοινωνῆσαι βουλόμενον τού-

τοις ἐξαγορεύοντα τὸ ἁμάρτημα, μεταδοῦναι αὐτῷ τῶν φρικτῶν μυστηρίων οὐ δύνανται, εἰ μὴ τῆς ἀθέσμου πράξεως ἐνεργείᾳ πρότερον ἀποστῇ· κἂν μυρία ῥήμασί τε καὶ γράμμασιν ἐπαγγέλληται· ὅτι πᾶς λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται καὶ κενόν· καὶ τὸ λέγειν ἀντὶ τοῦ πράττειν, οὐδὲν ἐστίν· εἰ δέ τις τοῦτο τολμήσει, τῇ αὐτῇ τῷ ἁμαρτόντι κολάσει ὑπόκειται. Εἶτα τῶν μὲν δεχομένων τοὺς λογισμοὺς ἕκαστος, οὐδενὶ τῶν προσερχομένων αὐτῷ δίδωσι κοινωνίαν, εἰ μὴ τῆς δι᾽ ἣν εἴργεται ταύτης ἁμαρτίας ἀπόσχηται, ἡμεῖς δὲ μυριάδας τοσαύτας, μὴ δυναμένας ἀποστῆναι προδήλου πλάνης, εἰς κοινωνίαν παραδεξόμεθα; καὶ πῶς μὲν οὐκ εὔηθες τοῦτο, πῶς δὲ οὐκ ἄτοπον; Εἰ γὰρ τοὺς ἐμμένοντας ταῖς πλάναις, ἢ μὴ δυναμένους, ἢ μὴ θέλοντας τούτων ὁλοχερῶς ἀποδράσαι, εἰς κοινωνίαν παραδεξόμεθα, ὥρα λοιπὸν Ἀρμενίους, Ἰακωβίτας, Νεστορίους, καὶ πρόγε πάντων τὰ τῶν Λατίνων ἔθνη, εἰς ἡμῶν κοινωνίαν προσδέξασθαι· ὥρα καὶ πάντα ἀνίερον, καὶ ληστὴν, καὶ φονέα, τῶν κακῶν μηδόλως ἐχολακότας προσδέχεσθαι· πλὴν ἐνταῦθα οὐ μόνον περὶ παθῶν ἡμῖν ἐστὶν ἡ διαφορὰ, ἀλλὰ καὶ περὶ δογμάτων, καὶ πίστεως, καὶ ἀποχῆς τῶν ἐξ ἐναντίας· τίς γὰρ συμφώνησις ἡμῖν, καὶ τοῖς μετὰ πάντων αἱρετικῶν συνοικέσια, καὶ ἀναδοχὰς ἐκ βαπτίσματος ποιουμένοις, Νεστοριανῶν λέγω, καὶ Σαβελλίων, Ἀρμενίων τε καὶ Ἀρειανῶν, καὶ Μονοθελητῶν, καὶ ἑνὶ λόγῳ τοῖς κοινωνοῦσιν ἀκοινωνήτοις, καὶ μηδοπωσοῦν ἀποστῆναι τῆς ἁμαρτητικῆς συνηθείας ἰσχύουσι;

Κεφάλαιον τοῦ λόγου· εἰ μὲν ἁπάντων ἐκείνων, μετὰ τὴν πρὸς ἡμᾶς ἕνωσιν, ἀποστῆναι δύνανται, δι᾽ ὧν τόσα καὶ διακόσια ἔτη τῆς ἡμῶν κοινωνίας ἀφίσαντο, πᾶς ὁ μὴ προσδεχόμενος τούτους ἐπικατάρατος τῷ Κυρίῳ, καὶ ἤτω ἀνάθεμα· εἰδὲ ταυτὰ τοῖς προτέροις καὶ χείρω, τὰ μὲν ἑκόντες, καὶ τῇ μακρᾷ συνηθείᾳ ἑπόμενοι, τὰ δ᾽ ἄκοντες, καὶ τῷ ἐγγράφῳ νόμῳ τῷ πρὸς Λατίνους παντὶ τρόπῳ καταδελέμενοι πράξουσι πάλιν, τί καὶ

ἡμᾶς

ἡμᾶς αὐτοὺς ἀπατῶμεν, καὶ βιαζόμεθα μιγνύναι τὰ ἄμικτα; οὐκ ἔστιν ἕνωσις αὕτη οὐκ ἔστιν, οὐδὲ μετάνοιά τις, οὐδ' ἐπιστροφὴ πρὸς ἡμᾶς τῶν Κυπρίων, ἀλλ' ἐπήρεια δαίμονος μόνη, καὶ διαίρεσις χείρων τῆς πρώτης, καὶ σχίσμα ὁλικὸν, οὐχὶ μερικὸν, καὶ προσθήκη τῆς αὐτῶν ἁμαρτίας ἐσχάτη· ὅτι οὐ μόνον οὐκ ἀφίστανται τῶν ἐφ' οἷς τόσα ἔτη ἡμάρτανον, ἀλλὰ καὶ ἡμᾶς κοινωνοὺς ἑαυτῶν εἰς αὐτὰ προσλαβεῖν δοκιμάζουσιν.

Ἀλλ' ὡς ἂν μὴ πιθανά τισι δόξω λέγειν, καὶ οὐκ ἀληθῆ, ἐπὶ τὰ τῶν ἁγίων ἄπειμι, ταυτὸν δ' εἰπεῖν τοῦ Πνεύματος τοῦ ἁγίου ῥητά.
Εἴτις ἀκοινωνήτῳ, κἂν ἐν “
οἴκῳ συνεύξηται, καὶ οὗτος ἀφοριζέσθω· δέκατος τῶν Ἀπο- “
στόλων κανών. Μὴ ἐξεῖναι δὲ κοινωνεῖν τοῖς ἀκοινωνήτοις, “
μήτε κατ' οἴκους εἰσιόντας συνεύχεσθαι, δεύτερος τῆς ἐν “
Ἀντιοχείᾳ. Ὅτι οὐ δεῖ αἱρετικοῖς, ἢ σχισματικοῖς συνεύχε- “
σθαι, δεύτερος καὶ τριακοστὸς ἐν Λαοδικείᾳ. Ὧν τὸ φρό- “
νημα ἀποστρεφόμεθα, τούτων καὶ ἀπὸ τῆς κοινωνίας προ- “
σήκει φεύγειν, τοῦ μεγάλου Βασιλείου φωνή· ᾗ καὶ συνᾴ- “
δων ὁ Θεολόγος Γρηγόριος δίεισιν οὑτωσὶ „ μηδεὶς οἰέσθω με “
λέγειν, ὅτι πᾶσαν εἰρήνην ἀγαπητέον· οἶδα γὰρ ὥσπερ “
στάσιν τινὰ βελτίστην, οὕτω καὶ βλαβερωτάτην ὁμόνοιαν· “
ἀλλὰ τήν τε καλὴν καὶ ἐπὶ καλῷ συνάπτουσαν. Τούτων “
δὲ πάνυ σαφέστερον, ὁ Χρυσορρήμων φησίν· εἰ γὰρ ἐν τοῖς “
μέλεσι τὸ σεσηπὸς, καὶ ἀνιάτως ἔχον ἐκκόπτομεν, φο- “
βούμενοι μὴ καὶ τὸ λοιπὸν τὴν αὐτὴν λύμην ὑποδέξηται “
σῶμα, καὶ ποιοῦμεν τοῦτο οὐκ ἐκείνου καταφρονοῦντες, ἀλ- “
λὰ τὸ λοιπὸν διαφυλάξαι μᾶλλον βουλόμενοι, πόσῳ μᾶλ- “
λον ἐπὶ τῶν συνιόντων ἡμῖν ἐπὶ κακίᾳ τοῦτο πράττειν “
ἀναγκαῖον; εἰ μὲν γὰρ δυνάμεθα κἀκείνους διορθῶσαι, καὶ “
αὐτοὶ μὴ παραβλαβῆναι, πάντα ποιεῖν χρή· εἰ δὲ κἀ- “
κεῖνοι ἀδιόρθωτοι μένοιεν, καὶ ἡμᾶς παραβλάπτοιεν, ἐκ- “
κόπτειν αὐτοὺς, καὶ ῥίπτειν ἀναγκαῖον· δεινὸν γὰρ δεινὸν “
συνουσία πονηρῶν· οὐχ οὕτω ταχέως λοιμὸς ἅπτεται, καὶ “
ψώρα διαφθείρει τοὺς ἀναχρωννυμένους τοῖς τῷ νοσήμα- “
τι τούτῳ κατεχομένοις, ὡς ἡ τῶν πονηρῶν κακία ἀνδρῶν. “

» Διὸ καὶ Παῦλος οὕτω παραινεῖ λέγων „ καὶ ἐξαρεῖτε τὸν
» πονηρὸν ἐξ ὑμῶν αὐτῶν· καὶ ὁ Προφήτης πάλιν, ἐξέλ-
» θετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε· καὶ μάλα εἰκό-
» τως· εἰ γὰρ Υἱοὺς φαύλους ἔχοντες ἀποκηρύττομεν, καὶ
» οὐκ αἰδούμεθα τὴν φύσιν, οὐδὲ τοὺς ταύτης νόμους, οὐδὲ τὴν
» ἐξ αὐτῆς ἀνάγκην, πολλῷ μᾶλλον τοὺς συνήθεις φεύγειν
» δεῖ πονηροὺς ὄντας· διὸ καὶ ὁ Κύριος, ἐὰν ὁ ὀφθαλμός σου
» φησὶ σκανδαλίζῃ σε, καὶ ὅσα ἑξῆς· κἂν γὰρ αὐτοὶ μὴ
» βλαβῶμεν, ἑτέρους πάντως ἐσκανδαλίσαμεν. Πλὴν οὐδὲ
» συμφιλιάζων τὶς τοῖς ἐχθροῖς τοῦ Βασιλέως, δύναται φί-
» λος τοῦ Βασιλέως εἶναι, οὐδὲ ζωῆς ἀξιοῦται· καὶ ταῦτα
μὲν δὴ τὰ τοῦ Χρυσοστόμου ῥητά. Θεόδωρος, δ' ἐπὶ τούτοις
ὁ τοῦ Στουδίου, καὶ ὁ Κωνσταντινουπόλεως δεύτερος Γερ-
» μανὸς, ὁ μὲν „ οὐ μὴν διὰ τὸ ταράσσεσθαί τινας, φησὶ,
» δυνάμεθα ὑφεῖναί τι τῆς ἀληθείας, καὶ κατακοινῶσαι
» τὴν ὁμολογίαν τοῦ Χριστοῦ, φοβούμενοι τὸ κρίμα τῆς ἀδια-
» φορίας, λέγοντος ἑνὸς τῶν Προφητῶν, ὁσίοις καὶ βεβή-
» λοις οὐ διέστελλον, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά· καὶ τοῦ
» Ἀποστόλου λέγοντος, τὶς μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ;
» καὶ τὰ ἑξῆς· ὁ δὲ μετ' ἐμβριμήσεως ἀποφαίνεται λέγων,
» ἐπισκήπτομαι πᾶσι τοῖς ἐν τῇ Κύπρῳ λαϊκοῖς, ὅσοι τῆς
» καθολικῆς Ἐκκλησίας ἐστὲ τέκνα γνήσια, φεύγειν ὅλῳ
» ποδὶ ἀπὸ τῶν ὑποπεσόντων ἱερέων τῇ Λατινικῇ ὑποταγῇ,
» καὶ μηδὲ εἰς Ἐκκλησίαν τούτοις συνάγεσθαι, μηδὲ εὐλο-
» γίαν ἐκ τῶν χειρῶν αὐτῶν λαμβάνειν τὴν τυχοῦσαν·
» κρεῖσσον γάρ ἐστιν ἐν τοῖς οἴκοις ὑμῶν τῷ Θεῷ προσεύχε-
» σθαι κατὰ μόνας, ἢ ἐπ' Ἐκκλησίας συνάγεσθαι μετὰ τῶν
» Λατινοφρόνων· εἰ δ' οὖν, τὴν αὐτὴν αὐτοῖς ὑφέξετε κό-
» λασιν. Ἢ οὐχὶ καὶ ἐπὶ τῶν κοσμικῶν κρίσεων τοῦτο γί-
νεσθαι σύνηθες; ἂν γάρ τις συναλῷ ἀνδροφόνῳ, ἢ λῃστῇ,
ἢ προδότῃ, τὴν αὐτὴν ἐκείνῳ ὑφίσταται κόλασιν· ὥστε τοῦ
Πνεύματος οὕτω λέγοντος διὰ τῶν ἁγίων, χρὴ δυοῖν θά-
τερον τούτων ποιεῖν, ἢ ταῖς θείαις γραφαῖς στοιχοῦντας τοῖς
ἑπομένοις τῷ λόγῳ τῆς ἀληθείας, μεθ' ὧν ἐγὼ τάττοι-
μην, συναριθμεῖσθαι, ἢ πειθαρχοῦντας Κυπρίοις, πόλεμον
ἄρασθαι κατὰ τῶν ἁγίων, καὶ τοῦ Θεοῦ.

Ἀλλὰ

Ἀλλὰ δοκιμάσωμεν φησὶ, καὶ προσδεξώμεθα τούτους, κἂν μὲν φυλάξωσι πάντα ὅσα ἡμῖν ἐπαγγέλλονται, ἔστωσαν μεθ' ἡμῶν, εἰδ' οὖν, ἐκκοπήσονται μετ' εὐλόγου αἰτίας· πρὸς τοῦτο, οὐ φιλονείκως, φιλαλήθως δὲ μᾶλλον ἀπαντῶν ἐρωτῶ, ἤδη καθ' ὑπόθεσιν γίνεται αὕτη ἡ ἕνωσις σήμερον, ἥτις ἐστὶν ἑπτακαιδεκάτη τοῦ Μαρτίου μηνὸς, τῆς ἕκτης Ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ἐννακοσιοστοῦ εἰκοστοῦ ἔτους· καὶ συλλειτουργοῦμεν ἐνταῦθα Κυπρίοις πάντες ἡμεῖς· ἐνδέχεται εἰς τὰς πολυανθρώπους ἐκείνας πόλεις τῆς Κύπρου, μὴ ἀποθανεῖν ἕνα Λατίνων ἐντὸς τριῶν μηνῶν τῶν πρώτως ἐπερχομένων; οὐκ ἐνδέχεται πάντως· δύνανται γοῦν οἱ τῶν Κυπρίων Ἐπίσκοποι, καὶ Ἡγέμενοι κληθέντες εἰς τὴν κηδείαν τοῦ λειψάνου ἐκείνου, μὴ συνελθεῖν τοῖς Λατίνοις, μετὰ Σταυρῶν καὶ παντὸς τοῦ Κλήρου κατὰ τὸ ἐξ ἀρχῆς συνήθες; οὐδαμῶς πάντως· καὶ εἰς τὰς λειτουργίας τῶν ἐπερχομένων ἐφέτος πασῶν ἑορτῶν, καθὼς πέρυσι, καὶ πρὸ ἐτῶν διακοσίων, συμφορέσουσι τούτοις, ἢ κληθέντες ποιῆσαι τὸ συνήθες ἀντιστήσονται; τοῦτο φανερὸν καὶ νηπίοις, ὅτι τὸ πρῶτον ἑτοίμως ποιήσουσι· τίς γοῦν χρεία τοιαύτης δοκιμασίας, προδήλου καθεστῶτος τοῦ πράγματος, ὅτι πρὶν τῆς τοῦ Πάπα κελεύσεως, καὶ προτροπῆς τοῦ Ῥηγὸς, οὐδὲν τῶν συνήθων παραιτήσασθαι δύνανται; Ὅμως ἡ μελετωμένη γενέσθαι ὑπόθεσις αὕτη, καὶ γράμμασι δεδοκίμασται, καὶ πράγμασιν ἀπηλέγχθη πρὸ χρόνων ἤδη ἑπτά· καὶ λέγω τὸ πῶς· ὅτι οἱ αὐτοὶ καὶ τότε Ἐπίσκοποι, καὶ γράμμασι τοῖς αὐτοῖς, καὶ ταῖς οἰκείαις σφραγίσιν, ὀμώσαντες ἐκ συμφώνου πάντα τηρεῖν ὅσα στέργει ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ὅτε συνῆλθον ἡμῖν ἐν τῇ Κύπρῳ συνοδικῶς, ἐκ πάντων ὧν ἐπηγγείλαντο, οὐδέποτε δύνασθαι τηρῆσαι, κἂν λόγῳ ψιλῷ, παῤῥησίᾳ οἱ πάντες ἀνωμολόγησαν· οὐ χρεία γοῦν δοκιμῆς· ὥσπερ γὰρ τηνικαῦτα τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν παρελογίσαντο, οὕτω καὶ νῦν αὐτὴν ἀπατᾶν δοκιμάζουσιν.

Ἄλλως τε ἡ δοκιμασία ἐπὶ τῶν ἀμφιβαλλομένων πως ἔσται, γίνεσθαι εἴωθεν, οὐκ ἐπὶ τῶν κατὰ πᾶσαν ἀνάγ-

κην οὐδέπως ἐκβησομένων· εἰ δὲ καὶ ὅλως δεῖ δοκιμῆς, πρὸ τῆς ἑνώσεως αὕτη γενέσθω, οὐ μετ' αὐτήν· ὡς ἂν μετὰ τὴν ἕνωσιν γένηται, δοκιμὴ ὅλως οὐκ ἔστιν, αἰσχία δὲ, καὶ ἀπάτη, καὶ μεταμέλεια, καὶ ἄνω ποταμῶν, ὅ φασι, καὶ τὸ ὅλον οὐδὲν ὑγιές. Πᾶν γὰρ δοκιμαζόμενον, πρὸ τοῦ γενέσθαι τοῦθ' ὃ μελετᾶται γενέσθαι, τότε καλῶς δοκιμάζεται· εἰ δὲ τὴν δοκιμὴν προφθάσει ἡ γένεσις, (*) καὶ ἡ διόρθωσις προτρέχει τῆς κοινωνίας, οὐχ ἡ κοινωνία τῆς διορθώσεως. Τίς δὲ καὶ χρεία μαθεῖν ἡμᾶς τὸ πάθος ἐκ τοῦ παθεῖν, καὶ γέλωτα ὄφλειν ἀπὸ τοῦ πρᾶξαι μάτην, ἐπισταμένους τοῦτο σαφέστατα καὶ πρὸ τοῦ παθεῖν; ἐφέτος Σύνοδος ἑνώσεως, καὶ μετὰ τὸ ἐφέτος αὐτίκα Σύνοδος χωρισμοῦ! καλά γε τὰ κατορθώματα τῶν ἐπὶ διορθώσει ψυχῶν πνευματικῶς συναθροισθέντων! πόσα δὲ ἄτοπα ἕψεται ταύτης μεταξὺ τῆς ἑνώσεως καὶ τοῦ μερισμοῦ; πόση σύγχυσις; πόση κατηγορία; πόση κατάγνωσις ἔσται τοῖς σήμερον ἑνουμένοις ἡδέως, καὶ αὔριον πικρῶς ἀφοριζομένοις; καὶ ταῦτα οὐ παρὰ τῶν ἔξωθεν μόνον, ἀλλὰ καὶ τῶν ἡμετέρων ἁπάντων, καὶ τοῦ συνειδότος ἡμῶν ἑκάστου; πόσαι δὲ ψυχαὶ αὐτίκα μετὰ τὴν ἕνωσιν, ἑτέραν μηδόλως ἐλπίσασαι Σύνοδον διαστάσεως, τῆς ὀρθοδόξου πίστεως ἀποστήσονται; αἰνίγματι τοῦτο παρόμοιον· κρημνισθῶμεν φησὶ, καὶ ἴσως ἀναστησόμεθα· καὶ τίς ἡ πρὸς τοῦτο κατεπείγουσα πρόφασις; τίς δὲ ἡμῖν πιστεύσει, ὅτι κἂν φθάσωμεν λατινίσαι, πάλιν ὀψέποτε διορθωθησόμεθα; ἀλλὰ πῶς τὴν τοῦ πράγματος ἀτοπίαν, ὅση καὶ οἵα, ἐκδιηγήσομαι;

Πρὶν οὖν τοῦ ταῦτα συμβιῶναι, δύο τούτων ἡμῖν εἰς ἐκλογὴν προκειμένων, ληφθήτω τὸ ἄμεινον· λέγω δὴ ἡ δοκιμασία πρὸ τῆς ἑνώσεως· εἰ δ' οὖν, μήτε προσδέξησθε τούτους τό γε νῦν ἔχον εἰς ἕνωσιν, μήτε ἀπώσησθε πάντη ἁπλῶς καὶ τομῶς· ἐπεὶ καὶ ἀμφότερα ταῦτα χωρισμὸς ἀφ' ἡμῶν ἔσται αἰώνιος· εἰ μὲν γὰρ ἀπώσησθε τούτους τρόπον ὃν εἶπον, τῇ αἰσχύνῃ καταπεσόντες, καὶ τῇ λύπῃ καταποθέντες, ἀμυνόμενοι δῆθεν ἡμᾶς, ἴσως οἴκοθεν ἐκ συμφώνου τῆς πίστεως ἀποστήσονται· εἰ δὲ πάλιν προσδε-

ζώμεθα τούτους εἰς ἕνωσιν, εὐθὺς τὸ τῶν Λατίνων ἀγέρωχον γένος, ἐπ' ἀνατροπῇ τῆς ἑνώσεως ταύτης, καθολικῶς Λατινίσαι τυραννήσει τούτους καὶ ἄκοντας· καὶ πάλιν ἡ δοκοῦσα ἕνωσις αὕτη, ἔσαι τούτοις ἀφ' ἡμῶν αἰωνία διάστασις. Ἵν' οὖν μηδὲν τούτων γένηται, οἰκονομίᾳ περὶ τὸ πρᾶγμα χρησίμῳ χρησώμεθα· ὅτι περ ἡ ἀρίστη οἰκονομία, δευτέρα τις ὄντως δημιουργία ἐστί· καὶ τὸ ἀνοικονόμητον ἐπὶ πᾶσι, προτέρα συντέλεια.

Ἀλλὰ τοῦτο φησὶ τὸ διεῖργον αὐτοὺς ἀφ' ἡμῶν, οὐδὲν ἐστίν· ἢ τί τῶν ὀρθοδόξων ὀχλεῖ εἰς ὀρθοδοξίαν, τὸ τὸν Πάπαν καλεῖν αὐτοὺς ἅγιον; καὶ τὸ εἰς κηδείαν, ἢ μνημόσυνα Λατίνων, ἢ εἰς τὰς λειτουργίας αὐτῶν συμφοραίνειν Ἱερέα ὀρθόδοξον; οὐκοῦν ἀκεραίων τῶν συνήθων φυλαττομένων, ὧν οἱ Κύπριοι πρὸς τοὺς Λατίνους ὀφείλουσι, συλλειτουργῆσαι ἡμῖν αὐτοὺς βούλεσθε; λοιπὸν μηχανᾶσθε λαθραίως λατινίσαι ἡμᾶς; ἢ οὐκ ἴσε ὡς ἕκασον μέγα κακὸν, ἀπὸ μικροῦ ἄρχεται, καὶ οὕτω γίνεται μέγα; καὶ ἀεὶ ἐκ τῶν δοκούντων ἀδιαφόρων ἡ πλάνη γίνεται, καὶ ἐκ τοῦ συγκατατίθεσθαι τοῖς δοκοῦσι μικροῖς παραπτώμασιν, ἐρχόμεθα καὶ εἰς τὸ περιπίπτειν ἐν τοῖς μεγάλοις; καὶ ἔστιν ὁδὸς, ἣ δοκεῖ παρ' ἀνθρώποις ὀρθὴ εἶναι, τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου; οὐδὲν ἐστὶ τοῦτο, οὐδὲν ἐκεῖνο· οὐκοῦν πάντα συγχωρητέα; οὐκοῦν· ἀπόσα· ἄπαγε τῆς ὀλεθρίου ταύτης βουλῆς· ὡς ἀπόλοιτο αὕτη ἡ γνώμη μετὰ τῶν συνισώντων αὐτήν! οὐκ ἀρνησόμεθά σε φίλη ὀρθοδοξία· οὐ ψευσόμεθά σε παλαιοπαράδοτον σέβας· οὐκ ἀφιστάμεθά σου Μῆτερ εὐσέβεια· ἐν σοὶ ἐγεννήθημεν, καὶ σοὶ ζῶμεν, καὶ ἐν σοὶ κοιμηθησόμεθα· εἰ δὲ καλέσει καιρὸς, καὶ μυριάκις ὑπὲρ σοῦ τεθνηξόμεθα· τῶν τοῦ Χριστοῦ Ἀποστόλων ἐσμὲν μαθηταὶ, τῶν λεγόντων „ ὁ τοῖς ἀκοινωνήτοις κοινωνῶν, καὶ αὐτὸς ἀκοινώνητος· καὶ εἴτις ἀκοινωνήτῳ, κἂν ἐν οἴκῳ συνεύχηται, καὶ οὗτος ἀφοριζέσθω. “

Καὶ ἵνα ὅθεν ἡψάμην τοῦ λόγου, πάλιν ἐκεῖ καταλήξω, τοιαύτην παρ' ἐμαυτῷ διάθεσιν τρέφω, εἰ δεῖ συντόμως εἰπεῖν, καὶ οὕτως ἔχω παρασκευῆς καὶ γνώμης

ἐγὼ περὶ τῆς μελετωμένης ταύτης ἑνώσεως. Ἀμέλει πρὸ τῶν ἑπτὰ τούτων χρόνων, ἕνεκα ταύτης ἀποδημήσας εἰς Κύπρον, οὔτε τὸ θέλημα τῶν ἀνθρώπων κοινῶς, οὔτε τὸ ἐμὸν πάλιν ἰδίως, ἀλλὰ τὸ τῆς ἄνω Ἐκκλησίας τῶν πρωτοτόκων ἐποίησα, καὶ ὡς ἂν ἔδοξε τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, τῇ ὑπερθέῳ καὶ μακαρίᾳ Τριάδι, οὕτω διεπραξάμην· μᾶλλον δὲ, τό, τε τοῦ Θεοῦ θέλημα ἐν ταυτῷ, καὶ τὸ τῶν ὀρθοδόξων ἐπλήρωσα· ὅτι, ὁ σκοπὸς τῶν πεμψάντων με, οὐκ ἦν τὸ ἀμετανοήτους ἐν σχίσματι ἑνῶσαι τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἀλλὰ τοὺς, ἐφ᾽ οἷς προημάρτανον, μετανοοῦντας ὡς δεῖ· ὅθεν παρ᾽ οὐδενὸς τῶν νοῦν ἐχόντων μεμφθήσομαι, ὅτι ἄλλως, ἢ ὡς ἀπῄτει τὰ πράγματα ταῦτα διεπραξάμην· οὐδὲ γὰρ πιστὸς δοῦλος ὢν, καὶ πεμφθεὶς ὑπὸ τοῦ Κυρίου μου, ἐφ᾽ ᾧ τὰ πλανηθέντα τῶν προβάτων ἀνακαλέσασθαι, ἢ ἀνθρώποις νοσοῦσι κεράσαι σωτηρίας φάρμακα, ἢ σῖτον ἐναπολειφθέντα που τῆς χώρας εἰς τὴν ἀποθήκην συναγαγεῖν, εἶτ᾽ ἀπελθὼν εὗρον τὰ μὲν ἤδη λυκόβρωτα γεγονότα, τοὺς δὲ προτεθνηκότας ἤδη καὶ ὀδωδότας, τὸν δὲ εἰς ζιζανίων φύσιν μετατραπέντα, ὅτι μὴ τὸ προσαχθὲν εἰργασάμην, κατηγορίας τινὸς διὰ ταῦτα καὶ ἐγκλήσεως ἄξιος ἔδοξα ἂν τῷ Κυρίῳ μου. Καὶ νῦν δὲ, οὐκ αὐτὸς αἴτιος τοῦ μὴ κατὰ τὴν ἐξ ἀρχῆς ἡμῶν πρόθεσιν ἀποβῆναι τὸ σπουδαζόμενον, ἀλλ᾽ οἱ, πρὸς τῷ μηδὲν ὑφελέσθαι τῶν προσόντων αὐτοῖς κακῶν, θέλοντες καὶ ἡμᾶς λεληθότως ὑποτάξαι τῷ Ῥώμης πειρώμενοι. Οὐκοῦν ὅτι μὴ τὰ ἄμικτα συνῆψα μεμπτέος, ἀλλ᾽ ὅτι τοὺς στρεβλοὺς τῶν εὐθέων διέκρινα, καὶ τοὺς ἀναξίους τῶν ἁγίων διέστησα, μηδὲν προτιμήσας τῆς ἀληθείας, μᾶλλον ἀποδεκτέος· πόθεν τοῦτο δῆλον; ἐκ πολλῶν μὲν καὶ ἄλλων, κἀκ τούτου δὲ πάλιν, ὅτι δυνατοῦ ὄντος καὶ ῥᾴστου, ἐν τρισὶν ὥραις ὅλαις συγκαταβῆναί με μόνον τοῖς ἐν τῇ Κύπρῳ Ἀρχιερεῦσι, καὶ εἰς κοινωνίαν αὐτοὺς παραδέξασθαι, ἀνατεθειμένου ὅλου τοῦ πράγματος εἰς ἐμὲ, καὶ μυρίων εἰς τοῦτο παρακαλούντων, καὶ τυραννούντων με, δώρων, ἀπειλῶν, φόβων, ὑποψιῶν, ὑποσχέσεων, δόξης, θωπείας, φήμης εὐφήμου προσδοκωμένης

κωμένης καὶ ὑποσαινούσης παρασυρῆναί με, τοῦ πρὸς πειθὼ δεινοτάτου, ὑφ' οὗ πᾶς κριτὴς ὑποσύρεται, πάντα ἐκεῖνα ἀνδρείως μάλα ἀποσεισάμενος, σὺν Θεῷ δὲ εἰρήσθω, καὶ γενναίαν ἐν πᾶσι τὴν ἔνστασιν ἐνδειξάμενος, καὶ κατάτι μηδὲν ὑπενδοὺς, πτωχείαν ἅμα καὶ δυσαπόνιπτον δυσφημίαν, ὅλῃ ψυχῇ καὶ καρδίᾳ, ᾑρετισάμην, ἵνα μόνον τηρήσω τὴν ἄσπιλον πίστιν καθαρὰν ἐν Χριστῷ, καὶ ἀμώμητον· καὶ ταῦτα λέγω οὐθ' ὡς ἐπικαυχώμενος, οὐμενουν· τίς γάρ εἰμι ἐγώ; ἢ βδέλυγμα, τῷ κόσμῳ ἄγος, ἐμαυτῷ ἐχθρός; τί ἐστὶν ἡ ζωή μου πρὸς τὸν ἅπαντα χρόνον; ῥιπῆς ὀφθαλμοῦ συντομώτερον· τὸ πρόσωπον τοῦτο ἀνώνυμον· αἱ ἐμαὶ πράξεις ἀπόβλητοι· καὶ πάντα οὐδὲν τὰ ἐμά· οὔτε μὴν ὡς προσκρούσας τῇ ἐμῇ Ἐκκλησίᾳ τῶν ὀρθοδόξων· μὴ γένοιτο! ἀλλὰ τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ εὐθὲς, καὶ εὐάρεστον, ὅσον κατὰ τὴν ἐμὴν πρόθεσιν καὶ γνώμην διαπραξάμενος, βούλομαι καὶ αὖθις μηδενὶ τῶν ὀρθοδόξων παραχωρῆσαι δοξάζειν ἄλλως περὶ ἐμοῦ, ἢ οὕτως ὡς ἔχει τὰ κατ' ἐμὲ, καὶ ὅτι τοιαύτης τὸ πρᾶγμα τοῦτο ἐδεῖτο τῆς συμπληρώσεως· καὶ ταῦτ' ἐξαγγέλλω ἐκ καθαρᾶς καὶ ἀδόλου ἀγάπης καὶ πίστεως, ἧς ἔχω πρὸς τὴν εὐσέβειαν, καὶ τοὺς εὐσεβοῦντας αὐτούς· ἐπεὶ κἂν ἄλλως πρός μέ τις διατεθῇ, ὡς τοῦ Θεοῦ συνεργοῦντός μοι, πιστὸς καὶ αὖθις μενῶ, καὶ εὐγνώμων τοῖς ὀρθοδόξοις εἰς ἅπαντα, καθὰ δὴ καὶ Θεῷ χριστιανὸς ἀληθέστατος.

# ΛΟΓΟΣ ΤΟΥ ΑΥΤΟΥ
## ΕΝ ΤΩ
## ΒΑΣΙΛΙΚΩ ΚΟΙΤΩΝΙ ΕΚΦΩΝΗΘΕΙΣ,
## ΠΕΡΙ
# ΤΗΣ ΗΜΩΝ ΠΙΣΤΕΩΣ.

Δι' ἀξιωματικῶν ἐπιχειρημάτων δεικνὺς, ὅτι πασῶν τῶν ἡμῖν ἐγνωσμένων πίστεων οὐκ ἔστι ταύτης εὐσεβεστέρα.

Πολλῶν οὐσῶν αἱρέσεων ἐν τῷ κόσμῳ, τῶν μὲν εὐλογωτέρων, τῶν δὲ καὶ ἀλογωτέρων, καὶ ἑκάστου τῶν ταύταις ἐπαγομένων (*) τὴν ἑαυτοῦ δοκοῦντος ἐπεκδικεῖν, ἅτε ταύτην ἡγουμένου τῶν ἄλλων βελτίστην, ἡμεῖς ἐκ πολλῶν καὶ ἀληθεστάτων μαρτυριῶν, περὶ τῆς ἡμετέρας πίστεως βεβαιοῦμεν, ὡς οὐκ ἔστιν ἄλλη ἐν τῇ ὑπ' οὐρανὸν εὐσεβής τε καὶ ἀληθὴς, (καθάπερ καὶ ὁ τῆς ἀληθοῦς θεολογίας ἀπαιτεῖ λόγος, ἕνα Θεὸν εἶναι καὶ Κύριον, καὶ μίαν πίστιν τὴν εἰς αὐτόν·) εἰ μὴ αὕτη καὶ μόνη. Καὶ τοῦτο δῆλον ἐντεῦθεν. Πολλῶν ἐπὶ κάλλει ἐπαινουμένων, καὶ διὰ τοῦτο μέγα ἑκάστου φρονοῦντος, ὡς δῆθεν αὐτοῦ τῶν λοιπῶν διαφέροντος, ἀμφιγνοουμένου δὲ, τοῦ τὶς ὁ κάλλιστος ἐν αὐτοῖς· ὃν ἕκαστος τῶν καλῶν, καὶ πάντες ἅμα οἱ ἐπαινούμενοι, εὐθὺς μετ' αὐτοὺς καλὸν εἶναι τίθενται, οὗτος ἐστὶν ὁ ἐν αὐτοῖς καλὸς ἀντικρυς, οὐχ ὁ ἑαυτὸν συνιστῶν μόνος. Πάλιν, πολλῶν μετεχόντων Μεθόδου μιᾶς λογικῆς, ἀμφιβαλλομένου δὲ τοῦ ἐπὶ ταύτην βελτίστου καὶ κρείττονος· ὃν ἅπαντες οἱ τῆς αὐτῆς αὐτῷ κοινωνοῦντες, πάντων κρείτ-

(*) Ἴσ. ἑπομένων.

κρείττονα λέγουσι, καὶ ἕκαστος, πλὴν ἑαυτοῦ, ἄριστον εἶναι προσμαρτυρεῖ, ἐκεῖνος ἐστὶν ὁ ἀκριβέστερος αὐτῶν ἐπιστήμων σαφῶς. Αὖθις, πολέμου συγκροτηθέντος ἰσχυροῦ, μὴ παρόντος αὐτόθι τοῦ Βασιλέως, καὶ κατὰ κράτος πρός τινος τῶν στρατιωτῶν τραπέντων τῶν πολεμίων, καὶ τοῦδε ἀγνοουμένου, μετὰ τὴν νίκην καὶ τὰ τρόπαια τοῦ Κρατοῦντος θέλοντος στεφανῶσαι τὸν ἀριστέα, καὶ πῶς ἂν εἴποις, μαθεῖν διψῶντος, τίς ἦν ὁ τρέψας τοὺς πολεμίους, τῶν στρατιωτῶν ἑκάστου πρὸς τὸν στέφανον ἀφορῶντος, καὶ ἑαυτὸν εἶναι λέγοντος· λοιπὸν ἀδήλου τοῦ πραγματος καθεστῶτος, οὕτως εὑρίσκεται ὁ ζητούμενος· μετὰ σοῦ δὲ τίς ἦν ἄλλος ἐν τῇ τῶν ἐναντίων τροπῇ; ἐπερωτώμενοι κατ' ἰδίαν οἱ στρατιῶται, ὃν ἕκαστος μετ' αὐτὸν εὐθὺς ἀριστέα ὁμολογεῖ, καὶ οἱ πλείους, ἢ καὶ πάντες ἅμα συμμαρτυροῦσι, καὶ ἐπαρέσκονται τῇ ὁμολογίᾳ, οὗτος ἐστὶν ἀληθῶς, ὁ τὴν νίκην ἀράμενος· καὶ τοῦτον ὅ, τε Κρατῶν στεφανοῖ, καὶ γέρα τούτῳ χαρίζεται, καὶ ἀνακηρύττει ὁ Στρατηγὸς, καὶ ὁ στρατὸς πᾶς ἐπαινεῖ. Σκοπεῖτε δὲ πῶς παραπλησίως, τοῦτο καὶ ἐναργῶς ἐπὶ τῆς ἡμῶν πίστεως καὶ μόνης συμβαίνει, καλῶς ποιοῦν. Ἂν γὰρ ἐρωτήσῃ τις τὸν Ἑβραῖον, οὗ τῆς θρησκείας ἀλογωτέρα οὐκ ἔστι, καὶ τὸν Ἰταλὸν ὡσαύτως, οὗ τὸ σέβας ἐγγὺς εἶναι τοῦ ἡμετέρου δοκεῖ, καὶ ἁπλῶς ἕκαστον τὸν ἐκ τῶν ἄλλων δοξῶν, μετὰ τὴν σὴν πίστιν, ποίαν τῶν λοιπῶν εὐσεβεστέραν νομίζεις; εὐθὺς φωνῇ ἐλευθέρᾳ, ὅστις ἂν ᾖ, ἡ τῶν Ῥωμαίων μόνη φησίν. Ὥστε ἡ πρὸς πάντων Ἐθνῶν βελτίων καὶ ἀληθὴς προσμαρτυρουμένη, αὕτη ἐστὶν ἡ τῷ ὄντι εὐσέβεια, καὶ οὐχ ἡ πρὸς τοῦ ταύτην ἔχοντος μόνου. Εἰ γὰρ σὺ φησὶ περὶ σαυτοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής· αἱ δὲ παρὰ τῶν ἔξω, καὶ μάλιστα τῶν ἐχθρῶν μαρτυρίαι, ἀξιοπιστότεραι καθεστήκασι.

Πρὸς δὲ, ἣν οἱ σοφώτεροι τῶν ἀνθρώπων, (οἷον ἐστὶ τὸ τῶν Ἑλλήνων τε καὶ τῶν Ῥωμαίων γένος·) πατροπαραδότως ἔργῳ καὶ λόγῳ κρατιοῦσιν ἐξ ἀρχῆς, αὕτη εὐσεβεστάτη καὶ κρείττων, οὐχ ἣν βάρβαροι τινες ἀλαζόνες, ἢ τριοβολιμαῖοι καὶ οὐδενὸς ἄξιοι συνιστῶσιν αὐτονομίᾳ, καὶ

καὶ ἀπειθίᾳ φερόμενοι. Σὺ δέ μοι σκόπει μὴ μόνον τȢ̀ς σήμερον ἐξ ἡμῶν ἐχομένȢς τῆς ἀληθείας, ἀλλὰ καὶ τȢ̀ς ὅτε αἱ αἱρέσεις ἐφύησαν, καὶ τὰ χίσματα γέγονε, τὴν καλὴν μερίδα ἐκλεξαμένȢς, καὶ τὰ ὀρθὰ κρατήσαντας δόγματα, καὶ τοῖς μετ' αὐτȢ̀ς ἡμῖν παραπέμψαντας.

Ἔτι, ἐξ ἧς οἱ ἐννομώτατοι συνίςανται Πατριάρχαι, καὶ Βασιλεῖς, καὶ ἧς ἔχονται, ȣ̓κ ἀλόγως ταύτης ὑπερμαχȢ̃ντες, σὺν εἰρηναίᾳ δὲ καὶ ἀκριβεῖ καταςάσει καὶ ἐξετάσει, αὕτη ἐςὶν ἡ ἐξαίρετος· ȣ̓χ ἡ ἀναρχίᾳ φερομένη, καὶ δυνάςας ὠμοτάτȢς, καὶ τυράννȢς ἀπογεννῶσα.

Ἔτι, ἡ τὴν ἐσθῆτα καὶ τὴν ζώνην τῆς τῶν Ἀγγέλων Κυρίας, καὶ αὐτȢ̃ τȢ̃ Δεσπότȣ Χριςȣ̃ χιτῶνα τὸν ἄνωθεν ὑφαντὸν, τὰ ἱμάτια τȢ́τȣ, τὸ ἐκ τῆς πλευρᾶς αὐτȢ̃ ῥεῦσαν αἷμα, τὸν ςαυρὸν, τὴν λόγχην, τȢ̀ς ἥλȣς, τὸν σπόγκον, τὸν κάλαμον, τὰ τῶν ἁγίων πάντων χεδὸν λείψανα, καὶ μυρία τῶν ἀγαθῶν κληρωσαμένη πρὸς τȢ̃ ΘεȢ̃, αὕτη ἐςὶν ἡ κοσμία, καὶ ȣ̓χ ἡ πενομένη τοσȢ́των καλῶν· καὶ γὰρ φίλον Θεῷ, καὶ ἡμῖν συνήθες, τοῖς τῶν οἰκετῶν πιςοτάτοις ἐμπιςεύειν τὰ τίμια.

Προσέτι, ἡ πάσας πλȣτȢ̃σα τὰς ἀρετὰς, αἷς δήπȣ καὶ σῶμα καθαίρεται, καὶ ψυχὴ φωτίζεται, αὕτη ἐςὶν ἡ ἐκλεκτὴ τῷ Θεῷ καὶ ἀνθρώποις, ȣ̓χ ἡ ἀγομένη ἐπιθυμίαις ποικίλαις, καὶ πράξεσιν ἀθέσμοις μακρυνομένη ΘεȢ̃. Φανερὰ δὲ ἐςὶν ὑπὲρ πάσας ἡ ἡμετέρα, ἐγκράτειαν, προσευχὴν, σωφροσύνην, ταπείνωσιν, καὶ πᾶσαν ἄλλην θεάρεςον πολιτείαν, καὶ εἰσηγȣμένη σὺν λόγῳ, καὶ πράττȣσα· ἐξ ὧν μυρίοι τῶν ἀκριβῶς ἐχομένων αὐτῆς, καὶ ζῶντες θαυματȣργȢ̃σι, καὶ μετὰ θάνατον αὖθις (*) ὀδμὴν μυρίπνοον ἀναπεμπομένην ἐξ αὐτῶν.

Πρὸς τȢ́τοις, ἡ οἰκȣμενικὴ καὶ καθολικὴ μάλιςα, ἡ τῶν μερῶν οἱονεὶ ὅλον ȣ̓̃σα, καὶ ἀφ' ἧς αἱ λοιπαὶ ὡς μέρη σεσηπότα ἐτμήθησαν· ἡ καὶ τέσσαρσι Πατριαρχείοις συγκροτȣμένη, καὶ ἧς ἔχονται μυρία ἔθνη, ȣ̓χ ἡ τοπικὴ,

καὶ μερικὴ, καὶ τοῦ ὅλου τμῆμα, καὶ τῆς Ἐκκλησίας ὥσπερ παρασυναγωγὴ, καὶ ἣν οὐ μόνον ἔθνος, ἢ δύο, συνίστησιν ἀκρίτως ἀγόμενα.

Ἐφ' ἅπασι τούτοις, οὐχ ἡ καθάπαξ τραχηλιάσασα, καὶ ὡς ἑαυτῇ στοιχοῦσα, τῶν πάντων ἀποχωσθεῖσα, καὶ πρὸς ἀνθρώπων ἁμαρτωλῶν στεργομένη, καὶ ἄκαμπτος μένουσα, καὶ ἀμφιβάλλουσα ἔτι πότερον τοῦτο; πότερον ἄλλο; καὶ ἐμφυλίοις πολέμοις, καὶ αἵμασιν ὁμοπίστων ὁσημέραι μολυνομένη, ἀλλ' ἡ δοκιμασθεῖσα ἑπταπλασίως, Συνόδοις οἰκουμενικαῖς τε καὶ τοπικαῖς, καὶ κυρωθεῖσα πρὸς πάντων ἁγίων ἱδρῶσιν ἀπείροις, καὶ λόγοις, καὶ αἵμασι, καὶ εἰσέτι θεοσημείαις κρατυνομένη, καὶ τὰ πιστευθέντα τηροῦσα ἐπίσης ἀπλήθυντα καὶ ἀμείωτα, κἀντεῦθεν τὸ ἀζήτητον ἔχουσα, καὶ εἰρήνην, καὶ καθαρότητα στέργουσα, αὕτη ἐστὶν ἡ ὀρθόδοξος πίστις τῷ ὄντι, ἣν ὁ μὲν Πατὴρ δι' Ἀγγέλων, ὁ δὲ Υἱὸς δι' ἑαυτοῦ, τὸ δὲ Πνεῦμα τὸ ἅγιον διὰ Προφητῶν καὶ Ἀποστόλων ἐκήρυξεν· ἐξ ἧς μόνης πληροῦται ἡ οὐράνιος Ἐκκλησία τῶν πρωτοτόκων ἡ ἀκατάλυτος· καὶ δεῖ τὸν ταύτης ἐχόμενον, τοῖς αἱρεσιάρχαις... 

Τοσαῦτα περὶ τῆς ὀρθοδόξου πίστεως προοιμιασάμενοι, χωροῦμεν σὺν Θεῷ εἰς τὰ ταύτης ἐχόμενα, καὶ προσέχετε. Ὅτι κυρίως μὲν ὀρθοδοξία ἐστὶ τὸ ὀρθὰς δόξας κεκτῆσθαι περὶ Θεοῦ· καταχρηστικῶς δὲ, καὶ τὸ δοξάζειν, ὡς ἔχει τὰ κτίσματα, καὶ τὰ πράγματα φύσεως· ὁ γὰρ τὰ πάντα δοξάζων ὀρθῶς, ὀρθόδοξος εἰκότως ἂν λέγοιτο· πολλοὶ γὰρ τῶν ἀνθρώπων πολλαῖς ἀστάτοις ὑπολήψεσι, καὶ δόξαις κατέχονται οὐκ ὀρθαῖς, ἐξ ὧν τινὲς ἡμῖν ἐγνωσμέναι εἰρήσονται νῦν, τοῖς θέλουσιν ἀπονίψασθαι ταύτας εὐλόγους παρέχουσαι ἀφορμάς.

Δοξάζεται παρὰ τοῖς πολλοῖς ἡ θεία Φύσις σεσαρκῶσθαι· τῆς προσκυνητῆς ὑποστάσεως μόνης σαρκωθείσης τοῦ

Λόγου

Λόγου θεοπρεπῶς. Καὶ ἐν οὐρανῷ κατοικεῖν ὁ Θεός· πανταχοῦ ὢν ἐπίσης ἀχώρητος· ἄνω, εἰ χρὴ συντόμως εἰπεῖν, καὶ κάτω, καὶ κύκλω, καὶ ἐντὸς τοῦ παντὸς· καὶ ἐκτός. Καὶ προορίζειν τὰ ἡμέτερα· ὁ προγινώσκων μόνον αὐτά. Τοῖς εἰς τὰ πάθη καλινδουμένοις χρῆναι συγκατιέναι ἡμᾶς· χρεὼν κατὰ λόγον αὐτοῖς ἐπιτιμᾶν τὸν προσήκοντα. Φθαρτὸν οὐκ εἶναι τὸ σῶμα κατ' ἀρχὰς τὸν Ἀδὰμ, καὶ πᾶσι πάθεσιν ὑποκείμενον· τὸ μετὰ τὴν ἁμαρτίαν παθῶν δεκτικὸν γενόμενον καὶ φθορᾶς. Μηδένα νῦν τῶν Ἀγγέλων προκόπτειν, κατά τινα γνῶσιν, καὶ δόξαν, καὶ θείαν μακαριότητα· ἐν αἷς προκόπτοντες οὐδέποτε λήγουσι. Τὸν ἐν Ἐδὲμ Παράδεισον ὑποκεῖσθαι φθορᾷ· ἄφθαρτον ὄντα, ὡς τοῖς ἁγίοις δοκεῖ. Ἐπαγγελίᾳ μόνῃ, καὶ οὐχὶ πράγματι, ἐν Παραδείσῳ τοῦ λῃστοῦ τὴν ψυχὴν εἰσελθεῖν· κατ' αὐτὴν τὴν ἡμέραν τῆς τοῦ Δεσπότου σφαγῆς, καὶ εἰσελθοῦσαν ἐκεῖσε καὶ μένουσαν. Πάσης ἀπολαύειν τῆς ἀποκειμένης μακαριότητος, τὰς τῶν ἁγίων ψυχάς· μόνον τῶν νοητῶν, καὶ ἐκ μέρους, ὅτι δίχα σωμάτων, αὐτῆς ἀπολαυουσῶν. Μέγα τι ζημιωθῆναι τοὺς πρὸ τῆς ἐνσάρκου οἰκονομίας, τὸ μὴ τὴν ἀνθρωπότητα θεάσασθαι τοῦ Λόγου· πάντων προφητικοῖς ὄμμασι πόῤῥωθεν προϊδόντων ταύτην, καὶ ἀσπασαμένων τῷ Πνεύματι. Μετὰ τὸν προσήκοντα χρόνον ἐνανθρωπῆσαι τὸν Κύριον· ὅτε μᾶλλον ἐχρῆν τηνικαῦτα, τῆς Μητρὸς αὐτοῦ εἰς τὸν βίον ἐλθούσης, καὶ τῆς κακίας αὐτὸ ἀγούσης τὸ ἀκμαιότατον. Ἀνάστασις καὶ ἀνάληψις εἶναι τῆς Θεοτόκου, ἡ κοίμησις αὐτῆς καὶ μετάστασις. Αἱ τῶν ἁγίων ἐντεῦθεν ἀπελθοῦσαι ψυχαὶ κατά τινα τόπον, ἄγνωστον πᾶσι διάγειν, καὶ μηκέτι τοῖς ὧδε φοιτᾶν· ἔν τε τῷ οὐρανῷ καὶ τῷ Παραδείσῳ διάγουσαι, καὶ ἡνίκα δεήσει αὐτοπροσώπως δεῦρο φοιτῶσαι ἐπ' εὐεργεσίᾳ πολλῶν. Ἐξεῖναι πᾶσι τοῖς θέλουσιν εἰσιέναι εἰς τοὺς ἁγίους ναοὺς δι' ὅλου· μηδὲ τοῖς ἱερεῦσιν αὐτοὺς βατοὺς ὄντας πάντοτε. Τῶν ἐν ἡμῖν κακῶν μόνος αἴτιος εἶναι ὁ τοῦ γένους ἡμῶν ἀρχῆθεν πολέμιος· ἐν πολλοῖς καὶ ἡμᾶς μηδενὸς ἀναγκάζοντος, οἴκοθεν ὀλισθαίνοντας. Μετάνοια περὶ τὸ τέλος ὁ

Σολομῶν

Σολομὼν χρήσασθαι· ἐν ἁμαρτίαις ἀποθανών. Ὅ, τε προδότης Ἰούδας, μετὰ τὸ προδοῦναι τὸν Κύριον ἐπιζῆσαι μακρά· κατ' αὐτὴν τὴν ἡμέραν ἀγχόνῃ χρησάμενος, καθ' ἣν ὁ πάντων Δεσπότης ἐσταύρωται. Ἄλυτος εἶναι πᾶς ὁ παρὰ τῶν ἱερέων τισὶν ἐπαγόμενος δεσμός· ὁ ἐνδίκως μόνον ὤν, καὶ οὐχ ὡς τύχοι, καὶ ὁ τῶν πολλῶν πρὸς τὸν ἕνα, καὶ ὁ τῶν μειζόνων πρὸς τοὺς ἐλάττονας. Ἰωάννης ὁ Θεολόγος, καὶ Συμεὼν ὁ θεοδόχος, ὁ μὲν ζῆν εἰσέτι, ὁ δὲ ἱερατικῆς ἀξίας εἶναι πάντῃ ἀμέτοχος· ὧν τὰ ἐναντία νενόηται. Τῶν νῦν Ῥωμαίων οἱ ἄρχοντες Ἕλληνες εἶναι, Ἰταλοὶ δ' ἅπαν τὸ φῦλον Ῥωμαῖοι· ὧν οἱ μὲν πρῶτοι τῶν Ῥωμαίων τὸ ἄνθος, κἂν φωνῆς τῆς Πατρίου, τῷ τὴν Ἑλλάδα προελέσθαι, ὥσπερ ἄρα καὶ τῆς σφῶν γῆς ἀπέστησαν· οἱ δὲ δεύτεροι τῶν πάλαι Λατίνων ἀπόγονοι καθεστῶτες, κἂν τὴν τῶν Ῥωμαίων γλῶτταν, ὡς καὶ τὴν πόλιν αὐτῶν ἐκληρώσαντο. Ἐξ οἰκείας σπουδῆς ζῆν ἡμᾶς, ὑγιαίνειν, καὶ τρέφεσθαι· τῆς τοῦ Θεοῦ δυνάμεως κατορθούσης τὸ πᾶν. Τῶν ἀνθρώπων τελευτᾷν μηδένα, πρὶν ἂν τὸ ὡρισμένον αὐτῷ τέλος φθάσῃ· τῶν πλείστων πρὸ τοῦ δοκοῦντος τοῖς πολλοῖς τούτου, πολλῶν δὲ καὶ μετὰ τοῦτο, τῶν τῇδε καθ' ἑκάστην μεθισταμένων. Τῆς γῆς τὸ ἡμισφαίριον ἅπαν οἰκεῖσθαι· οὐδὲ τοῦ τεταρτημορίου παντὸς οἰκισθὲν ποτέ. Ἡ οὐράνιος ἵστασθαι σφαῖρα· ἀδιάπαυστα, καὶ ταχύτερον φωνῆς ἀνθρωπίνης εἰς ἀκοὴν ὠτίου κινουμένη εἰς ἑαυτὴν κυκλικῶς. Ἡ θάλασσα πᾶσα κατωτέρα τῆς γῆς· κυκλωτερὴς οὖσα ταύτης, καὶ ὡς εἰπεῖν ἐπιπόλαιος. Πομφόλυγος δίκην ἡμισφαίριον ἅπας ὁ κόσμος οὑτοσί· σφαῖρα ὢν πάσης σφαίρας πληρέστατος. Ἐπίπεδος εἶναι ἡ γῆ· σφαιροειδὴς οὖσα ἄντικρυς, καθάπερ πάντα τὰ τῶν στοιχείων ἁπλᾶ. Ἴσος τῇ Σελήνῃ τῷ μεγέθει ὁ Ἥλιος· αὐτῆς πολλαπλάσιος ὤν. Καὶ ἄμφω δὲ οἱ φωστῆρες, καὶ ὁρῶνται τῆς γῆς ἐλάττονες, καὶ νοοῦνται, ὧν ὁ μὲν ἴσος, ὁ δὲ τοῦ δεκαπλασίου ταύτης μειζότερος. Τὸ τῆς Σελήνης σῶμα αὐτολαμπὲς τοῖς πολλοῖς· φῶς οἴκοθεν οὐκ ἔχον, ἀλλ' ἐξ ἡλίου καταυγαζόμενον. Ἀφανίζεσθαι ὁ Ἥλιος, καὶ ἐκλείπειν ὁλικῶς ἡ Σελήνη,

λιώνη· ἡ μὲν τῷ τῆς γῆς στοιχείῳ πρὸς Ἥλιον ἀντιφραττομένη, ὁ δὲ τῇ Σεληνιακῇ σφαίρᾳ τὰς ἀκτῖνας ἐπιπροσθέμενος. Ὁλικὰς γίνεσθαι τὰς τῶν φωστήρων τούτων ἐκλείψεις· μερικῶν ἀεί ποτε γινομένων, πλὴν μιᾶς, τῆς ἐπὶ τῆς τοῦ Κυρίου σταυρώσεως. Ὅ,τε Ἥλιος καὶ ἡ Σελήνη, καὶ πάντες οἱ πλανῆται, τῇ οὐρανίᾳ σφαίρᾳ ἐμπεφυκέναι· πλεῖστον διεστηκότες ἀλλήλοις οἱ πλείους αὐτῆς, ἢ τῆς γῆς. Καὶ ὀρθῶς περιφέρεσθαι· λοξῶς οἱ πάντες περιφερόμενοι. Καὶ ἐπίσης τοῖς ἀπλανέσιν ἡμῖν ἀφεστάναι· πολὺ κἀκείνων, καὶ ἕτερος ἑτέρου, προσγειότερος ὤν. Καὶ συμπεριφέρεσθαι τῷ παντί· τὴν ἐναντίαν τούτῳ κινούμενοι, ἤτοι ἀπὸ δυσμῶν εἰς ἀνατολάς· πλὴν ἔστιν ὅτε καὶ τὴν αὐτὴν αὐτῷ τινὲς τούτων ποιούμενοι. Καὶ προποδίζειν μόνον, ἢ ἀναποδίζειν αὐτούς· ἀνιόντων ἅμα τούτῳ λεληθότως, ἢ κατιόντων αὐτῶν, καὶ ἐπιστηριζομένων ἐνίοτε. Ἐν τῇ αὐτῇ καὶ μιᾷ ὥρᾳ ἕκαστος αὐτῶν ἀνατέλλειν καὶ δύειν· τοῖς πανταχοῦ γῆς κατοικοῦσιν ἀνθρώποις, ἐννεακαίδεκα, καὶ εἴκοσιν ὥραις προανατέλλοντες καὶ προδυόμενοι πλείοσι. Τὰ δύοντα τῶν ἄστρων ἐκ Νότου διὰ τοῦ Βορείου πόλου, καὶ τοῦ Ὠκεανοῦ τῆς ἐπιφανείας χωρεῖν, ἐπὶ τὰς ἰδίας ἐπιτολάς· διὰ τοῦ ὑπογείου ἡμισφαιρίου κυκλικῶς τὰ πάντα περιφερόμενα. Καὶ πάντα τοῖς ὅλοις ἀνατέλλειν καὶ δύειν· ἀειφανῶν ὄντων ἀπείρων, καὶ ἀφανῶν τοῖς πολλοῖς. Τὰ ἀειφανῆ τοῦ Βορείου Πόλου, καὶ τοῖς Αἰθίοψι πᾶσιν εἶναι ἀειφανῆ· καὶ τὰ ἀφανῆ τοῦ ἀνταρκτικοῦ παρ' ἡμῖν, ἐπίσης εἶναι καὶ τοῖς Αἰθίοψιν ἀφανῆ· ὧν τοῖς μὲν, οὐδὲ ἡ Ἄρκτος ὤφθη ποτὲ, τοῖς δὲ, πᾶς ὁ τῷ Κανόβῳ περιγραφόμενος ἐστὶν ἀφανής. Ἡ ἐν τῇ Σελήνῃ ἅλως, καὶ ἡ ἐν τῷ οὐρανῷ ἶρις, οἱ διάττοντες ἀστέρες, καὶ τὰ νέφη πάντα τῆς οὐρανίου σφαίρας ἐφάπτεσθαι· τῶν ὀρεινῶν κορυφῶν κατωτέρω καὶ γινόμενα καὶ ἀπογινόμενα. Οἱ Κομῆται, σὺν τοῖς δοκοῦσιν ἐκπίπτειν ἄστρασιν, ἀστέρες εἶναι νομίζονται· φάσματα, καὶ γεννήματα ξηρᾶς ἀναθυμιάσεως ὄντες. Τῆς θαλάσσης τὰ βάθη κινεῖσθαι κλύδωνος γινομένου· καὶ τὸ τοῦ ἀέρος ἅπαν στοιχεῖον συγχεῖσθαι λαίλαπος ἱσταμένου· τῆς

μὲν

μοὶ, τοῦ ἐπιπολαίου μέρους, τοῦ δὲ, τοῦ προσγειοτέρου ταραττομένου μόνον, γαλήνην ἔχοντος τοῦ λοιποῦ. Οἱ σεισμοὶ, αἱ βρονταὶ, αἱ ἀστραπαὶ, καὶ τῶν ἀνέμων οἱ σφοδροὶ, καὶ οἱ ὄμβροι, εἰς ἅπασαν ἀπαυτῶς τὴν γῆν γίνεσθαι· εἰς τὸ τυχὸν μέρος αὐτῆς, καὶ ἀεὶ γινόμενα, καὶ κατὰ καιρούς· ἀεὶ μὲν, ὡς ποτὲ μὲν εἰς τόδε, ποτὲ δὲ εἰς τόδε τὸ μέρος, ὡς τύχοι· κατὰ καιροὺς δὲ, ὅτι κατὰ μὲν τὴν τοῦ χειμῶνος ὥραν, ἐν τοῖς βορειοτέροις μέρεσιν, ὡς ἐπὶ τὸ πολὺ ταῦτα γίνεται, κατὰ δὲ τὴν τοῦ θέρους, ἐν τοῖς νοτιωτέροις. Οὐχ ἥκιστα, ἡ βροντὴ, ἡ ἀστραπὴ, καὶ ἡ βροχὴ ἐξ οὐρανοῦ καταχέεσθαι· νεφέλης ὄντα ταῦτα κυήματα τῆς ἐγγιζούσης τῇ γῇ. Δράκων εἶναί τις ὁ κεραυνὸς, νεφιαῖον πνεῦμα, καὶ ἀέρος ἔξαψις ὑπερβάλλουσα πεφυκώς. Μόνον θεόθεν πάντα γίνεσθαι σεισμὸν, τῶν πλείστων καὶ πρὸς τῆς φύσεως γινομένων αὐτῆς· Φύσιν δὲ λέγω νῦν τὴν ἔθιν, καὶ ὅπως τῶν γινομένων πέφυκεν ἕκαστον γίνεσθαι. Πανταχοῦ γῆς, ἀνέμους καὶ σεισμοὺς καὶ νεφέλας συνίστασθαι, καὶ τὰ τούτοις ἑπόμενα· εἰς τὰ ὑπερβόρεια μόνη, καὶ τὰ ὑπὸ ..., νηνεμίας οὔσης ἀδιαλείπτου, καὶ ἔνθα πεπίλημένη ἡ γῆ, σεισμὸν γενέσθαι (*) μηδέποτε· ἢ ἐν τοῖς περὶ τὴν Αἴγυπτον τόποις, αἰθρίας οὔσης διηνεκοῦς. Ὑπόστασιν ἔχειν οἰκείαν ἡ νύξ· οὐδὲν ἄλλο οὖσα, ἡ φωτὸς στέρησις, καὶ σκιὰ τῆς γῆς· καὶ ἐκ τοῦ ἀντιφράττεσθαι τῇ τῆς γῆς σφαίρᾳ τὰς ἡλιακὰς ἀκτῖνας, ἐπισυμβαίνουσα. Ὁρατὸν εἶναι τὸ σκότος αἰσθητοῖς ὄμμασι, καθὼς πᾶν φαινόμενον σῶμα καθ' ὕπαρξιν· τὸ μηδαμῇ μηδαμῶς ἄλλο τι ὑπάρχον, πλὴν ἀπουσία φωτός. Τοὺς λίθους πάντας συγχρόνους εἶναι τῷ κόσμῳ, κατὰ πάντα χρόνον συνισταμένους, καὶ γεννησομένους ἐκ πάσης πωρωθησομένης ὕλης εἰσέπειτα. Τὰ τῶν πλείων νυκτονόμα μηδόλως ὁρᾷν ἐν ἡμέρᾳ, βλεπόντων καὶ πάνυ, κἂν φόβῳ τινῶν κατακρύπτηται· καὶ πάντα ἐκτοπίζειν τὰ ἐκτοπίζοντα, πολλῶν ἐξ αὐτῶν φωλευόντων, καὶ κατὰ χώρας μενόντων χρόνον πολὺν, καθ' ὃν τὰ λοιπὰ προφανῶς ἐκτοπίζουσι.

Καὶ ταῦτα μὲν ἱκανὰ πρὸς τὸ δεῖξαι, ὅτι καὶ πολλὰ τῶν φύσει οὕτω πως γινομένων, ἄλλως ταῦτα γίνεσθαι οἱ πλεῖστοι δοκοῦσιν, ἀλογίᾳ φερόμενοι· ἐκεῖνα δὲ πῶς σιγήσω τὰ καὶ ψυχὴν λυμαινόμενα, εἰ μὴ ὡς ἔχει δοξάζηται, ὥσπερ ἄρα καὶ τῶν ῥηθέντων τινά; Δοξάζεται δὴ παρὰ τοῖς μὴ ἔχουσι νοῦν, ὅτι ἐπαύσατο τοῦ θαυματουργεῖν ὁ Θεός· αὐτὸς δὲ καὶ φρονῶ, καὶ πιστεύω, καὶ ἀποφαίνομαι, ὅτι ἀπ' ἀρχῆς αἰῶνος καὶ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν, καὶ πᾶσαν ἀκαριαίαν χρόνου ῥοπήν, ἐν γῇ καὶ θαλάσσῃ, ἐν Ἀγγέλοις καὶ ἀνθρώποις, ἔν τε καιροῖς καὶ χρόνοις, ἐν ἀπίστοις καὶ πιστοῖς, ἁμαρτωλοῖς καὶ δικαίοις, καὶ ἁπλῶς εἰπεῖν ἐν πᾶσι, καὶ πανταχοῦ, καὶ πάντοτε, φανερῶς τε καὶ ἀφανῶς, οὐ διαλείπει θαυματουργῶν· κἂν ὀλίγοις τῶν ἀνθρώπων τὰ θαύματα ταῦτα εὐσύνοπτα. Ἐν μὲν οὖν δικαίοις θαυματουργεῖ, ὅτι τούτους ἀτρώτους φυλάττει τῶν τοῦ ἀντικειμένου βελῶν ἔτι περιόντας ἐν σώματι, καὶ ἀνωτέρους αὐτοὺς τῶν ἐπηρεαζόντων ἀνθρώπων δείκνυσι, καὶ μετὰ θάνατον τὰ τούτων ὀστᾶ, πηγὴν μύρου εὐῶδες, καὶ ἰαμάτων ἀποτελεῖ· πρὸς δὲ καὶ θείαις ἐλλάμψεσι, καὶ ἐμφανείαις Ἀγγέλων τοὺς αὐτῶν ναοὺς καὶ τοὺς τάφους τιμῶν. Ἐν δὲ ἁμαρτωλοῖς, μετὰ μυρίων ἄλλων καὶ ταῦτα, ὅτι ἀξίους ὄντας μυρίων σκηπτῶν καὶ θανάτων, μακροθυμεῖ, τρέφων αὐτοὺς καὶ ζωογονῶν, καιρὸν αὐτοῖς διδοὺς εἰς μετάνοιαν· ἔστι δ' ὅτε καὶ κινδύνων παντοίων πολλοὺς αὐτῶν ἐξαιρούμενος. Θαυματουργεῖ καὶ ἐν πιστοῖς μυστικῶς, καὶ ἰδιαίτατα ταῦτα, ὅτι τῶν εἰς τὸ ὄνομα τούτου βαπτιζομένων τὰ σώματα, καὶ αὐτὸ τὸ τοῦ βαπτίσματος ὕδωρ, καὶ τὸ τῶν ἁγίων Θεοφανείων ἁγίασμα, κἂν χίλια, οἱ μὲν ἐπιζήσωσι, τὸ δὲ φυλάττηται ἔτη, ἀτμὸν εὐώδη ταῦτα πέμπειν οἰκονομεῖ· ὅθεν καὶ τῶν Ἰσμαηλιτῶν οἱ Σατράπαι, καὶ οἱ πλείους τῶν Ἀρχόντων αὐτῶν, βαπτίζονται τυραννοῦντες τοὺς ἐν ταῖς χώραις αὐτῶν ἱερεῖς· καὶ ὅτι πολλῶν καὶ ἀθέων ἐθνῶν τοὺς ἁγίους τόπους προκαταχόντων, ἐν τοσαύταις ἐτῶν περιόδοις, οὐδενὶ ποτὲ τούτων παρεχώρησε τινὰ δοῦναι τῶν ἐξαιρέτων καὶ ἁγίων ναῶν εἰς

κληρου-

κληρουχίαν αἱρετικοῖς· λέγω δὴ, ὅπου ἡ τοῦ Κυρίου γέννησις, ἡ σταύρωσις, ἡ ἀνάστασις πέπρακται, καὶ τὰ ἄλλα τὰ φρικτὰ τῆς ἐνσάρκου οἰκονομίας ἐτελέσθη μυστήρια· καὶ τὸ δὴ μεῖζον εἰς θαύματος λόγον, ὅτι τῆς ὀρθοδόξων Βασιλείας σμικρυνθείσης τοσοῦτον, ὥστε μιᾶς Πόλεως τῆς Βασιλίδος ἄρχειν, καὶ ταύτης πάντοθεν πρὸς πάντων ἀεὶ πολιορκουμένης, καὶ τῆς Ἐκκλησίας, ὡς οὐδέποτε στενωθείσης, οὐκ ἔστιν ὅπου, μὴ τὸν Οἰκουμενικὸν, σὺν τῷ Αὐτοκράτορι μνημονεύουσιν· ἀλλὰ κἂν εἰς τὰ τῆς οἰκουμένης ἄκρα θελήσῃ τις ἀφικέσθαι, Οἰκουμενικὸν ἕνα τὸν Κωνσταντινουπόλεως, καὶ ἕνα Βασιλέα τὸν τῶν Ῥωμαίων ἀκούει μνημονευόμενον. Ποία δὴ σπουδὴ, ἢ δύναμις ἡμετέρα τοῦτ᾽ ἐργάζεται τὸ παράδοξον; εἰ μὴ μόνος ὁ τῶν ὅλων Θεὸς, βεβαιῶν ἐναργῶς τὸ ἡμέτερον.

Δεῖ δὲ κἀκείνου μεμνῆσθαι, ὅτι πρὸ χρόνων διακοσίων τῶν ἐξ Ἰταλίας κρατησάντων τῆς Κωνσταντίνου, καὶ κατασχόντων Ναοὺς ἁγίους ἔτι θαύματα βρύοντας, καὶ καθ᾽ ὃν χρόνον ἐτυράννουν τὴν πόλιν ἐν τοῖς Ναοῖς ἐκείνοις θαῦμα γέγονεν οὐδαμῶς, καὶ τὰ μετενεχθέντα ἐντεῦθεν λείψανα τῶν ἁγίων οὐκέτι θαυματουργεῖ· καὶ μαρτυρεῖ τὰ εἰσέτι κείμενα ἐν τῇ Ἠπείρῳ· ὅσα δὲ ἐναπελείφθη λανθάνοντα, οὐ διαλείπει θαυματουργοῦντα ὡς ἐξ ἀρχῆς· ὡς τὸ τῆς παρθένου Θεοδοσίας λείψανον· ὡς τὰ τῶν ἁγίων Εὐδοκίμου καὶ Μιχαήλ: καὶ σιγῶ φάναι, τὸ ἐν τῇ Δαμασκῷ ἐκβλυζόμενον ἔλαιον ὑπὲρ λόγον, ἐκ τῆς εἰκόνος τῆς οὕτω καλουμένης σαγιτανάγια· τὸ ἐν τῇ Θεσσαλονίκῃ κρουνηδὸν προεκχεόμενον μύρον, παρὰ τοῦ καλῶς ἐν μάρτυσι λάμποντος Δημητρίου, τὸ ἐν τῇ Ἑλλάδι πρὸς τοῦ ἁγίου Βαρβάρου ποταμηδὸν, καὶ τὸ ἐν τῇ Αἰγύπτῳ βάλσαμον, ἐν τῇ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἐπικλήσει, ἐκ φυτοῦ ἐξαντλούμενον· τὰ πρὸς τῆς Ὁδηγητρείας δι᾽ ὅλου, καὶ τῆς θαυματοβρύτου πηγῆς, καὶ τοῦ θείου Προδρόμου τῆς πέτρας τελούμενα.

Θαυματουργεῖ καὶ ἐν ἀπίστοις διὰ τῶν ἐναντίων, εἰ καὶ παράδοξον τὸ λεγόμενον, Ἔθνη ἀδοκήτως κατ᾽ Ἐθ-

 νῶν

νῶν ἐπεγείρων, καὶ πόλεις ἀνατάτȣς διὰ πλῆθος ἁμαρτίας τιθέμενος· πρὸς δὲ, κοινὰς νόσȣς ἐπάγων αὐτοῖς, σεισμȣ̀ς καὶ λιμȣ̀ς καὶ ἐμφυλίȣς πολέμȣς, καὶ φόβητρα, λεηλασίας τε καὶ θανάτȣς πικρȣ́ς. Πλὴν ταῦτα ἐνίοτε καὶ πρὸς πάντας Υἱȣ̀ς ἀπειθείας ἐπάγει, πρὸς ἁμαρτίας ἀναίρεσιν. Πάλιν ἐν Ἀγγέλοις, ἐν ἀνθρώποις, ἐν θαλάσσῃ, ἐν γῇ, ἐν καιροῖς καὶ ἐνιαυτοῖς, ȣ̓ διαλείπει θαυματȣργῶν ὁ Θεός· ὅτι τȣ̀ς Ἀγγέλȣς ἀτρέπτȣς διατηρεῖ, καὶ προκοπῆς αὐτȣ̀ς θειοτέρας διηνεκῶς ἀξιοῖ, καὶ τȣ̀ς θέλοντας ἀνθρώπȣς ἀληθείᾳ σωθῆναι, εἰς τὴν τῶν Ἀγγέλων ἀναβιβάζει φαιδρότητα. Ὅτι τὴν θάλασσαν πραΰνων διασώζει τȣ̀ς πλέοντας, ἐν ἀκμῇ τȣ͂ σάλȣ καὶ τȣ͂ κινδύνȣ, ἄνωθεν φρυκτωρίας αὐτȣ̀ς ἀξιῶν. Ὅτι σπέρματα τῇ γῇ, καὶ καρπȣ̀ς εἰς πανδαισίαν ἡμῶν φέρειν ὁσημέραι ποιεῖ, καὶ πᾶν ζῶον ἐμπίπλησι, καὶ οἱ οἰκτιρμοὶ αὐτȣ͂ πλȣ́σιοι ἐπὶ πάντα τὰ ἔργα αὐτȣ͂. Ὅτι καὶ μετὰ ψύχȣς, καὶ μετὰ καύσωνος ψύχει, εὐφορίας πολυτρόπως, καὶ ἀφορίας παραδόξως ποιῶν. Ἔντε τῷ σύμπαντι κόσμῳ θαυματȣργεῖ κοινῶς ὁ τῶν ὅλων Θεὸς, διεξάγων προνοίᾳ, καὶ συντηρῶν λόγοις ἀῤῥήτοις ἅπαν τὸ ποίημα, μεταποιῶν αὖθις ἡνίκα δέῃ, καὶ μετασκευάζων πάντα ἐπὶ τὸ βέλτιςον. Ἔτι καὶ ἐν ἑνὶ ἑκάςῳ ἡμῶν ἰδίως δι᾽ ὅλȣ θαυματȣργεῖ, τρέφων, αὔξων, τέρπων, ζωογονῶν, πλȣτίζων, ὑψῶν, δοξάζων, εὐφραίνων, ῥυόμενος μυρίων καὶ παντοίων κακῶν· καὶ τȣ́των μάρτυς ἑνὸς ἑκάςȣ τὸ συνειδός· εἰ καὶ τὰ πλείω τῶν εἰς ἡμᾶς γινομένων θαυμάτων, διά τε τὸ πλῆθος καὶ τὸ ἀόρατον, παρατρέχει πολλȣ̀ς, καὶ τὸ τȣ͂ λόγȣ, λήθης βυθοῖς παραδίδοται· καὶ ὡς ἐν τύπῳ εἰπεῖν, ȣ̓κ ἔςι τῶν κτισμάτων ἁπάντων μικρὸν ἢ μεῖζον ȣ̓δὲν, κἂν ἐφήμερον ἔχει τὸ εἶναι, κἂν διαρκὲς, ἐν ᾧ μὴ τὸ θεῖον ἀδιαλείπτως θαυματȣργεῖ. Καὶ ταῦτα διῆλθον, ȣ̓ τῶν θείων θαυμάτων τὸ πέλαγος, ὡς τολμητίας, μετρῆσαι πειρώμενος, ἀλλ᾽ ὑπομνῆσαι τȣ̀ς θέλοντας τῶν γινομένων παρὰ Θεȣ͂ κοινῇ, καὶ καθ᾽ ἕκαςον, θαυματȣργιῶν ἀπὸ μέρȣς· ὡς ἂν πάντων ἕνεκεν εὐχαριςίαν

καὶ δόξαν αὐτῷ ἀναπέμπωμεν· ὅτι καὶ τὸ σιγᾶν τὰ θεῖα θαυμάσια, ψυχῆς φέρει κίνδυνον, καὶ τὸ ἀχάριςον ἐπὶ πᾶσιν ἐλάττοι, ἢ ἐκκόπτει τὰς μελλέσας δοθήσεσθαι χάριτας· ταῦτα μὲν ἐν εἰρήσθω μοι κατ᾽ ἐπιτομήν.

Ἐπεὶ δὲ πᾶν πρόβλημα, καὶ νόημα, καὶ ζήτημα, καὶ δόγμα, ἁπλῶς μὲν λαμβανόμενον, ὕλη προσέοικέ τινι ἀμόρφωτῳ καὶ ἀνειδέῳ, ἐπεξεργαζόμενον δὲ, καὶ λεπτομερῶς θεωρέμενον, εἰδοποιεῖσθαί πως δοκεῖ καὶ μορφέσθαι, καὶ χρήσιμον ὅτι μάλιςα γίνεσθαι, φέρε δὴ καὶ τινα τῶν τέτοις ὁμογενῶν ἐπεξεργασώμεθα. Νομίζεται τοῖς πολλοῖς μὴ πάντα τὰ ἐπαγόμενα παρὰ Θεῦ τοῖς ἀνθρώποις εἶναι φιλάνθρωπα καὶ ἐπωφελῆ· τῇ δ᾽ ἀληθείᾳ, κἀμοὶ, πᾶν δοκεῖ τὐναντίον· ὅτι ὥσπερ πάντα τὰ ἔργα, ὅσα πρὸ τῆς τῦ Ἀδὰμ παραβάσεως ἐποίησεν ὁ Θεὸς, καλὰ, καὶ καλὰ λίαν, ἕτως ὁπόσα μετὰ τὴν τέτε παράβασιν ᾠκονόμησεν, ἢ ἄλλως γίγνεσθαι συγχωρεῖ, πρός τι τέλος πάντως σωτήριον καὶ χρηςὸν ἀφορᾷ, κἂν ὀλίγοις εὐσυνόπτον, ἡ ἐξ ἑνὸς ἑκάςε τῶν γινομένων ὠφέλεια. Εἰ γὰρ τὸ δεινότατον τέτων ὁ θάνατος, ἐπωφελέςατον τοῖς ἀνθρώποις ἐςὶν (ἵνα γὰρ ἡ ἁμαρτία διακόπτηται φησὶ, καὶ μὴ ἀθάνατον ᾖ τὸ κακόν·) πολλῷ μᾶλλον τὰ ἐκείνε ἐλάττω εἶναι δοκεῦντα, ἢ ὄντα κακὰ, τοῖς μετ᾽ εὐχαριςίας ταῦθ᾽ ὑπομένειν ἐθέλεσιν, ἐπωφελῆ εἰσὶ καὶ σωτήρια· ὅθεν ἐδὲ κακὰ εἰκότως κληθεῖεν ἂν, φάρμακα δὲ προφυλακτικὰ, καὶ καθάρσια, πικραίνοντα μὲν ὀλίγα τὴν αἴσθησιν, ἀπαλλαγὴν δὲ ἐπάγοντα κακῶν ὀλεθρίων, καὶ σωτηρίαν προξενῦντα ψυχῆς. Τὴν γὰρ ἐκ τῦ ἡμετέρε αὐτεξεσίε ἐμπαθῆ ςοργὴν καὶ παράχρησιν πρὸς τὰς ὕλας, καὶ τὰς τῶν πραγμάτων μεταβολὰς καταργῶν φιλανθρώπως καὶ πολυτρόπως, ὁ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν Κύριος, ἐναντία πολλὰ καὶ κοινὰ βοηθήματα, ὡς κοινῶν δήπε καὶ τῶν παθῶν ὑπαρχόντων, τῷ βίῳ ἡμῶν παρεισήγαγε· καὶ πολλαχόθεν τῦτο δῆλον, κἀντεῦθεν.

Διὰ τȣ̃το κατὰ τὰς ἡμετέρας γενεὰς τὸ τῶν ἀνθρώπων γένος βραχύβιον, ἵνα μὴ μακροχρονίζον ἀπέραντα καὶ ἀσύγγνωστα διὰ τȣ̃το ἁμαρτάνῃ λοιπόν. Εἰ γὰρ εἴκοσιν, ἢ τριάκοντα ἐτῶν ȣ̎πω γενόμενός τις, μέτεισιν εὐθὺς πάσης κακίας εἶδος, εἰ πεντακόσια ἔζησεν ȣ̃τος ἔτη, πȣ̃ ȣ̓κ ἂν ἀσεβείας ἐξώκειλε; καὶ εἰ πρὸ τρισκαίδεκα ἐτῶν ἀποθνησκόντων τῶν πλείστων, τȣ̃ θανάτȣ αὐτίκα ἐπιλανθάνονται οἱ λοιποὶ, εἰ ἀνὰ τριακοσίων ἕκαστος ἔζη τῶν ζώντων, πολλῷ μᾶλλον αὐτȣ̃ ἐπελανθάνοντο ἄν· ὅθεν καὶ θείᾳ προνοίᾳ τὰ πολλὰ τῶν πραγμάτων, μετὰ τὸ πειραθῆναι, καὶ ἐθισθῆναι τὸ ἐξ αὐτῶν ἡδὺ καὶ ὠφέλιμον, προσκορῆ τοῖς ἀνθρώποις νομίζεται· καὶ ὅσα παισὶν ȣ̃σιν αὐτοῖς ἥδιστα φαίνεται, προϊȣ̃σιν εἰς ἄνδρας, ȣ̓κ ἔτι τοιαῦτα δοκεῖ, ἀλλὰ τῷ χρόνῳ συμμαραίνεται ἡ ἐκστατικὴ καὶ ἀπατηλὴ τȣ́των δύναμις· τὸ μὲν, διὰ τὴν πεῖραν καὶ τὴν συνήθειαν, τῆς χαρμοποιȣ̃ φαντασίας σκεδαννυμένης, τὸ δὲ, διὰ τὴν τῶν ἐπιγινομένων παθῶν ἐπικράτειαν. Ἀμέλει καὶ ὁ κόσμος τȣ́τῳ τῷ λόγῳ τοῖς καθ᾽ ἡμᾶς δοκεῖ φορτικός· καὶ τοῖς γέρȣσιν ἄχθος μὲν τὸ ζῆν καὶ τὰ ἐν χερσὶν, τὰ δὲ τῆς τȣ́των νεότητος, ἥδιστος μνήμη· καὶ ἁπλῶς ἀεὶ ἅπερ ἔχομεν, καὶ τὰ πέρυσι βελτίω. Ταύτῃ τοι καὶ ξένον ȣ̓δὲν, εἰ πᾶσα ἀκαταστασία καὶ σύγχυσις, καὶ πάντα ἄνω καὶ κάτω τὰ νῦν· εἰ γὰρ μὴ ἀκολȣ́θως ȣ̎τω συνέπιπτε, πολλοῖς ἂν ὁ κόσμος ἔδοξεν ἀΐδιος εἶναι· ὅτι δὲ τȣ̃τ᾽ ἀληθὲς, μαρτυρȣ̃μεν τοῖς τρόποις ἡμεῖς, ȣ̎τω ζῶντες ὡς ἀεὶ βιωσόμενοι, καὶ φθορᾷ μηδαμῶς ὑποκείμενοι· καὶ ταῦτα μήπω πεντηκοστὸν οἱ πολλοὶ παρελάσαντες ἔτος, καὶ μυρίοις δι᾽ ὅλȣ ἐνοχλȣ́μενοι πάθεσι, καὶ τὸν κοινὸν ὀλετῆρα, τὸν θάνατον, καθ᾽ ἑκάστην βλέποντες ὀφθαλμοφανῶς. Εἰ γȣ̃ν ȣ̎τω παντοίως φθειρόμενοι, καὶ αἰρȣ́μεθα, καὶ οἰόμεθα ζῆν, ὡς ἀΐδιοι τέως, ὥστε καὶ πολλȣ̀ς ἐξ ἡμῶν Θεȣ̀ς ἑαυτȣ̀ς λογίσασθαι καὶ καλέσαι, τὸ τολμηρότατον, σχολῇ γ᾽ ἂν, εἰ μὴ καθ᾽ ἑκάστην τὰ πράγματα ἠλλοιȣ̃το ῥοπήν, καὶ

μάλιςα νῦ ἐπὶ τὰ τέλη τῶν χρόνων, ἐκ αἰδιότητα κόσμε οἱ πολλοὶ ἐφαντάσθησαν.

Πρόσκαιρον μὲν ἓν εἶναι ταύτην ἡμῶν τὴν ζωὴν ὁ σοφὸς παντεργέτης προώρισεν, ἵνα μὴ τῇ ταύτης αἰδιότητι φανταθῶμεν ἰσοθείαν· βραχεῖαν δὲ, ὥςε μὴ ἁμαρτίας ἐφ' ἁμαρτίαις ἐπιτιθέντες, τὴν μέλλεσαν ἡμῖν κόλασιν ἐπαυξήσωμεν· τὲς πλησίον ἡμῶν καὶ συγγενεῖς καὶ φίλες, καθ' ἑκάςην ἐντεῦθεν μετάγει, τὴν ἡμῶν εὔνοιαν πρὸς τὸν κόσμον ἐκεῖνον μετάγων, ὅπε πάντες καθ' ἡμέραν, ἡμῶν βλεπόντων, ἀπαίρεσι· γῆρας τῇ νεότητι παρὰ πόδας ἐπάγει, τὸ ἀκαμπὲς ἡμῶν καὶ ἀταπείνωτον φρόνημα κατασπῶν· πόνοις ἀλλεπαλλήλοις, καὶ συχναῖς θλίψεσι προσπαλαίειν ἡμᾶς συγχωρεῖ, ταύτῃ τὰς μελλέσας κολάσεις, καὶ ἄκεσιν ἐπικεφίζων ἡμῖν· ῥέυςὰ, ἢ φθαρτὰ, καὶ ἐδὲν ἀμείνω σκιᾶς τὰ ἀνθρώπινα δείκνυσιν ἅπαντα, ὡς ἂν τῶν ἀκηράτων ἐκείνων ἀγαθῶν ἀνέκλειπτον ἔχοιμεν ἔρωτα· πενίᾳ καὶ νόσῳ πολλάκις περιπεσεῖν ἀφίησι, τῇ μὲν, τῶν πτωχῶν τῆς ταλαιπωρίας, τῇ δὲ, τῆς ἐντεῦθεν ἐξόδε εἰς μνήμην ἄγων ἡμᾶς· πάθεσιν αἰχροῖς ἡττηθέντας μισηθῆναι παραχωρεῖ, ὥςε ποσῶς εἰς αἴσθησιν τῆς τέτων βλάβης ἐλθεῖν, καὶ ἀνανῆψαι ἡμᾶς τῆς ἐκεῖθεν πωρώσεως, προμηθέμενος· ζωϋφίοις εὐτελέσι περιφρονεῖσθαι παραχωρεῖ, τἔτο μὲν, τῆς ἀρχῆς ἧς ἔχομεν πρὸς τὰ τῶν ζώων ἅπαντα γένη, τἔτο δὲ, τἔ σκώληκος ἐκείνε τἔ ἀκοιμήτε, ὑπομιμνήσκων ἡμᾶς· καὶ ὡς ἐν συνόψει φάναι, ἐκ ἔςιν ἐδὲν τῶν ἐν τῇ κτίσει δοκέντων κακῶν, ἢ τῶν τοῖς ἀνθρώποις ἐπαγομένων ἀνελπίςως δεινῶν, ὃ μὴ ἐκκόπτει κακίαν προσἔσαν, ἢ μέλλεσαν, ἢ μὴ ἐπάγει ἀρετὴν ἀπἔσαν καὶ ποθεμένην τοῖς θέλεσιν.

Αὖθις ἐκεῖνο νομίζεται παραλόγως τοῖς ζῶσιν ὡς τύχοι, ὅτι ἐπεὶ πάντες ἐνταῦθα καὶ γεννώμεθα, καὶ ζῶμεν, πάντως ἐγχώριοι καθεςήκαμεν· τῇ δὲ φυσικῇ τῶν πραγμάτων προόδῳ, ἐκ ἂν ἔτω δόξειεν, ἀλλὰ πᾶν τἔναντίον. Ὅτι ξένοι τῷόντι ἐσμὲν, καὶ πάροικοι τῶν ἐνταῦθα,

ταῦθα, καὶ μὴ βουλόμενοι· οὐ μόνον ὅτι μεταμείβομεν τόπους ἐκ τόπων ταῖς συχναῖς ἡμῶν μεταβάσεσι, καὶ κλώμεθα ἄλλα ἀντ' ἄλλων ἐνίοτε, ἀλλὰ ξένοι ἐσμὲν τῆς ἡμῶν ταύτης πόλεως, ὅτι πόλις ἡμῶν πέφυκεν ἀληθὴς ἡ ἄνω Ἱερουσαλὴμ, ἡ ἐλευθέρα Μητρόπολις· ξένοι ἐσμὲν πάντες τῶν ἡμετέρων τούτων οἰκιῶν, ὅτι οἰκίας ἔχομεν ἀχειροποιήτους ἐν οὐρανῷ τὰς αἰωνίους σκηνὰς, ἔνθα εὐφραινομένων ἡ κατοικία ἐστί· ξένοι τῶν τῇδε κήπων καὶ χωρίων καὶ ἀμπελώνων, ὅτι ὃν ὁ Θεὸς ἐφύτευσε Παράδεισον, τῆς τρυφῆς τὸ χωρίον, ἡμῶν χάριν πεφύτευται, καὶ ἡμᾶς οἰκιστὰς καὶ θεωροὺς ἀπεκδέχεται· τῶν τε συγγενῶν τούτων δὴ τῶν ἐξ αἵματος ὑπάρχομεν ξένοι, ὅτι γενεὰ τῶν ζητούντων τὸν Κύριον οἱ κατ' ἀρετὴν γεννηθέντες εἰσὶ, καὶ συναρμοσθέντες τῷ Χριστῷ διὰ Πνεύματος. Καὶ ἄλλως δὲ πεφύκαμεν παντοίως ξένοι, ὅτι πάντα ἃ κτώμεθα δῆθεν, ὧδε πάντα εὑρίσκομεν, καὶ μὴ θέλοντες ταῦτα ὧδε πάντως ἀφίεμεν· πλὴν δέδωκεν ἡμῖν ὁ Θεὸς χάριν μεγίστην, καὶ ξένον ἐμπορίας τρόπον ἐν τούτοις, ἵνα μενόντων αὐτῶν ἀκεραίων ἐνταῦθα, δύνασθε ταῦτα μετατιθέναι καὶ εἰς ἐκεῖνον τὸν κόσμον, καὶ πάντα μεταποιεῖν ἀντὶ φθαρτῶν ἄφθαρτα, ἀντὶ προσκαίρων αἰώνια, καὶ ἀντὶ ἐπιγείων ἐπουράνια· ταῦτα γὰρ οὕτω μετασκευάζειν ἐπὶ τὸ κρεῖττον ἰσχύομεν ἅπαντες διὰ τῆς χρυσῆς μεταδόσεως.

Ἰστέον μέντοι κἀκεῖνο σὺν τούτοις τὸ ἐπιγνώσεως ἄξιον, ὅτι πάντων τῶν ἐν τῷ κόσμῳ, φυσικῶς μετέχομεν ἅπαντες ἄνθρωποι, κἂν τὴν τῶν πολλῶν αἴσθησιν ἡ μετοχὴ αὕτη λέληθε· λίθων, ὅτι ἐν ἡμῖν αὐτοῖς ὅσα φύσει φέρομεν, τῷ ἀναίσθητα εἶναι, τοῖς λίθοις ὄντα ταὐτά· φυτῶν, κατὰ τὴν αὐξητικὴν, καὶ θρεπτικὴν, καὶ γεννητικὴν δύναμιν· ζώων ἀλόγων, κατὰ τὴν αἰσθητικὴν, καὶ μεταβατικὴν, καὶ τὸ ἐπιθυμεῖν, καὶ θυμοῦσθαι, ὡς μὴ χρεών· τῶν ἁπλῶν στοιχείων, ἐκ γὰρ τούτων συνέστημεν φύσει, καὶ εἰς αὐτὰ προφανῶς ἐχήκαμεν ἄνωθεν τὴν διάλυσιν· τοῦ παντὸς, ὅτι μέρος ὄντες αὐτοῦ

κατὰ

κατὰ τὴν ὀντότητα, ἐξ ἀνάγκης τοῦ ὅλου μετέχομεν· Ἀγγέλων, ὡς λογικοὶ καὶ αὐτοὶ πεφυκότες, καὶ νοῦν ἔχοντες ἀεικίνητον, καὶ ὑμνολογικὸν πνεῦμα, καὶ ἄϋλον, καὶ ἀθάνατον· Θεοῦ, ὅτι πνοὴ καὶ εἰκὼν καὶ ὁμοίωσις ὄντες ἐκείνου, αὐτεξουσιότητι καὶ ἀρχῇ παρ᾽ αὐτοῦ τετιμήμεθα, καὶ ἐν αὐτῷ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν. Καὶ ἄλλως δὲ τοῦτο πρόδηλον, ὅτι διερχόμενος ὁ ἄνθρωπος τὸν παρόντα βίον, πάντων ὥσπερ τὰς φύσεις, ἢ τὰ ἰδιώματα τῶν κτισμάτων διέρχεται, καί γε ἁπλόμενος τελειότητος, ἔγγιςα γίνεται τοῦ Θεοῦ· καὶ θαῦμα τοῦτο πολλῶν θαυμάτων πλέον! πῶς ἐκ τῶν φαύλων, καὶ εἰδεχθῶν, καὶ χαμερπῶν, τῆς προκοπῆς ταύτης καὶ συνεχοῦς ἀρχόμενος ἐπαυξήσεως, βελτίων, ὑψηλὸς, καὶ θεῖος ἀποκαθίςαται· καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγόμενος, ἐντὸς ὀλίγων ἐτῶν, λαμβάνει ἀξίαν ἁγίου, Ἀγγέλου, Θεοῦ! εὐθὺς γὰρ καταβαλλόμενος ἐν τῇ μήτρᾳ, ὥσπέρ τις λίθος ἀκινητίζει μέχρι τινός· εἶτα φυτὸν καθάπερ τρεφόμενος, αὐξάνει ἀναισθητῶν· ἔπειτα εἰς ζωοφύτου ὥσπερ μεθίςαται φύσιν, τὴν τροφὴν ὡς διά τινος ῥίζης, τοῦ ὀμφαλοῦ, ἐπισπώμενος ἐκ τῶν πέριξ, καὶ ὀλίγα κατ᾽ ἐκεῖνο κινούμενος, ἢ σκώληκος οἰκεῖον δίκην, ἰλυσπώμενος ἐν κοιλίᾳ τὸν ἐννεάμηνον χρόνον· μετὰ ταῦτα πρόεισιν ἀτελές τι ζῶον καὶ εὐτελὲς, πολλῆς προνοίας δεόμενον, καὶ ἀλόγων μικρὸν, ἢ οὐδὲν, διενηνοχός· ἔπειτα βίᾳ καὶ μεθόδῳ ποικίλῃ λόγου τινὸς μετασχὼν καὶ παιδείας, ἄνθρωπος γίνεται· πλὴν ὀψὲ τοῦτο, καὶ μόγις, καὶ χρόνῳ μακρῷ· ὁ αὐτὸς μέντοι μετέπειτα, ἀρετῆς καὶ θείας χάριτος μετασχὼν, ἅγιος γίνεται, καὶ εἰς τὴν τῶν Ἀγγέλων ἀξίαν, ταῖς τοῦ Πνεύματος ἀναβάσεσι φθάνει, ἐλλάμψεώς τε τυχὼν τῆς ἀμείνω, θέσει Υἱὸς Θεοῦ γίνεται, καὶ Θεός. Οὕτω μέτοχος ἄρα πάντων τῶν ὄντων, καὶ διὰ τοσούτων περιόδων βιαίων καὶ δυσεκλύτων, τελεσιουργεῖται τουτὶ τὸ ζῶον ὁ ἄνθρωπος.

Ἐπὶ δὲ πᾶσι τούτοις, πολλοὶ τῶν ἀνθρώπων νομίζουσιν ἄρχοντες εἶναι τινῶν, ὧν ἐπίτροποι μόνον γεγόνασι

πρόσκαιροι· ὑμεῖς δὲ σιωὲτε πάντες, εἰ βȣ́λεσθε, ὅτι ὅσων ἄρχειν δοκȣ͂μεν, ȣ̓δὲν ἐςὶν ἡμέτερον, ἅπαντα δὲ μόνȣ τȣ͂ πάντων Θεȣ͂, καὶ Κυρίȣ ἡμῶν· οἰκονόμοι δὲ τȣ́των ἡμεῖς ἐσμὲν μόνον, ȣ̓ Κύριοι. Εἰσὶ μέν τοι τὰ νομιζόμενα καὶ λεγόμενα ἡμέτερα ταῦτα χεδὸν, ψυχὴ, σῶμα, πλȣ͂τος, δόξα, νεότης, δύναμις, βρώματα, χρήματα, θελήματα, ἐνδύματα, κτήματα, κτίσις, οἰκίαι, καὶ τὰ ἐν ταύταις χρειώδη· τέκνα, καὶ δȣ͂λοι, συγγενεῖς, φίλοι, τέχναι καὶ ἀρεταὶ, ῥῶσις αἰσθήσεων, σιωὸ ὁλοκληρία μελῶν τῶν τȣ͂ σώματος, ἀξιώματα κόσμȣ, ἢ Ἐκκλησίας, μαθήματα καὶ γνῶσις, πίςις ὀρθὴ καὶ διδασκαλία, εὐτυχία τε σιωὸ τȣ́τοις καὶ εὐθυμία· ταῦτα μέν τοι καὶ τάλαντα παρὰ Θεȣ͂ πιςευόμενα τοῖς ἀνθρώποις, φησὶ τὸ ἱερὸν Εὐαγγέλιον. Εἴτις ȣ̓͂ν τȣ́των πέντε, ἢ πλείω, ἢ πάντα κτησάμενος, ὡς δεσποτικὰ μετὰ φόβȣ οἰκονομεῖ, καὶ ȣ̓χ ὡς ἴδια σφετερίζεται, πολλαπλάσια ταῦθ' ὡς ἄριςος οἰκονόμος ποιεῖ, καὶ δȣ͂λος ἀγαθὸς καὶ πιςὸς ἀκȣ́ει, καὶ εἰς τιὼ χαρὰν τȣ͂ ἑαυτȣ͂ Κυρίȣ εἰσέρχεται.

Ἀλλ' ἐγγύτερον διὰ σαφιώειαν τȣ́τȣ βάλλωμεν τȣ͂ σκοπȣ͂. Ἐνέπνευσεν ἡμῖν ὁ Θεὸς ἄνωθεν ψυχιὼ, ȣ̓χ ἵνα τοῖς σωματικοῖς ὑποκύπτῃ πάθεσι καὶ καθέλκηται, ἀλλ' ἵνα πρὸς τὸν ταύτιω πνεύσαντα ἀνανεύῃ, καὶ ὅθεν προῆλθεν ὁρᾷ, καὶ ὅλη ὅλῳ τό γε εἰς ταύτιω ἧκον ἑνȣ͂ται διὰ θεωρίας καὶ πράξεως, οἷά τις καλλίςη περιςερὰ, περιηργυρωμέναις δυσὶ πτέρυξι, νοητῶς πρὸς αὐτὸν ἱπταμένη καὶ καταπαύȣσα· ἔπλασεν ἡμῖν σῶμα, ȣ̓χ ἵνα ἑαυτῷ ὑπηρετῇ, ἀλλ' ἵνα ἐν τοῖς κρείττοσιν ἀεὶ δȣλεύῃ τῇ ψυχῇ· δέδωκε πλȣ͂τον, ἵνα ὅπȣ μέλλομεν ἀπελθεῖν μετ' ὀλίγον, προπέμψαντες ἤδη τȣ͂τον, κἀνταῦθα, κἀκεῖσε πλȣ́σιοι ὦμεν αἰώνιοι· δόξαν ἐχαρίσατο πρόσκαιρον, ἵν' ὡς δοξάζων ἡμᾶς, ἀντιδοξασθεὶς παρ' ἡμῶν, καὶ ἀθάνατον δόξαν χαρίσηται· νεότητα δέδωκε πάντως, ἵν' ἐν τῷ ταύτης καιρῷ τὰ καλὰ ἐργασάμενοι, εὐπραγήσωμεν ἐν τῷ γήρει· δύναμιν, ἵνα τοῖς ἀδυνάτοις ὀρέγοντες χεῖρα, μὴ μάτιω κλᾶσθαι ταύτιω προσμαρτυρήσωμεν· χρήματά τε

καὶ

καὶ βρώματα, πεινώντων ἄλλων καὶ δεομένων παρέχειν ἀφθόνως ἡμῖν, ἵνα τὰ μὲν τοῖς πεινῶσι, τὰ δὲ τοῖς δεομένοις παρέχοντες, πολλαπλᾶ ἀνθ᾽ ἁπλῶν ἐργασώμεθα· θελήματα μέντοι καὶ ἐνδύματα εὕρομεν, ὡς τὰ μὲν τῷ Θεῷ, τὰ δὲ τοῖς πένησι διδόντες ἐλευθερίαν διαρκῆ καὶ ἀγαλλιάσεως ἔνδυμα εὕρωμεν· κλήμασι πάλιν καὶ κτήνεσιν ἐπλούτισεν ἡμᾶς, ἵν᾽ ὡς ἐκείνων τὰ μὲν ὑπηρετεῖ καὶ σκέπει, τὰ δ᾽ ἡμᾶς καὶ τρέφει πλουσίως καὶ τέρπει, οὕτω καὶ ἡμεῖς τῷ πλουτίσαντι καὶ ὑπηρετήσωμεν ὥσπερ δοῦλοι, καὶ καρποφορήσωμεν ὡς γεώργια· οἰκίας παρέχετο, καὶ τὰ ἐν ταύταις χρειώδη, ὥστε πρὸς τὰς μονὰς ἐκείνας τὰς οὐρανίους, καὶ τὰ ἐν αὐταῖς ἀποκείμενα, ἐκ τούτων ἀναβιβάζειν τὸν νοῦν· τέκνοις ἡμᾶς καὶ δούλοις περιεστοίχισεν, ἵνα τοὺς μὲν πρὸς τὸν φύσει Δεσπότην, τὰ δὲ πρὸς τὸν χάριτι πάντων Πατέρα παιδεύωμεν ἀφορᾶν· συγγενεῖς καὶ φίλους πολλαχόθεν συνίστησιν ἡμῖν, ἵνα τοὺς μὲν φύσει, τοὺς δὲ γνώμῃ φιλοῦντες, τὴν τῶν ἀρετῶν βασιλίδα ἑκατέρωθεν κατορθώσωμεν· τέχνας τῷ σώματι μετέρχεσθαι, καὶ ἀρετὰς ἐργάζεσθαι, ἰσχὺν παρέχει ταῖς ἡμετέραις ψυχαῖς, ὡς ταῖς μὲν τοὺς ἀτεχνεῖς ἐπὶ τὰ χρήσιμα, ταῖς δὲ τοὺς ἀτελεῖς ἐπὶ τὰ καλὰ καὶ τέλεια ἕλκωμεν· ῥῶσιν αὖθις καὶ αἴσθησιν καὶ ὑγίειαν μελῶν ἐδωρήσατο· ὡς διὰ μὲν τῶν, τοῖς πηρωθεῖσί τι μέρος ἀρήγωμεν, διὰ δὲ τῶν, τοῖς ἀσθενοῦσιν ὑπηρετῶμεν ἐπιμελῶς καὶ φιλευσεβῶς· καὶ τοὺς μὲν ἡμῶν κατεκόσμησεν ἀξιώμασι κόσμου, ἵνα τοῖς ὀρφανοῖς καὶ ταῖς χήραις ἀδικουμένοις συνηγορῶμεν, καὶ χειρὸς ἁρπαζόντων ῥυώμεθα· τοὺς δὲ χαρίσμασιν ἐκκλησιαστικοῖς, καὶ ἱερατικαῖς ἀξίαις ἐπλούτισεν, ἵνα ἐν καθαρῷ συνειδότι, λειτουργίαν ἁγίαν προσκαίρως τῷ Θεῷ λειτουργήσαντες, ἀξιωθῶμεν κἀκεῖσε, καὶ αἰωνίως αὐτῷ λειτουργεῖν. Ἔτι μαθήμασιν ἐτίμησεν ἐνίους ἐξ ἡμῶν, ἵνα τοὺς ἀμαθεῖς μανθάνωμεν τὰ καλά, καὶ τὸν νοῦν αὐτῶν ἐθίζωμεν ἐπὶ τὰ ὑψηλὰ καὶ οὐράνια· ἄλλους γνώσει ἐκάλλυνε, καὶ παιδεύσει ἐλάμπρυνεν, ὥστε τοὺς ἀπαιδεύτους παιδεύειν, καὶ τοὺς τὸ δέον ἀγνοοῦντας εἰς γνῶσιν ἄγειν αὐτοῦ· πίστει ὀρθῇ, καὶ διδα-

σκαλίας χαρίσματι ἐνίους ἐκόσμησεν, ἵνα διὰ μὲν τῶν τῆς πίστεως ἔργων, τοὺς ἀπίστους εἰς πίστιν ἐνάγωμεν, διὰ δὲ τῶν τῆς διδασκαλίας λόγων, πρὸς ἀρετὴν τοὺς πιστοὺς ἐρεθίζωμεν· εἰ βούλει δὲ, τῷ μὲν λόγῳ τοὺς ἀπίστους, τῷ δὲ ἔργῳ τοὺς πιστοὺς, ἢ καὶ δι' ἀμφοῖν ἅπαντας, πρὸς Θεὸν ἐπιστρέφωμεν· εὐτυχίᾳ τε πάλιν καὶ εὐθυμίᾳ πολλοὺς πολλάκις ἡμῶν ἐπιτέρπει, ἵνα καὶ ἡμεῖς τούς τε δυστυχοῦντας καὶ τοὺς ἀθυμοῦντας παντοίως παραμυθώμεθα.

Ὥστε οὐδὲν ὧν ἔχειν δοκοῦμεν, ἡμέτερον ἐστὶν, οὔτε παρ' ἡμῶν κατορθοῦται, εἰ καὶ δοκεῖ, οὔθ' ἡμῶν χάριν δέδοται μόνον, οὔτε διὰ τὸ μεῖναι ὅσον ἐδόθη, πρὸς τῆς πάντων προνοίας κεχάρισται· ἀλλὰ κἂν ὁποῖον ἂν ᾖ, Θεοῦ τοῦ παροχέως ἐστὶ, καὶ πλὴν αὐτοῦ οὐ τελεῖται, καὶ πάντων ἕνεκα δίδοται, καὶ τοῦ πολλαπλασιασθῆναι πάντως, ὡς εἴρηται. Οὐκοῦν εἴ τις τὰ Δεσποτικὰ κατέχει ὡς ἴδια, καὶ ἑαυτῷ τὴν τούτων κατόρθωσιν ἐπιγράφει, καὶ τοῖς κοινοῖς ὡς οἰκείοις ἐγκαλλωπίζεται, καὶ τὰ δυνάμενα πληθυνθῆναι, ἐκ φειδοῦς καὶ ἀργίας τηρεῖ μοναπλᾶ, πονηρὸς δοῦλος καὶ ὀκνηρὸς, μάλα εἰκότως ἀκούει· καὶ ἄρατε ἀπ' αὐτοῦ τὸ τάλαντον, ἤτοι χάρισμα τὸ θεόσδοτον· καὶ τοῦτον διχοτομεῖτε· καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν τίθεται, καὶ χεῖρας δικαίως καὶ πόδας δεσμεῖται, καὶ εἰς σκότος ἐμβάλλεται τὸ ἐξώτερον, καὶ κλαυθμὸν ἀπαράκλητον, καὶ βρυγμὸν ὀδόντων κληρονομεῖ, ἀνθ' ὧν τὰς θείας εὐεργεσίας καὶ χάριτας, οὐκ ἐβουλήθη συνιέναι, οὐδὲ ἐζήτησε μαθεῖν· ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον.

Ὡς ἂν δὲ ἐπὶ τὸν τοῦ λόγου σκοπὸν ἐπανέλθωμεν, ἐκεῖνο εἰπόντες ἀρκεσθησόμεθα· πολλοὺς τῶν μεθ' ἡμῶν τεταγμένων, πρὸς τὸ πλῆθος ὁρῶντας, καὶ τὴν ῥαστώνην τῶν τε ἀπίστων καὶ τῶν ἁμαρτωλῶν ἐπτοημένους ἐγὼ συνορῶν, χαριέντως τούτους ἐρήσομαι. Ποῖον ὑμῖν νομίζεται κρεῖττον; εἷς λίθος τίμιος, ἢ χίλιοι χυδαῖοι; μία λίτρα χρυσὸς, ἢ ἑκατὸν μόλιβδος; ἓν σῶμα ὑγιαῖνον, ἢ δέκα παντάπασιν ἀσθενῆ; ἓν πολύτοκον πρόβατον, ἢ πλεῖστα

πλεῖστα ἀνωφελῆ; εἷς ὀφθαλμὸς βλέπων, ἢ μυρίοι τυφλοί; εἷς φρόνιμος ἀληθεία, ἢ πλεῖστοι μωροί; ὀλίγα τέκνα γνήσια, ἢ νόθα πολλά; ἑπτὰ μαθηταὶ εὐφυεῖς καὶ σπουδαῖοι, ἢ τόσοι δεκάκις ἀφυεῖς καὶ νωθροί; δώδεκα ναῦται θαλάσσης εἰδήμονες, ἢ τρεῖς τοσοῦτοι τὰ ναυτικὰ ἀμαθεῖς; χίλιοι στρατιῶται ἀνδρεῖοι καὶ ἔμπειροι τὰ πολέμια, ἢ ἑπταπλάσιοι τούτων ἀγύμναστοι καὶ δειλοί; ἑπτὰ φίλοι τῷ ὄντι, ἢ μυρίοι ἐχθροί; πάντως εὖ οἶδα, ὅτι πᾶς τις ἐρεῖ ἐν τοῖς τοιούτοις, ἄνευ ἀντιλογίας, κρείττονα εἶναι τῶν πολλῶν τὰ ὀλίγα, εἰμὴ παραπαίωμεν· ὡς οὖν ἐπὶ πάντων αἱρετέα τὰ κρείττω, κἂν ὑστερῇ τῷ ποσῷ τῶν ὁμογενῶν ἑαυτῶν, οὕτω δὴ καὶ ἐπὶ τῶν ἀνθρώπων ἐστί· κρείττων γὰρ εἷς ἐνάρετος, ἢ χίλιοι ἁμαρτωλοί· καὶ πιστὸς εἷς βελτίων, ἢ μύριοι ἄπιστοι· καὶ καλλίων εἷς σωζόμενος, ἢ ἀπολλύμενοι ἄπειροι· οἱ γὰρ πιστοὶ ὡς λίθοι τίμιοι συναρμολογούμενοι εἰς τὴν τῆς Ἐκκλησίας οἰκοδομήν· καὶ ὑπὲρ χρυσὸν πάντα τίμιον· καὶ ὑγιαίνοντες ὑγείαν ἀληθεστάτην· καὶ πρόβατα λογικά, τῷ καλῷ ἀκολουθοῦντα ποιμένι· καὶ ὀφθαλμοὶ τὰ ἔμπροσθεν βλέποντες, ἤτοι τὰ μέλλοντα ἀγαθά· καὶ φρόνιμοι πάνυ, ἀλλὰ φρόνησιν ἀμετάπτωτον· καὶ τέκνα γνήσια θέσει Πατρὸς τοῦ ἐπουρανίου, καὶ μαθηταὶ εὐπειθεῖς τοῦ ἀληθοῦς διδασκάλου· καὶ ναῦται εἰδήμονες τῶν τοῦ βίου κυμάτων· καὶ στρατιῶται γενναῖοι τοῦ Βασιλέως τῶν ὅλων· καὶ φίλοι γνήσιοι τοῦ Θεοῦ· καὶ ἐνάρετοι, καὶ πιστοί, καὶ σωζόμενοι μόνοι πεφύκασιν ἀληθῶς. Εἰ δὲ τὸ πλῆθος ἐπαινεῖτε, παρὰ τοῖς βοσκήμασιν ἔσται τὰ νικητήρια, καὶ τῆς ἀπωλείας ἡ ὁδός, ἅτε πλείους φέρουσα, τῆς εἰς τὴν ζωὴν ἀγούσης κατακαυχήσεται. Εἰ δ' οὐκ ἐν τοῖς πλείοσιν εὐδόκησεν ὁ Θεός, οὐκ ἂν δόξητε νοῦ καὶ φρενῶν ἄνδρες εἶναι, οἱ τὸ πλῆθος θαυμάζοντες· σπάνια γὰρ τὰ καλὰ πανταχοῦ καὶ πάντοτε φαίνεται, καὶ ἐπὶ πάντων μὲν τῶν οὕτω καλουμένων, καὶ ἐπὶ τῶν τοῦ Θεοῦ δὲ θεραπόντων μάλιστα· καὶ σκοπεῖτε, ὡς καὶ ἀληθῆ, καὶ σύντομα, καὶ σαφῆ, καὶ ἀναγκαῖα ἐρῶ.

Πρὸ τȣ̃ κατακλυσμȣ̃ εἷς δεδόξαςαι τῇ μεταθέσει Ἐνώχ· καὶ ἐκ τȣ̃ κατακλυσμȣ̃, μετὰ τῶν αὐτȣ̃, εἷς ἐκ τοσȣ́των ἐρύσθη ὁ Νῶε· ἐξ ἀπείρων τῆς ἀπιςίας ἐθνῶν, εἷς ἐξελέγη ὁ Ἀβραάμ· καὶ τὴν τῶν Σοδόμων καῦσιν εἷς ἐξέφυγεν ὁ Λώτ· εἷς Θεȣ̃ θεράπων ἐν Αἰγύπτῳ Μωϋσῆς· εἷς θρηνητὴς τῆς Ἱερȣσαλὴμ ὁ Ἱερεμίας· καὶ εἷς Κυρίȣ ζηλωτὴς ἐν τῷ Ἰσραὴλ ὁ Ἠλίας. Ἀλλὰ ταῦτα μὲν πιςεύομεν ἐξ ἀκοῆς, τὰ δὲ ἡμῖν ὁρώμενα τὸ τήμερον οἷα; ὀλίγοι ἐγκρατεῖς, ὀλίγοι σώφρονες, ὀλίγοι δίκαιοι, ὀλίγοι ταπεινόφρονες· ὀλίγοι γὰρ οἱ τȣ̃ Θεȣ̃ ἀληθῶς, εἰ καὶ πάντες ἐκείνȣ πλάσματα· οἱ μέντοι πλεῖςοι κακοί· καὶ γὰρ τὰ φαῦλα πλεῖςα· εἰ δὲ καὶ ἐμπωλέμεθα παρ᾽ ἄλλων, δι᾽ αὐτὸ τȣ̃το μάλιςα ξένον ȣ̓δέν· ἀεὶ γὰρ τὰ τίμια, ὡς χρυσός· καὶ τὰ χρήσιμα, ὡς ὁ σῖτος· καὶ τὰ καλὰ, ὡς ἡ ἀρετὴ, τȣ̀ς ἐπιβȣ́λȣς ἔχει πολλȣ́ς. Ὥςε κρεῖττον τάττεσθαι μετὰ τῶν ὀλίγων, καὶ σωτηρίας ἔχειν ἐλπίδα καὶ καλὸν εἶναι, καὶ ἐπιβȣλεύεσθαι, ἅτε καλὸν ἢ πρὸς πολλῶν ὑπάρχειν, καὶ κακῶν, καὶ τȣ̀ς ἀγαθȣ̀ς διώκοντα, τοῖς ἀπολλυμένοις συναριθμεῖσθαι· εἰ δὲ τὴν ῥαςώνην τȣ̃ βίȣ τȣ́τȣ ζηλȣ̃τε, τὸ τέλος ταύτης κἀνταῦθα κἀκεῖσε σκοπȣ̃ντες, τȣ̃ τῶν Σοδομιτῶν ȣ̓δὲν διαφέρειν εὑρήσετε. Ὃν δὲ τρόπον ςαθμοὶ μυρίοι ἀχύρȣ, δέκα λίθων τιμίων, ȣ̓κ ἂν εἶεν ἀντάξιοι, ȣ̔́τως ȣ̓δὲ πάντες ἄπιςοι δέκα πιςῶν ὀρθοδόξων· ὅτι τȣ̃ πυρὸς εἰσὶ καταναλωμα τῆς Γεέννης οἱ δύςηνοι.

Ταλανιςέον ȣ̃̓ν ἐκείνȣς, ȣ̓ ζηλωτέον· καὶ μηδὲ νομιςέον θαύματος ἄξιον τȣ̃το, ὅτι τοσαῦτα πλήθη ἀνθρώπων, ἐξαπατῆσαι ἴσχυσεν ὁ πλάνος πρὸς πλάνην· πρὸς γὰρ τὴν ῥοπὴν τȣ̃ πάντων θελήματος, τȣ̀ς νόμȣς ἐκθέσθαι ὑποβληθεὶς πρὸς τȣ̃ πονηρȣ̃, αὐτόθεν ἔχε ῥαδίως τὸ πεῖσαι, ȣ̓κ ἄλλοθεν. Οὐδὲν γὰρ ἐπαγωγότερον, ἢ ἰσχυρότερον πρὸς πειθὼ, νόμȣ μετὰ τρυφῆς καὶ ῥαςώνης τὴν σωτηρίαν ὑπισχνȣμένȣ· ἂν δὲ καὶ θέλησιν εὕρῃ συνευδοκȣ̃σαν εἰς τȣ̃το, καὶ Θεῷ δῆθεν δείξῃ τοῖς πραττομένοις ἀρέσκεσθαι, συνηθείας ἐπιλαβόμενος, καὶ εἰς ἕξιν χωρήσας,

ρήσας, ἀμετάτρεπτος εἶναι βιάζεται. Διάτοι τοῦτο ὑμῖν εἰς τὰ τέλη καταντήσασι τῶν αἰώνων, καὶ εὐσεβεῖν αἱρουμένοις, ἐν τῷ ὀνόματι τοῦ ὑπὲρ τῶν κατακρίτων ἀποθανόντος, ἰδοὺ παραγγέλλομεν, μικρὸν ὑπομείνατε χρόνον ἐνταῦθα, ὡς ἂν ἐκεῖσε ἀπέραντα ἀναπαύησθε· ἥκει γὰρ ὁ ἐρχόμενος τοῦ κρῖναι πᾶσαν τὴν γῆν· ἔρχεται ὅσον ὅσον· ἐγγὺς ἐστὶν ἐπὶ θύραις, εἰ καὶ βραδύνειν δοκεῖ· ὁ καιρὸς τῆς ὑπομονῆς ὀλίγος ἐστὶ, τῆς βασιλείας τῶν οὐρανῶν ἀπέραντοι οἱ αἰῶνες· οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς, Παῦλος ὁ θεῖος βοᾷ· καὶ μάλα εἰκότως· ὅτι οὐκ ἀποστρεφόμενος ἡμᾶς ὁ Θεὸς συγχωρεῖ περιπίπτειν ταῖς θλίψεσιν, ἀλλὰ παιδεύει προσκαίρως, ἵνα δοξάσῃ ἀπέραντα· καὶ δόξα τῇ αὐτοῦ κηδεμονίᾳ καὶ ἀγαθότητι. Μὴ δὴ ἀποκάμοιτε, ἀλλ᾽ ἡνίκα σφοδρῶς ἐπέλθῃ καθ᾽ ἡμῶν πειρασμὸς, τὴν διέγερσιν τῶν ναυτίλων ἐνδείξασθε, ἣν ἐκεῖνοι ἐν τῇ τῆς ἀνάγκης ὥρᾳ, καλῶς ποιοῦντες ἐνδείκνυνται· τῶν ἱππέων, τῶν ἰατρῶν, τῶν πολεμιστῶν· ἐκεῖνοι ἵνα σώματα διασώσωσι, καὶ πρόσκαιρον κερδήσωσι ζωὴν, ὑμεῖς δὲ ἵνα τὰς ὑμετέρας κερδήσητε ψυχὰς, καὶ ζωὴν κληρονομήσητε τὴν αἰώνιον. Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ ζωοποιῷ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

# ΛΟΓΟΣ Α.

## ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ.

Τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκε καὶ ἀειπαρθένε Μαρίας. Ῥηθεὶς ἐν τῷ Παλατίῳ, τῇ Παρασκευῇ τῆς πέμπτης Ἑβδομάδος τῶν Νηςειῶν· τυχέσης τηνικαῦτα τῆς ἑορτῆς, καὶ ἐπαύριον τελεμένης τῆς ἀκολεθίας τε Ἀκαθίςε.

Εἰς δόξαν τῆς παντατίε Τριάδος! χθὲς Εὐαγγελισμὸς, αὔριον Εὐαγγελισμὸς, καὶ σήμερον παρ' ἡμῖν Εὐαγγελισμός! βαβαὶ τῆς χάριτος ὅση! ὅτι τριπλῆ, ἀνθ' ἁπλῆς γενομένη ἡ τῆς ἑορτῆς δύναμις, τῆς ἐπὶ τὴν θεολογίαν προθέσεως, καὶ τῆς πρὸς ὑμᾶς περὶ ταύτης ἐπαγγελίας, εἰ μέμνησθε, μετέςησε μὲν καὶ ἄκοντα ταμιεύσασθαι πείσασα τέως, ἐκεῖνα εἰς τὴν πρώτως ἐπιεσαν Παρασκευήν· πλὴν ἐπεὶ καὶ ἡ θεία Οἰκονομία εἰς τὴν Θεολογίαν ἀνάγεται, καθὰ δὴ καὶ ἡ θεία δημιεργία, ἐδὲν καινὸν, εἰ ἐξ ἐκείνης εἰς ταύτην, πρὸς καιρὸν μετακλίνωμεν. Δημιεργία γάρ ἐςιν, ἡ τῶν ὄντων ἐκ μὴ ὄντων παρὰ Θεε εἰς τὸ εἶναι παραγωγή· καὶ Οἰκονομία ἐςὶν, ἡ ἀπὸ τε μὴ καλῶς τὰ ὄντα προβαίνειν, ἐπὶ τὸ βέλτιον, παρ' αὐτε μεταποίησις. Ὥσπερ ἐν εἰ μὴ ὁ Θεὸς τὴν ἀρχὴν ἐβελήθη, ἐκ τε μὴ εἶναι τὴν κτίσιν παραγαγεῖν εἰς τὸ εἶναι, πάντως ἂν ἄρτι ἐδὲν ὑπῆρχε τῶν ὄντων, μόνον δὲ κενὸν ἔμελλεν εἶναι, καὶ χάος, καὶ σκότος ἐν τῷδε τῷ τόπῳ, ὅπε νῦν ὁ κόσμος ἵςαται· ἔτω κ παραχθεῖσα τῇ αὐτε ἀγαθότητι εἰς τὸ εὖ εἶναι,

καὶ πόῤῥω τούτου πεσοῦσα διὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν, εἰμὴ οἰκονομίᾳ χρησάμενος ὁ ταύτην δημιουργήσας, εἰς αὐτὸ ἐπανήγαγε παραδόξως, οὐδὲν ἂν ὑπῆρχε ταύτῃ τὸ παραχθῆναι, ἀλλ᾽ ἢ μάτην τὸ πᾶν, καὶ περίεργον μόνον· ναὶ μὴν καὶ ἡ τοῦ Θεοῦ ἀγαθότης ἀνέκχυτος ἦν ἄν, ἀφιλότιμος, στενὴ καθ᾽ αὐτὴν καὶ τοῖς ὅλοις ἀγνώριστος οὕτως, ὡς ἂν εἰ μηδόλως ἡ κτίσις τὴν ἀρχὴν ἐγεγόνει. Οὐκοῦν ἡ Οἰκονομία, κατ᾽ ἐμὴν θεωρίαν, δευτέρα ἐστὶ Δημιουργία· καὶ τὸ ἀνοικονόμητον ἄρα, προτέρα Συντέλεια· οὐ μόνον ἐπὶ τῆς θείας προνοίας, καὶ τῶν τοῦ Θεοῦ δημιουργημάτων χωροῦντος τούτου τοῦ λόγου, ἀλλὰ δὴ καὶ τῶν ἀνθρωπίνων πασῶν οἰκονομιῶν, καὶ δυνάμεων. Εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ οὕτως ἀλλήλων ἤρτηται, Δημιουργία, Οἰκονομία, Θεολογία, ὥστε ἀναιρουμένης τῆς Οἰκονομίας περιττὴν εἶναι τὴν Δημιουργίαν, καὶ ἀφαιρουμένης τῆς Δημιουργίας αὐτίκα κρύπτεσθαι τὴν Θεολογίαν, λοιπὸν καιροῦ καλοῦντος, ἀντὶ Θεολογίας νῦν περὶ Οἰκονομίας λεκτέον· μᾶλλον δὲ καθάπερ τινὰ χρυσόπλοκον σειρὰν, ἀμφοτέρας πλεκτέον, ἀρχομένους ἐντεῦθεν.

Ἡ τῶν χριστιανῶν ὀρθόδοξος πίστις, οὐκ ἐν ἀποδείξει λόγων, οὐδὲ ἐν τῷ συμβαίνειν ταῖς ἀνθρωπίναις δόξαις τὰ πιστευόμενα, ἀλλ᾽ ἐν αὐτῷ τῷ ὑπὲρ ἀπόδειξιν εἶναι, καὶ γνῶσιν ἅπασαν, τὸ πιστὸν ἔχει αὐτὴ καὶ βέβαιον· καὶ τοὺς περὶ ταύτης δὲ λόγους, οὓς ἀπολογούμενοι λέγομεν, οὐχ ὡς ἀποδείξεις τῆς πίστεως, ἀλλ᾽ ὡς τῆς ἡμετέρας δόξης ὁμολογίας φαμὲν, ὡς ἂν μὴ δόξωμεν ἠλίθιοι τινὲς εἶναι, ἢ ἀσυνέτως πιστεύειν, ἢ παντὶ πνεύματι φέρεσθαι· πᾶν δὲ θεῖον, ᾗ θεῖον, καὶ ὑπὲρ ἀπόδειξιν, καὶ ὑπὲρ πᾶσαν κατάληψιν ἀνθρωπίνην εἶναι πιστεύομεν· καὶ τοῦτο εἰκότως πάνυ καὶ εὐσεβῶς. Εἰ γὰρ ὁρίσαιμεν, ὅτι μὲν ἰσχύομεν γνῶναι, τοῦτο καὶ μόνον εἶναι παρὰ Θεῷ, ἢ ἐν τοῖς ὑπερκοσμίοις, ἢ ἐν τῷ κόσμῳ· ὅτι δὲ μὴ δυνάμεθα, τοῦτο εἶναι μηδοπωσοῦν, εὐθὺς οἰχήσεται μὲν ἡμῖν ἅπαν ὑπερουράνιον, καὶ πᾶν ἄυλον καὶ ἀσώματον τὸ

ὑπὲρ ἡμᾶς· οἰχήσεται δὲ σὺν αὐτοῖς τὰ μέλλοντα ἀγαθὰ, αὐτός τε ὁ παράδεισος, πάντα τὰ περὶ τοῦ Θεοῦ, καὶ πρόγε πάντων αὐτός· ὑπὲρ γὰρ κατάληψιν ταῦτα, καὶ ὑπὲρ τὸν νοῦν. Ἔπειτα οὐδὲ ἔοικεν ὅλως ἑρμηνευτὰς ἡμᾶς εἶναι Θεοῦ, πῶς καὶ τίνι τρόπῳ τὰ κατ' αὐτὸν διεξάγειν, (*) ἢ τὰ μὴ ὄντα παράγειν, ἢ οἰκονομεῖν τὰ ἀνθρώπινα, εἰ μήπου ἐξ ἀπονοίας ἀμέτρου οὐδὲ τοῦτο διακρίναι αἰρόμεθα, ἢ δυνάμεθα, ὅτι ἀπείρῳ τῷ μέσῳ, καὶ ὡς οὐκ ἂν νοῦς ἐφίκοιτο ἀνθρώπων, Θεὸς διακρίνειν ἐπίσταται πῶς δεῖ γενέσθαι τὰ γενησόμενα· καί γε τὸ δοκεῖν οὐχ ὡς ἔδοξεν ἐκείνῳ, ἀλλ' ὡς ἡμῖν δοκεῖ βέλτιστον εἶναι τὸ τῆς οἰκονομίας μυστήριον αὐτὸν ἐργάσασθαι τὸ ἀπόῤῥητον, λανθανόντως, σοφωτέρους ἡμᾶς αὐτοὺς δείκνυσιν οἴεσθαι καὶ αὐτοῦ τοῦ Θεοῦ· τοῦτο δὲ παραφροσύνης ἐσχάτης, καὶ πλάνης ἄκρας τεκμήριον.

Δεῖ τοίνυν παντὶ ὀρθοδόξῳ μετὰ πολλῶν, καὶ ταύτην τὴν δόξαν κεκτῆσθαι περὶ Θεοῦ· ὅτι ὥσπερ ἡ τοῦ ἀντικειμένου ἐνοίκησις καὶ ἐνέργεια, κατὰ Θεοῦ παραχώρησιν γινομένη εἰς ἄνθρωπον, βιάζεται τοῦτον, τῶν μὲν κατὰ φύσιν ἀφίστασθαι, τὰ δὲ παρὰ φύσιν ἀνθρώπου καὶ τάξιν ποιεῖν· οὕτω Θεοῦ παρουσία καὶ δύναμις κατ' εὐδοκίαν Θεοῦ γινομένη, τὰ τῷ ἀντικειμένῳ ἀντικείμενα δρῶσα, καὶ τὴν φύσιν εἰς τὸ κατὰ φύσιν τηρεῖ, καὶ τὸ ὑπὲρ φύσιν ἐν ταύτῃ πληροῖ· τὸ μὲν, ὅτι αὐτός ἐστιν ὁ καὶ ἐκ τοῦ μὴ εἶναι τὸ εἶναι τῇ φύσει, καὶ τὸ ὧδέ πως εἶναι ταύτῃ διδούς· τὸ δὲ, ὅτι δεῖ θείων πραγμάτων παραδόξους εἶναι τὰς ἀρχὰς, καὶ ὑπερφυῆ τὰ τέλη, καὶ καινοτόμα, καὶ νικητικὰ φύσεως ἅπαντα. Εἰ γὰρ κατὰ τὴν τῆς φύσεως ἀκολουθίαν καὶ τάξιν, ὡς ἐπὶ τῆς τοῦ θείου ἀπουσίας, οὕτω καὶ ἐπὶ τῆς αὐτοῦ παρουσίας τὰ γινόμενα πράγματα γίνεται, οὐ θείας ἐνεργείας δείγματα ταῦτα, ἀλλὰ φυσικῆς προόδου ἀποτελέσματα πᾶς τις νομίζων, οὔτε παρόντα τὸν Θεὸν ἐπιγνώσεται, οὔτε ἀπόντα δοξάσει περὶ τῶν πραχθέντων εὐχαριστῶν. Μᾶλλον μὲν οὖν τὰ αὐτὰ καὶ ὑπερφυῶς χρεὼν γίνεσθαι, καὶ φυ-

σικῶς πως περαίνεσθαι· τὸ μὲν, διὰ τὴν τῆς Θεότητος ὑπεράγνωστον κρυφιότητα, τὸ δὲ, διὰ τὴν τοῦ Θεοῦ πρὸς ἡμᾶς κοινωνίαν καὶ συγκατάβασιν, καὶ ὡς ἂν ἐκ τῶν καθ' ἡμᾶς εἰς συναίσθησιν ἔλθωμεν τοῦ ὑπὲρ ἡμᾶς. Ὅθεν καὶ τὸ περὶ τῆς ἐνσάρκου τοῦ Θεοῦ λόγου οἰκονομίας μυστήριον, ἐκ μέρους γινώσκεται, καὶ ἄγνωστον ἄλλως ἐστί· καὶ νοῒ κρατεῖται, καὶ ἄληπτον μένει ἐν τῇ οἰκείᾳ περιωπῇ· καὶ γλώσσῃ λαλεῖται, καὶ ὑπὲρ λόγον ἐστί· καὶ καρδίᾳ πιστεύεται, καὶ ὑπὲρ ἔννοιαν πέφυκε· κατανοούμενον πίστει, ἄῤῥητον ἐστὶ φύσει· καὶ θεωρούμενον ἄφραστον· ἔσως παρατρέχει, καὶ ληφθὲν διαφεύγει, καὶ φανέν τι μικρὸν ἀποκρύπτεται, καὶ πρὶν γνωσθῆναι καλῶς, διαδιδράσκει τὴν αἴσθησιν. Ἀλλ' ἐγγύτερον βάλωμεν τοῦ σκοποῦ, μᾶλλον δ' αὐτὸς τοῦ τῆς ἀληθείας δακτυλίου βλητέον.

Δύο φύσεων περὶ τὴν σάρκωσιν τοῦ Θεοῦ λόγου συνελθουσῶν, θεότητός τε καὶ ἀνθρωπότητος, ἤγουν πλάστου καὶ πλάσματος, μὴ ἀπαιτήσωμεν ἀνθρωπίνως τὰ ἐν ταύτῃ γινόμενα πάντα γίνεσθαι, ἀλλ' ἐξ ἅπαντος τρόπου τῷ πλάστῃ κατὰ τοῦ πλάσματος συγχωρήσωμεν ἔχειν τὰ νικητήρια· ἐπεὶ οὐδὲ ἔοικεν ἄλλως, κατ' οὐδένα τῶν τρόπων· καὶ τούτου ὡς θεμελίου τῶν ὀρθῶν δογμάτων ἡμῖν προϋποτεθέντος, καὶ ἀκλινοῦς τηρουμένου, ἅτε στύλου τῆς πίστεως, πρόσχες ὁ λέγων χωρὶς κοινωνίας τῆς πρὸς ἄνδρα, γυναῖκα ἀδύνατον τεκεῖν· τί γάρ σοι μᾶλλον δυσπαράδεκτον δοκεῖ, ἐκ γυναικὸς βρέφος τεχθῆναι, ἢ ἀπὸ γῆς τέλειον ἄνδρα πλασθῆναι; παρθενικὴν κυοφορῆσαι γαστέρα, ἢ χοῦν ψυχωθῆναι, καὶ βλέπειν, καὶ λαλεῖν, καὶ ἀκούειν, καὶ τὰ δοκοῦντα πάντα ποιεῖν; ἔλαβε χοῦν ἀπὸ τῆς γῆς ὁ Θεὸς, καὶ ἔπλασεν ἄνθρωπον· ἔλαβε καὶ σάρκα ἐκ παρθένου, καὶ ὡς οἶδεν ἑαυτῷ περιέπλασε σῶμα, καὶ ἄνθρωπος γέγονε· πῶς οὖν ὁ τῷ προτέρῳ πιστεύων, πρὸς τὸ δεύτερον ἀντιλέγεις; καὶ ἐπ' ἐκείνου μὲν τὸ παντοδύναμον τῷ Θεῷ μαρτυρεῖς, ἐπὶ δὲ τούτου τὸ ἀδύνατον αὐτοῦ κατηγορεῖς; αὐτὸς γάρ ἐστιν ὁ κἀκεῖνο τεχνουργήσας, καὶ τοῦτο καινουργήσας· αὐτὸς

γάρ ἐστιν, ὁ Πατρὸς δίχα χωρὶς ὠδίνων ἐν χρόνῳ τεχθεὶς ἐκ Μητρός, ὃν ὁ Πατὴρ Μητρὸς ἄνευ, ἀπαθῶς καὶ ἀῤῥεύστως ὑπὲρ χρόνον ἐγέννησεν· ὁ καὶ τὴν ἀνθρωπίνην φύσιν, ὁ καὶ πᾶσαν τὴν κτίσιν ὑποχείριον ἔχων, καὶ πρὸς τὸ δοκοῦν αὐτὴν ἄγων τῷ οἰκείῳ βουλήματι· καὶ ὅρα πῶς πάντα, καὶ τῇ τοῦ ἀνθρώπου ἀναπλάσει εἰκότα, καὶ τῇ ἑαυτοῦ οἰκονομίᾳ συμβαίνοντα. Εἰ γὰρ ὁ πρῶτος Ἀδὰμ εἶχε Πατέρα ἄνθρωπον, καὶ ἐκ σπέρματος συνελήφθη, εἰκὸς ἦν καὶ τὸν δεύτερον Ἀδὰμ ἐξ ἀνθρώπου δεῖν γεγεννῆσθαι, καὶ ἐκ σπέρματος ἔχειν τὴν σύλληψιν· εἰ δ' ἐκεῖνος ἐκ γῆς ἐλήφθη, πλάστης δὲ αὐτοῦ ἐστὶν ὁ Θεός, ἔδει καὶ τὸν ἀνακεφαλαιούμενον ἐκεῖνον τὴν αὐτὴν τῆς λήψεως ἔχειν ὁμοιότητα.

Εἰς τί οὖν πάλιν οὐκ ἔλαβε χοῦν ὁ Θεός, ἀλλ' ἐκ τῶν πανάγνων αἱμάτων τῆς ἀειπαρθένου κόρης τὴν πλάσιν ἐνήργησεν; ἵνα μὴ ἄλλη πλάσις γένηται, μὴ δὲ ἄλλο ᾖ τὸ σωζόμενον· ἤγουν ἑτέρου πλάσματος ἐξ οὐκ ὄντων παραγωγὴ, καὶ οὐ τοῦ συντριβέντος ἀνάπλασις· ἀλλ' αὐτὸς ἐκεῖνος ἀνακεφαλαιωθῇ, κατὰ πάντα τηρουμένης τῆς ὁμοιότητος· ἡ δὲ ἀκόλουθος ὁμοιότης αὕτη ἐστὶν, ἵνα καὶ ὡσαύτως τῇ προπατορικῇ πλάσει, ἤτοι σπέρματος δίχα, ἡ λῆψις γένηται· ὥσπερ ἐκεῖ ἐκ γῆς παρθένου, οὕτως ἐνταῦθα ἐκ μήτρας παρθένου παρὰ Θεοῦ, καὶ ἡμῖν ὁμοίως, ἤγουν ἐκ γυναικὸς, ἡ τοῦ Σωτῆρος γέννησις ἀποβῇ· καὶ πρὸς τούτοις ὠδίνων δίχα, διὰ τὸ τῆς θεότητος ἀξίωμα, ὁ τόκος προβῇ τὸ πρῶτον· ὅτι εἰ ἀπαραλλάκτως ἡμῖν ἐκ σπέρματος εἶχε τὴν σύλληψιν, οὐκ ἂν αὕτη ἐγνώσθη σαρκώσις οὖσα Θεοῦ· οὐδ' ἂν οὕτω συλληφθεὶς, Θεοῦ Υἱὸς ἦν, ἀλλ' ἀνθρώπου ψιλοῦ. Τὸ δεύτερον, ὅτι εἰ μὴ ἐκ γυναικὸς ἐγεννήθη, φαντασίᾳ ἔδοξεν ἐλθεῖν, ἀλλ' οὐκ ἀληθείᾳ. Τό γε μὴν τρίτον, ὅτι Θεοῦ οἰκονομία καὶ παρουσία οὐδενὶ τῶν ὄντων ὀδύνην, ἢ φθορὰν, χάριν δὲ μᾶλλον καὶ ἀφθαρσίαν χαρίζεται· ἅπερ δὴ πάντα εἰκότως ἐπηκολούθησεν. Ὡς οὖν ἐκ γῆς παρθένου πυῤῥᾶς τὸν πρῶτον αὐτὸς διέπλασεν ἄνθρωπον, οὕτως ἐκ μήτρας παρθένου αἱμάτων

μάτων αὐτὸς τὸν δεύτερον διεμόρφωσεν· ἐξ ὕλης ἀψύχου καὶ ἀμορφώτου ἐκεῖνο συνέστησε τὸ φύραμα, ἐξ ὑποστάσεως ἐμψύχου καὶ λογικῆς τοῦτο ἐλήφθη τὸ πρόσλημμα· ὅθεν τοῦτο μᾶλλον ἐκείνου δοκεῖ, καὶ ἑτοιμότερον γενέσθαι, ὡς δήπου καὶ γέγονε, καὶ προχειρότερον εἰς πίστιν ἀνδράσι νοῦν ἔχουσι, καὶ πρεπωδέστερον εἰς λόγον οἰκονομίας τῇ θείᾳ μεγαλειότητι· καθ' ὅσον χοὸς, εἰς λήψεως καὶ πλάσεως λόγον, ἄνθρωπος τιμιώτερον. Ὡς δὲ καὶ πρότερον ἀπὸ ἀνδρὸς πλευρὰν λαβὼν ὁ Θεὸς τέλειον ἔπλασεν ἄνθρωπον, οὕτω καὶ ὕστερον ἀπὸ γυναικὸς, σάρκα λαβὼν ὁ αὐτὸς, τέλειον ἄνθρωπον ἔδειξεν· καὶ ὃν τρόπον ὁ Ἀδὰμ τῇ αὐτοῦ κελεύσει, γυναικὸς δίχα, γυναῖκα προήγαγε, τὸν αὐτὸν τρόπον ἡ Μαριὰμ τῇ αὐτοῦ ἐπινεύσει, ἀνδρὸς ἄνευ, ἄῤῥεν τέτοκεν ἀληθέστατα. Τοῦτο καὶ γὰρ ὁ λόγος πιστούμενος ἄνωθεν ἐκεῖνο παρέδειξε· κἀκεῖνο ὑπὲρ ἔννοιαν, καὶ τοῦτο ὑπὲρ λόγον· καὶ ὥσπερ τότε ἐκ τῶν ἑαυτοῦ σαρκῶν καὶ ὀστέων πλευρὰν ἄσπορον εἰς διάπλασιν ὁ προπάτωρ ἔχρησε τῇ προμήτορι, οὕτω νῦν ἀντ' αὐτῆς ἡ ταύτης θυγάτηρ, τοῦτο τὸ χρέος ἀποδιδοῦσα, ἐκ τῶν ἑαυτῆς παναγίων αἱμάτων ἄσπορον σάρκα δεδάνεικε τῷ νέῳ Ἀδὰμ, εἰς ἀνάπλασιν τοῦ ταύτης προπάτορος· ἐκεῖ εἰς γυναικείας διάπλασιν ὑποστάσεως, ἐκ παρθένου ἀνδρὸς ἡ λῆψις ἐγένετο, ὧδε εἰς θεανδρικῆς ὑποστάσεως σύστασιν ἐκ παρθένου γυναικὸς ἡ σύλληψις γέγονεν· ἐκεῖ ὁ Ἀδὰμ καὶ τὴν πλευρὰν ἀφῃρέθη, καὶ πόνον οὐχ ὑπέστη, ὧδε ἡ Μαριὰμ καὶ βρέφος τέτοκε, καὶ ὀδύνην οὐκ ἔγνω· καὶ μάλα εἰκότως· ὅπου γὰρ μεθ' ἡδονῆς ἡ σύλληψις, ἐκεῖ κατὰ λόγον μετ' ὀδύνης ἡ γέννησις· ἔνθα δὲ τὸ πρῶτον οὐδαμῶς ἔσχε χώραν, ἐνταῦθ' ἑπομένως καὶ κατὰ πᾶσαν ἀνάγκην τὸ δεύτερον ἄπεστι. Σῶος ἔμεινεν ὁ Ἀδὰμ καὶ μετὰ τὴν ἀφαίρεσιν τῆς πλευρᾶς, ἄφθορος ἔμεινε καὶ ἡ Παρθένος, καὶ πρὸ τῆς προόδου, καὶ μετὰ τὴν πρόοδον τοῦ βρέφους. Παρθένον οὖσαν τὴν Εὔαν ἠπάτησεν ὁ ὄφις, καὶ Παρθένον οὖσαν τὴν Μαρίαν εὐηγγελίσατο ὁ Γαβριήλ· ἀπατηθεῖσα ἡ Εὔα λόγον προήνεγκε θανάτου αἴτιον, εὐαγγελισθεῖσα ἡ Μαριὰμ λόγον ἐν σαρκὶ τέτοκε

ζωῆς αἰωνίου τοῖς ἅπασι πρόξενον· ὁ λόγος τῆς Εὔας τὸ τῆς γνώσεως ἔδειξε ξύλον, δι᾽ οὗ τὸν Ἀδὰμ τοῦ παραδείσου ἐξώρισεν, ὁ λόγος ὁ ἐκ τῆς Παρθένου τὸν σταυρὸν ἔδειξε ζωῆς ξύλον, δι᾽ οὗ τὸν Ἀδὰμ καὶ τοὺς ἐξ Ἀδὰμ εἰσάγει πάλιν εἰς τὸν παράδεισον.

Ὁρᾷς ὡς ἐπὶ Θεοῦ οὐ δεῖ τῇ φύσει τῶν πραγμάτων προσέχειν, ἀλλὰ τῇ δυνάμει τοῦ ἐνεργοῦντος πιστεύειν; ἤ, τηρουμένης τῆς ἁγιότητος οὐδὲ τῇ φύσει τὰ ἴσα δύνασθαι δίδως τῇ θείᾳ δυνάμει πρὸς κυήματος σύστασιν, τῇ καὶ τῶν σπερμάτων ἑκάστῳ δύναμιν χορηγούσῃ τοῦ δύνασθαι κινεῖν ἐν ἑαυτῷ, εἰς τὸ ἀποτελέσαι τὶ τοιοῦτον, οἷον ἐστὶ τὸ ἐξ οὗ συνεκρίθη; καὶ φύσεως μὲν ἐργαζομένης ἀνενδοιάστως πιστεύεις, Θεοῦ δὲ τὰ παράδοξα πράττοντος, ἀπαναίνῃ καὶ ἀπορεῖς; καὶ ὅτι μὴ προχείρως τὸ πρᾶγμα νοεῖς, ὑποσείρῃ εὐθὺς εἰς τὸ ἀπιστεῖν; πλὴν σαφηνείας χάριν καὶ ἔτι περὶ τῶν αὐτῶν διιτέον.

Ἐκ τριῶν ὑλῶν διαφόρων πάντη τὴν τῆς ἀνθρωπίνης φύσεως σύστασιν αἱ θεῖαι Γραφαὶ μαρτυροῦσι, πηλοῦ, πλευρᾶς, σπέρματος· καὶ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴν τοῦ γένους ἡμῶν, διὰ τριῶν γενέσθαι τρόπων ὡσαύτως πιστεύομεν, πλάσεως, λήψεως, συναφείας· ὧν ὁ μὲν πρῶτος, καὶ ὁ δεύτερος ἴδιοι· ὁ μὲν γὰρ τῷ προπάτορι, ὁ δὲ τῇ προμήτορι μόνον ἀποκεκλήρωται· ὁ μέντοι γε τρίτος κοινὸς ἅπασιν ὡμολόγηται· οὗτοι γοῦν πάντες, εἰ καὶ τὸν ἡμέτερον λογισμὸν ὑπερβαίνουσιν, ἀλλ᾽ ἀδιστάκτως πιστεύονται παρ᾽ ἡμῶν· καὶ οὐκ ἐπειδὴ τὸν λόγον οὐκ ἴσμεν αὐτῶν, ἤδη καὶ ὡς ἀδυνάτους αὐτοὺς παραιτούμεθα· ὡς οὖν ἐπ᾽ ἐκείνων, οὔτε τῷ πηλῷ τὴν δύναμιν, οὔτε τῇ πλευρᾷ, οὔτε τῷ σπέρματι, ἀλλὰ τὸ πᾶν εἰς Θεὸν ἀναφέρομεν· ὅτι νεύματι μόνῳ ἰσχύει τὰ πάντα ὑποστήσασθαι· οὕτω καὶ ἐπὶ τῆς αὐτοῦ ἀρρήτου, ἐκ τῶν πανάγνων αἱμάτων τῆς παναγίας Παρθένου συλλήψεως, εἰ καὶ τὸν λόγον αὐτῆς ἀγνοοῦμεν, ἀλλὰ τῷ ὑπὲρ δύναμιν λόγῳ τὸ πᾶν ἀνατίθεμεν. Ὁ γὰρ ἐκ μὲν πηλοῦ τὸν ἄνδρα, ἐκ δὲ πλευρᾶς τὴν γυναῖκα, ἐκ δ᾽ ὁμιλίας ἀνδρός τε

δρός τε καὶ γυναικὸς, τὸ ἡμέτερον γένος θανάτῳ διακοπλόμενον συνιςῶν ἐπὶ ἑπλάκις χίλια ἤδη ἔτη, αὐτὸς καὶ σπέρματος ἤδη ἀνδρὸς, ἐξ αἱμάτων παρθενικῶν σάρκα ἑαυτῷ συνεςήσατο. Εἰ δ' ἒν, τί σοι δοκεῖ τέτων μεῖζον ἐπὶ Θεε, τὸ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὰ ὄντα παραγαγεῖν, καὶ ἰδίαν Φύσιν ἑκάςῳ τῶν γινομένων χαρίσασθαι, ἢ τὸ τὰς δοθείσας Φύσεις αὐτὸν ἀμεῖψαι πάλιν ἐπὶ τὸ κρεῖττον ὡς βέλεται; τὸ πρῶτον πάντως πᾶς τις ἐρεῖ· ἐκεῖν ὁ τὸ πρῶτον ἀκαμάτως νεύματι μόνῳ ποιήσας, πιςὸς ἐςὶ καὶ τὸ δεύτερον, ὡς αὐτὸς οἶδεν, ἐργάσασθαι.

Ἀλλὰ τὸ παράδοξον τε πράγματος, καὶ τὸ ἀνάξιον εἶναι δοκεῖν τετο Θεε, εἰς τὸ ἀπιςεῖν μᾶλλον, ἐκ εἰς τὸ πιςεύειν σε τὰ τοιαῦτα ἐφέλκεται; περὶ μὲν τε παραδόξε τετο ἐπίςασο, ὅτι κἀμοὶ, καὶ παντὶ τῷ γε νεν ἔχοντι, παραδοξότερον σφόδρα δοκεῖ, τὸ ἐκ πηλε πλάσαι ἄνθρωπον, ὅπερ καὶ ἔφθην εἰπὼν, ἢ ἐξ αἱμάτων ζωτικῶν συνιςαμένων ἐν μήτρᾳ σάρκα συςήσασθαι· ἐπεὶ Φύσει μὲν ἐκ πηλε, χρίσμα, πλίνθος, καὶ ὄςρακον γίνεσθαι, ἐκ δὲ τοιέτων αἱμάτων, ἔμψυχος σάρξ συνίςασθαι πέφυκε. Πλὴν ἀλλὰ σὺ τί ἐβέλε; πρὸς αὐτῆς τῆς ἀληθείας εἰπέ· μηδὲν ἐν τῇ συλλήψει ταύτῃ γενέσθαι παράδοξον; καὶ πόθεν ἂν ἐπιςεύθη, θεία σύλληψις εἶναι; μηδὲν ἐν ταύτῃ παραχθῆναι ἀνθρώπινον; καὶ πῶς σάρκωσιν ταύτην καλέσεις, καὶ ἔνσαρκον παρεσίαν Θεε; διάτοι τετο ἐπειδὴ δύο Φύσεις συνῆλθον ἐν μιᾷ ὑποςάσει τῇ τε Χριςε, καὶ πολλὰ παράδοξα πέπρακται καὶ ὑπερφυῆ, πιςέμενα τὴν τέτε Θεότητα, ἀνθρώπῳ πραχθῆναι ἐ δυνατὰ, καὶ πολλὰ γέγονε τῶν ταπεινῶν, εἰς τὸ πιςωθῆναι τὴν αὐτε ἀνθρωπότητα, ἀνάξια δοκεντα τῆς θείας μεγαλειότητος· καὶ τετο ἐςὶ τὸ πολλὰς ἀπορίας τοῖς πολλοῖς ἐμποιεν. Οἱ μὲν γὰρ νομίζοντες ψιλὸν ἄνθρωπον τὸν Χριςὸν, ἐ δεῖ Φασὶν ἀνθρώπῳ ὄντι Φύσει, τὰ τῇ θείᾳ Φύσει προσόντα μόνῃ, ἐπ' αὐτῷ γενέσθαι πιςεύειν τοῖς ὑγιαίνειν δοκεσι τὸν νεν· οἱ δὲ Θεὸν γυμνὸν τετον δοξάζοντες πάλιν, ἀπ' ἐναντίας ἱςάμενοι

τοῖς προτέροις, οὐ χρὴ λέγουσι Θεὸν ὄντα φύσει, τὰ τῇ ἀνθρωπίνῃ φύσει ἑπόμενα καταδέξασθαι· ὡς ὅ γε τὸ συναμφότερον συνιὼν, ὅτι ὁ αὐτὸς καὶ εἷς, καὶ τέλειος ἄνθρωπος, καὶ τέλειος ἐστὶ Θεὸς, καὶ ἅμα τοῦτο κἀκεῖνο Θεάνθρωπος, τὰ μὲν ταπεινὰ προσάπτων τῇ ἀνθρωπότητι, τὰ δὲ παράδοξα ἀνατιθεὶς τῇ Θεότητι, περὶ οὐδενὸς τῶν ὀρθῶν δογμάτων ἀμφιβαλεῖ. Τί σοι παράδοξον φαίνεται ἐν τῇ τοῦ Θεοῦ λόγου σαρκώσει, ὅτι ἄνευ σπέρματος ἡ σύλληψις γέγονεν; ἀνάθες τοῦτο τῇ αὐτοῦ παντοδυνάμῳ Θεότητι, καὶ οὐκέτι διαπορήσεις· ἀδυνατεῖ γὰρ ταύτῃ οὐδέν· τί σοι ταπεινὸν κρίνεται ἐν τῇ τοῦ Κυρίου γεννήσει, ὅτι ἐκ γυναικὸς ὁ Υἱὸς τοῦ Θεοῦ ἐγεννήθη, καὶ παιδίον γέγονεν ὁ πρὸ αἰώνων Θεός; πρόσαψον τοῦτο τῇ αὐτοῦ ἀνθρωπότητι, καὶ οὐκέτι ἀμφιβαλεῖς, οὐδ' ὁπωσοῦν διστάσεις· καὶ ἐπὶ πάντων τῶν τοιούτων ὁμοίως τοῦτο ποιῶν ἔσῃ πάντως ὀρθοδοξότατος.

Περὶ μὲν οὖν τοῦ παραδόξου δοκοῦντος ταῦτα ἀρκεῖ· περὶ δὲ τοῦ ἀνάξιον εἶναι τοῦτο Θεοῦ, ἐκεῖνο δόξαζε, ὅτι εἰ γενόμενος σὰρξ ὁ τοῦ Θεοῦ Θεὸς λόγος, ποσῶς ἐξέστη τῆς ἑαυτοῦ φύσεως, ἢ ὅλως μετέχει τῶν ταύτης ἐλαττωμάτων, ἔχει λόγον ἡ ἀπορία· εἰ δὲ τῇ ἀνθρωπίνῃ φύσει τῶν ἑαυτοῦ μεταδοὺς αὐχημάτων, αὐτὸς μεμένηκεν ὡς τὸ πρὶν ἀμετάβλητος, τί τοῦτο παρέβλαψε τὴν ἐκείνου μεγαλειότητα; ἢ τίς ὁ λόγος, τὸν κατ' εἰκόνα Θεοῦ πλασθέντα καὶ καθ' ὁμοίωσιν, βδελυκτὸν ἡγεῖσθαι καὶ αἰσχρωδέστατον, καὶ πόῤῥω θείας φιλανθρωπίας, ἢ κοινωνίας τὸν ἄνθρωπον; εἰκόνος γάρ που καὶ πρωτοτύπου ἓν μόνον ἐστὶ μεταξὺ, ἡ τῆς οὐσίας διαφορὰ, οἰκειότητες μέντοι μυρίαι· τί οὖν ἀνοίκειον γέγονεν, εἰ τὸ πρωτότυπον ἥνωται τῇ ἑαυτοῦ εἰκόνι, καὶ τῷ ὁμοίῳ συνῆλθε τὸ ὅμοιον, τηρουμένης ἑκάστῳ τῆς ἰδιότητος; ὡς ἔμοι γε τοὐναντίον μᾶλλον ἀνοίκειον φαίνεται, φημὶ δὴ τὸ διαστῆναι τὸ πρωτότυπον τῆς εἰκόνος, καὶ πορρωτάτω ταύτης γενέσθαι, καὶ ἀποξενωθῆναι ταύτην αὐτοῦ, καὶ πάντῃ ἀποῤῥιφῆναι ὡς ἀλλοτρίαν καὶ μισητήν· ὡς τό γε τῆς οἰκείας στάσεως ἐκπεσοῦσαν ἀνακληθῆναι, καὶ στῆναι ὅπου τῆς

ἕδρας

ἕδρας ἐξεπεπλώκει, εὐσπλάγχνε Δεσπότε κηδεμονία, καὶ Λόγε τε τὸ πᾶν ἐφορῶντος προμήθεια. Καὶ ὡς ἂν ὧδε συνοπτικώτερον τὸ πᾶν ἐξείπω, ἔπλασε τὸν ἄνθρωπον κατ᾽ ἀρχὰς οἰκείαις χερσὶν ὁ Θεὸς, ἐτίμησεν αὐτὸν εἰς τὸ κατ᾽ εἰκόνα εἶναι τὴν αὐτε καὶ ὁμοίωσιν, τρυφῆς ἐξεσίαν αὐτῷ ἐχαρίσατο· παρῆλθέ τις βάσκανος ἐνδιαβάλλων εἰς φθόνον Θεὸν, ἔπεισεν ἀπατήσας, ἀντιθείας ὁ ἠπατημένος ἐνόσησε πάθος, γέγονε τῷ ἀπατήσαντι ἀποςάτῃ συναποςάτης· ἐκτείνει τὴν χεῖρα κατὰ τῶν τε Θεε προςαγμάτων, αὐτὸ τὸ τῆς Θεότητος ἀξίωμα τε πλάσαντος αὐτὸν ἐβελήθη ἁρπάσαι, καὶ ὑπὸ χεῖρα τὴν ἑαυτε τὸν ὅλων δεσπότην ποιήσασθαι· ἐπιφαίνεται ὁ ἀλάθητος, ἐλέγχει τὴν παράνομον τόλμην, ἐκβάλλει τε παραδείσε τὸν ἄνθρωπον, ταύτην πρώτην αὐτῷ χαρισάμενος χάριν μετὰ τὴν ἔκπτωσιν· τί δήποτε; ὅτι εἰ ἐπὶ τῆς αὐτῆς ἔμεινε τιμῆς μετὰ τὴν παράβασιν, τρισὶν ἂν περιέπεσε τοῖς ἐχάτοις κακοῖς· πρῶτον μὲν γὰρ τὸν Θεὸν ἐνόμισεν ἂν εἶναι βάσκανον, καὶ ἀπατεῶνα, καὶ ψεύςην· δεύτερον δὲ, τὸν ἀληθῶς ἀπατεῶνα, καὶ τε ψεύδες καὶ τῆς βασκανίας πατέρα, καὶ προνοητὴν αὐτε, καὶ κυβερνήτην, καὶ εὐεργέτην, καὶ γνησιώτατον φίλον· καὶ πρὸς τέτοις ἀθάνατα ἂν διετέλεσε τε λοιπε ἁμαρτάνων, καὶ διὰ τετο κατὰ πᾶσαν ἀνάγκην ἀσύγγνωςα· ἵν᾽ ἒν μηδὲν τοιετον πάθῃ, εὐεργετῶν ἐχὶ τιμωρέμενος (ἔτω γὰρ παιδεύει Θεὸς) ἐξωθεῖ αὐτὸν τῆς Ἐδέμ· ἀλλ᾽ ἐκ ἤνεγκε μέχρι παντὸς ὁ τῆς εἰκόνος δημιεργὸς συντριβομένην ταύτην ὁρᾶν· τί ἒν ποιεῖ; πλάττει πάλιν ἄλλον Ἀδὰμ ἐξ αὐτῆς τῆς φύσεως, ταύτῃ προςάτην ἐγείρων· ἐ πάλαι μὲν θυμῷ νικηθεὶς παρὰ πόδας ἔσης τῆς παραβάσεως, ὕςερον δὲ μεταβαλὼν τὴν ὀργὴν ὁ αὐτάγαθος, ἀλλ᾽ ἄνωθεν ταῦτα προβλέπων, τάξιν βραβεύει τοῖς πράγμασι.

Καὶ λοιπὸν ἔτω τῆς τε πράγματος τάξεως ἀπαιτέσης, τίνος χάριν τῆς ἀνθρωπείας ψυχῆς, ὁλικῆς ὑπαρχέσης εἰκόνος, ἐ μερικῆς, ἤγεν ὅλης τῆς ὑπερθέε Τριάδος καὶ ἐχὶ μέρες αὐτῆς, εἶτα τε κατ᾽ εἰκόνα εἶναι

Θεȣ̃ ἐκπεσȣ́σης, ȣ̓χὶ τὸ πρωτότυπον ὅλον, ἤτοι αὐτὴ ἡ ἁγία Τριὰς, ταύτῃ ἥνωται τῇ εἰκόνι, ὡς ἂν τὸ αἶσχος πᾶν αὐτῆς περιέλῃ; ἢ διατὶ μὴ ὁ Πατὴρ, ἢ τὸ Πνεῦμα σεσάρκωται, ἀλλὰ μόνος ὁ ἐν τῇ θείᾳ Τριάδι Λόγος λεγόμενος καὶ Υἱός; Ὅτι εἰ μὲν ὅλη ἡ Τριὰς ἐσαρκȣ̃το, ἔχρην τὰ ἐκεῖ Τρία πρόσωπα τῇ ἀνθρωπίνῃ φύσει καθ' ὑπόστασιν ἑνωθέντα, πρόσωπον ἓν χρηματίσαι· ὃ τὴν τȣ̃ Σαβελλίȣ συναίρεσιν εἰς λόγον αἱρέσεως πολλῷ ὑπερβαίνει τῷ μέτρῳ. Εἰ δ' ȣ̓̃ν ὁ Πατὴρ μόνος ἐνανθρωπῆσαι ἠνέχετο, πάσαις ἂν εὐθὺς ψήφοις εἵπετο, καὶ Υἱὸν εἶναι τὸν αὐτὸν καὶ Πατέρα, ὡς τὸ μὲν ἀνάρχως καὶ παντὸς ὕπερθεν ὄντος χρόνȣ, τὸ δὲ ἐν χρόνῳ, καὶ προσφάτως ὑπάρξαντος. Εἰ δὲ πάλιν τὸ Πνεῦμα, ἔδει τὸ αὐτὸ καὶ γεννητὸν γενέσθαι διὰ τὴν ἀνθρωπότητα, καὶ ἐκπορευτὸν εἶναι, τȣ̃θ' ὅπερ ἐστὶ, διὰ τὴν Θεότητα· καὶ δύο ἂν εἶεν Υἱοὶ ἐν τῇ Τριάδι ὁ Θεȣ̃ Θεὸς Λόγος, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· τὸ μὲν σεσαρκωμένος, ὁ δ' ἄσαρκος· νῦν δὲ τȣ̃ ἐν Τριάδι γνωριζομένȣ μόνȣ Υἱȣ̃ σαρκωθέντος, ὁ ἐκεῖσε Υἱὸς μένει μόνον, ποσῶς ȣ̓ μεταβαλὼν, ȣ̓δὲ συγχέας τὸ ὄνομα τῆς υἱότητος· καὶ ὁ Πατὴρ μόνον ὡσαύτως Πατήρ· καὶ σὺν αὐτοῖς ὁ Παράκλητος, μόνον ἐκπορευτὸς, ȣ̓ μέν τοι καὶ γεννητός.

Ταύτης ȣ̓̃ν τῆς ἐνσάρκȣ οἰκονομίας ἕνεκα, μόνη γυναικῶν ἡ ἀειπάρθενος ἐκλέλεκται Μαριάμ· τῇ παρθενικῇ γὰρ ταύτης θελχθεὶς ὡραιότητι ὁ βασιλεὺς τῆς δόξης καὶ παντȣεργέτης, καὶ ἐν τῷ θελήματι αὐτȣ̃ τὸ κάλλος αὐτῇ παραχόμενος ἄφραστον, ὡς ἄμωμον νύμφην ταύτην ἡρμόσατο ἑαυτῷ· εἰ δὲ βȣ́λει πᾶσαν τὴν ἀνθρωπότητα δι' αὐτῆς· νυμφίον μοι δεῦρο νόει τὸν ἐν ἀρχῇ Θεὸν Λόγον, νύμφην τὴν φύσιν τὴν ἀνθρωπίνην, θείȣς δὲ γάμȣς τὴν πρὸς ἡμᾶς αὐτȣ̃ ἕνωσιν, ἡμέραν δὲ γαμήλιον τὴν τȣ̃ Εὐαγγελισμȣ̃, νυμφαγωγὸν δὲ τὸν Ἄγγελον Γαβριήλ. Καθάπερ ȣ̓̃ν ἐπὶ τῶν γάμων, ȣ̓χ ἡ κόρη πρὸς τὸν νυμφίον ἄπεισιν, ἀλλ' αὐτὸς πρὸς αὐτὴν ἐπείγεται, κἂν Βασιλέως Υἱὸς ᾖ, κἂν εὐτελῆ τινα καὶ ἀπερριμμένην, κἂν θεραπαινίδα κατεγγυήσασθαι μέλλῃ,

ὡς

ὥσπερ φησὶν ὁ Χρυσόστομος, οὕτω κἀνταῦθα γέγονεν· οὐχ ἡ κόρη πρὸς τὸν νυμφίον ἄπεισιν, οὐκ εἰς τὸν οὐρανὸν ἀνῆλθε τῶν ἀνθρώπων ἡ φύσις, ἀλλ' αὐτὸς πρὸς τὴν εὐκαταφρόνητον ταύτην καὶ εὐτελῆ παραγέγονε· καὶ γενομένων τῶν πραγμάτων, οὐκ εἴασεν αὐτὴν ἐνταῦθα μένειν λοιπὸν, ἀλλὰ παραλαβὼν εἰς τὸν οἶκον ἀνήγαγε τὸν πατρικόν· καὶ ὥσπερ ἔριον βαφὲν ἐν πορφύρᾳ, καὶ τεχνουργηθὲν ἱστουργοῖς καὶ ποικιλταῖς φιλοτίμως εἰς Βασιλέως εὐπρέπειαν, εἰ καὶ ἐκ δύο ἐστὶ φύσεων, ἐρίου δηλαδὴ καὶ πορφύρας, ἀλλ' ἓν ἀποτελεῖται βασίλειον ἔνδυμα, καὶ οὐκ ἐγχωρεῖ τὸ ἔριον μετὰ τὴν βαφὴν χωρισθῆναι τοῦ βάμματος, ἢ τὸ βάμμα τοῦ ἐρίου, οὕτω καὶ ἡ σὰρξ μετὰ τῆς ψυχῆς τῇ Θεότητι ἑνωθεῖσα, τῇ τοῦ ἁγίου Πνεύματος ἐπελεύσει, Θεὸς οὐράνιος μετὰ σαρκὸς προσκυνούμενος· καὶ ὥσπερ ὁ τῇ βασιλείῳ κορυφῇ οὑτοσὶ περικείμενος λίθος ἐκ δύο φύσεων συνεστὼς, ὕδατος φύσει παγέντος οὐ ψύχει, καὶ αἴγλης πυρώδους καθ' ἕνωσιν ἄκραν συμπαγείσης αὐτῷ, κἂν ἐκ φύσεων δύο συνίσταται, μᾶλλον δ' ἀθρόον καθάπερ συνέστη, ἀλλ' εἷς ἐστὶ πολύτιμος λίθος διαπρεπής· οὕτως ἅπαν τὸ πρόσλημμα τῇ ὑπερτάτῳ Θεότητι καθ' ἕνωσιν ἄρρητον ἑνωθὲν, κἂν ἐκ δύο συνῆλθε τῶν φύσεων, ἀλλ' ὑπόστασις γέγονε μία τὸ συναμφότερον. Ὅθεν καθάπερ ἐνταῦθα τῇ λαμπηδόνι τοῦ λίθου καὶ τὸ κρυσταλλῶδες ἅπαν συνεπαινεῖται, οὕτως ἐκεῖ τῇ τοῦ Λόγου Θεότητι, καὶ τὸ πρόσλημμα ὅλον συμπροσκυνεῖται· τῆς διαυγείας ἀφαιρουμένης τοῦ λίθου, συναφαιρεῖται τὸ τίμιον, καὶ τῆς τιμῆς ἐκλειπούσης; τῶν χυδαίων οὐδὲν διενήνοχε· τῆς Θεότητος ἐπινοίᾳ χωρισθείσης ἐκ τοῦ προσλήμματος, συναναιρεῖται ἡ χάρις· καὶ τῆς χάριτος μὴ παρούσης, τὸ λοιπὸν ἀδιάφορον. Ταύτῃ συμβάλλεται τῇ εἰκόνι καὶ ἡ ἐξ ἀστραπῆς καὶ Κόχλου τοῦ μαργαρίτου σύλληψίς τε καὶ σύστασις· καὶ γὰρ κἀκεῖνος καὶ δίχα σπέρματος συλλαμβάνεται, καὶ ἐκ φύσεων δύο συνίσταται, οὐρανίου ἅμα καὶ θαλαττίου· καὶ διὰ τὸ λαμπρὸν ὃ φέρει μᾶλλον ἐξ ἀστραπῆς, οὐ διὰ τὸ ἐκ τῆς Κόχλου ὑλῶδες τὸ τίμιον κέκτηται.

Ἰδοὺ

Ἰδὲ ἔχεις τῇ τῦ παγκράτορος χάριτι, Αὐτοκράτορ, καὶ οἰκεῖα ἐν σοὶ τὰ παραδείγματα τῆς τῦ λόγε Θεανθρωπότητος, τὸν μαργαρίτlω, τὸν λίθον, τlὼ πορφύραν αὐτlώ.

Κἀκεῖνο δὲ ταύτης παράδειγμα θεοπρεπέςερον πρόκειται πᾶσι, καὶ προχειρότερον, ὅτι ὡς ὁ μέγας ἕτος φωςὴρ, ὁ ἥλιος λέγω, εἰ καὶ ἐκ δύο σύγκειται φύσεων, τῦ δίσκε καὶ τῦ φωτὸς, ὅτε φῶς ἐςὶ μόνον, ὅτε δίσκος ἁπλῦς, ἀλλὰ τὸ σιωαμφότερον ἥλιος· καί τοι μεταγενεςέρε μὲν ὄντος τῦ δίσκε, προγενεςέρε δὲ τῦ φωτός· ὅτως ἄρα ἡ ἄναρχος τῦ Λόγε Θεότης, τῇ ὑςερογενεῖ ἀνθρωπότητι, καθ᾽ ὑπόςασιν ἑνωθεῖσα, ὅτε Θεὸς γυμνὸς ἔτι, ὅτε ψιλὸς ἐςὶν ἄθρωπος, ἀλλὰ τὸ ὅλον Θεάνθρωπος· „ὅτι πᾶν τὸ πλήρωμα τῆς Θεότητος ἐν αὐτῷ
„ κατοικεῖ σωματικῶς, Παῦλος ὁ μέγας βοᾷ· καὶ ἡ τῦ
„ Χριςῦ προσηγορία, τῦ παντὸς ἐςὶν ὁμολογία, λέγει ὁ
„ μέγας Βασίλειος· δηλοῖ γὰρ τόν τε χρίσαντα Θεὸν, καὶ
„ τὸν χριθέντα Υἱὸν, καὶ τὸ χρίσμα τὸ Πνεῦμα, ὡς πα-
„ ρὰ Πέτρε ἐν ταῖς Πράξεσι μεμαθήκαμεν, Ἰησῦν τὸν ἀπὸ
„ Ναζαρὲτ, ὃν ἔχρισεν αὐτὸν ὁ Θεὸς τῷ Πνεύματι τῷ
„ ἁγίῳ· καὶ ἐν τῷ Ἡσαΐᾳ, Πνεῦμα Κυρίε ἐπ᾽ ἐμὲ ὗ ἕνεκεν
„ ἔχρισέ με· καὶ ὁ ψαλμῳδὸς, διὰ τῦτο ἔχρισέ σε ὁ
„ Θεὸς ὁ Θεός σε ἔλαιον ἀγαλλιάσεως παρὰ τὲς μετόχες
„ σε· ὅθεν ἀποσεμνιώων τῦτὶ τὸ μυςήριον καὶ Ἀθανά-
„ σιος ὁ πολύτλας φησὶν, ὁ οἰκίσκος ἔνθα ἡ Παρθένος ἀπε-
„ κύησε, τῆς Ἐκκλησίας τὸν τύπον ἐδέξατο, ὅπε θυσια-
„ ςήριον μὲν ἡ φάτνη, ἐφημερδυτὴς δὲ ὁ Ἰωσὴφ, κληρικοὶ
„ οἱ μάγοι, διάκονοι οἱ ποιμένες, ἱερεῖς οἱ Ἄγγελοι, Ἀρ-
„ χιερεὺς ὁ Κύριος, θρόνος ἡ Παρθένος, κρατῆρες οἱ μα-
„ ζοὶ, ἀναβόλαιον ἡ ἐνανθρώπησις, ῥιπιςῆρες τὰ Χερε-
„ βὶμ, δίσκος τὸ Πνεῦμα τὸ ἅγιον, δισκοκάλυμμα ὁ Πα-
„ τὴρ, ἐπισκιάζων πάντα τῇ οἰκείᾳ δυνάμει.

Εὐαγγελισμὸς δὲ ἡ παρῦσα πανήγυρις λέγεται, ὅτι ἀγαθὰ ἡμῖν εὐαγγέλια σήμερον ἧκε παρὰ Θεῦ, καὶ πράγματα γέγονε παρ᾽ ἡμῖν, τῶν ἐν τῇ Ἐδὲμ καθ᾽ ἡμῶν γεγονότων ἄντικρυς διορθωτικά. Ἐκεῖ κατὰ τῦ ἀνθρω-

πείε

πείρου γνοὺς τὰ φαῦλα ἀπὸ γυναικὸς ἤρξατο, ὧδε ὑπὲρ τοῦ αὐτοῦ γενέσθαι τὰ ἀγαθὰ ἀπὸ γυναικὸς ἔλαβε τὴν ἀρχήν· ὅθεν ἡ κατάρα τὴν ἀρχὴν ἔσχεν ἀρχῆθεν, ἐκεῖθεν ἡ εὐλογία τὴν ἀπαρχὴν ἐκτήσατο ὕστερον· καὶ γὰρ ἐχρῆν τῆς ἁμαρτίας τὸ ὄργανον, ἐργαστήριον γενέσθαι τῆς χάριτος, καὶ ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ἐκεῖ περισσεῦσαι τὴν ἁγιότητα. Ἐκεῖ οὖν ὁ Παράδεισος, ὧδε ἡ Ἐκκλησία· ἐκεῖθεν τέσσαρες μερίζονται ποταμοὶ, ἐντεῦθεν τέσσαρες Εὐαγγελισταὶ, τὸ τῆς Ἐκκλησίας πλήρωμα καταρδεύουσιν· ἐκεῖ τὸ ξύλον τῆς γνώσεως, ὧδε ὁ Σταυρός· ἐκεῖ ὁ Ἀδὰμ, ὧδε ὁ Χριστός· ἐκεῖ ἡ Εὔα, ὧδε ἡ Μαριάμ· ἐκεῖ ὁ ὄφις, ὧδε ὁ Γαβριήλ· ἐκεῖ δράκοντος πρὸς τὴν Εὔαν ψιθυρισμὸς, ὧδε Ἀγγέλου πρὸς τὴν Μαριὰμ χαιρετισμός· ἐκεῖ ἡ κατάρα, ὧδε ἡ εὐλογία· ἐκεῖ ἡ γύμνωσις καὶ ἡ αἰσχύνη, ὧδε ἡ χάρις καὶ ἡ εὐπρέπεια· ἐκεῖ ἀπάτη καὶ ἀδικία, ὧδε ἀλήθεια καὶ δικαιοσύνη· „ἀλήθεια γὰρ ἀνέτειλεν ἐκ τῆς γῆς ἡ Παρθένος, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν, ὁ τοῦ Θεοῦ Θεὸς λόγος· ἐκεῖ τὸ τῆς ἔχθρας μεσότειχον, ὧδε εἰρήνη καὶ ἕνωσις ἀνθρώπων καὶ Θεοῦ· „δικαιοσύνη φησὶ καὶ εἰρήνη κατεφίλησαν· καὶ δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, ἐπὶ τῷ μυστηρίῳ συστησάμενοι χορὸν οἱ Ἄγγελοι ἐμελώδουν· ἐκεῖ τὸ πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τοὺς ἀναστεναγμούς σου, ὧδε τὸ χαῖρε κεχαριτωμένη Μαρία, εὐλογημένη σὺ ἐν γυναιξίν· ἐκεῖ τὸ ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει, ὧδε τὸ, ὁ Κύριος μετὰ σοῦ, εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, καὶ ἄνευ ὠδίνων ἡ γέννησις· εὗρες γὰρ χάριν παρὰ Κυρίου φησὶ, καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξεις Υἱόν· οὗτος ἔσται μέγας, καὶ Υἱὸς ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ Πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος· ἐκεῖ ἡ κατάρατος παρακοὴ, ὧδε ἡ εὐλογημένη ὑπακοή· ἰδοὺ φησὶν ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου· ἐκεῖ ἡ ἐπάρατος

„ἐπαρ-

„ ἔπαρσις, ὧδε ἡ μακαρία ταπείνωσις· μεγαλύνει γὰρ
„ φησὶν ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ Πνεῦμα
„ μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν
ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἐκεῖ φύλλα συκῆς ἔῤῥαψεν
ἡ ἁμαρτία τῇ Εὔᾳ, ὧδε καταστολὴν δόξης ὕφανον αἱ
„ ἀρεταὶ τῇ Παρθένῳ· „ παρέστη γὰρ φησὶν ἡ Βασίλισσα
„ ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πε-
„ ποικιλμένη· καὶ πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ Βασι-
„ λέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πε-
„ ποικιλμένη· ἐκεῖ ἡ ἐξορία τῆς προμήτορος ἀπὸ τοῦ Θεοῦ,
ὧδε τῆς Θεομήτορος ἡ πρὸς τὸν Δεσπότην οἰκείωσις· φη-
σὶ γὰρ πρὸς ταύτην, ὁ ταύτης προπάτωρ καὶ νυμφο-
„ στόλος Δαβὶδ „ ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς
„ σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ Πατρός σου,
„ καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστι
„ Κύριός σου, καὶ προσκυνήσεις αὐτῷ· καὶ τὸ πρόσωπόν σου
„ λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ· καὶ μνησθήσομαι τοῦ
„ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· καὶ ἐκεῖ δερμα-
τίνους χιτῶνας ὁ Θεὸς ἐνέδυσε τοὺς προπάτορας, ὧδε σάρ-
κα, ὥσπερ πορφύραν βασιλικὴν ὑφάνας ἐν μήτρᾳ παρ-
θενικῇ αὐτὸς ὁ Χριστὸς, εὐπρεπῶς ἐνεδύσατο, καὶ βασι-
„ λικῶς περιεζώσατο ταύτην· „ καὶ βασιλεύει βασιλείαν
„ ἀσάλευτον· ἐκεῖ κατ' εἰρωνίαν, τὸ, ἰδοὺ ὁ Ἀδὰμ γέγονεν
ὡς εἷς ἐξ ἡμῶν, ὧδε κατ' ἀλήθειαν, ἰδοὺ ὁ Θεὸς γέγονεν
ὡς εἷς ἐξ ἡμῶν. Τί; πῶς τοῦτο φής; ἰδοὺ ὁ Θεὸς, ἐφάνη
καὶ γέγονεν εἷς ἐξ ἡμῶν ἀληθείᾳ, τὸ πάντων παραδοξό-
τατον! ὢ μυστηρίου φρικώδους! ὢ δόξα τῇ αὐτοῦ ἀγαθότητι!
προσκυνοῦμεν αὐτοῦ τὴν πρὸς ἡμᾶς συγκατάβασιν!

Εἶδες μυστηρίων ἀκολουθίαν παράδοξον; τῷόντι δεδο-
„ ξασμένα λελάληνται περὶ σοῦ πόλις τοῦ μεγάλου Θεοῦ πε-
ριώνυμε, καὶ ὑπὲρ πᾶν ὕψος ἦρται τὰ σὰ μεγαλεῖα, καὶ
ὑπερῆρε πᾶν μῆκος, καὶ πλάτος, καὶ βάθος, σοῦ ἡ μεγα-
„ λοπρέπεια· „ ὄντως πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν,
„ πολλαὶ ἐκτήσαντο πλοῦτον, σὺ δὲ ὑπέρκεισαι, καὶ ὑπερῆρας
„ πάσας, καθ' ὑπεροχὴν ἀσύγκριτον πάντῃ καὶ ἄῤῥητον.
Ταύτῃ τοι νοῦς ἀμυδρὸς, λάρυγξ βραδὺς καὶ ἰσχνόφωνος,

σάρκι-

σάρκινος γλῶσσα, καὶ πτωχὴ διάνοια, ἀδυνατοῦσί σε ἀνυμνεῖν δέσποινα τοῦ κόσμου· καὶ πᾶς ὁ περίγειος οὑτοσὶ κόσμος, εἰ γένηται ἓν χεῖλος, μία γλῶσσα, τὸν ἐπάξιον ὕμνον οὐδὲ οὕτω δυνήσεται πλέξαι σοι· σὲ γὰρ ὑμνοῦσιν ἅπασαι τῶν Ἀγγέλων αἱ γλῶσσαι αἱ φλογεραὶ καὶ πυρίμορφοι, καὶ τῶν ἀσωμάτων τὰ στόματα.

Τοῦτο τοίνυν τὸ μυστήριον ἑορτάζομεν ἄνθρωποι, ἀληθείᾳ προβὰν, καὶ ἐνεργείᾳ γεγενημένον· τοιάδε ἡ παροῦσα πανήγυρις, τοιαύτη ἡμῖν ἡ σήμερον ἑορτὴ, ὑψηλῶν ὑψηλοτέρα, καὶ θαυμαστῶν πανηγύρεων τῇ ἀρχαιότητι ὑπερέχουσα· ὅθεν καὶ κατὰ πάσης ἑορτῆς λαμπρὰ ἀποφαίνεται τὰ πρεσβεῖα. Ὡς γὰρ ἡ τοῦ φυτοῦ ῥίζα, στελέχους καὶ φύλλων καὶ κλάδων, ἀνθέων τε καὶ καρπῶν αἰτία γινώσκεται, καὶ οὐδὲν τούτων δίχα ταύτης φαίνεσθαι πέφυκεν, οὕτω τῆς ἑορτῆς δίχα ταύτης, οὐδεμία τῶν ἐξ αὐτῆς φυεισῶν ἐπιφαίνεται· καὶ δὴ σκοπῶμεν. Πεντηκοστὴ γὰρ ἐπιτελεῖται, ὅτι Ἀνάληψις προεώρτασται· καὶ Ἀνάληψις, ὅτι Ἀνάστασις· Ἀνάστασις, ὅτι Σταύρωσις· Σταύρωσις, ὅτι Βαΐα· Βαΐα, ὅτι ἔγερσις τοῦ Λαζάρου· Λαζάρου ἔγερσις, ὅτι Μεταμόρφωσις· Μεταμόρφωσις, ὅτι Θεοφάνεια· Θεοφάνεια, ὅτι Ὑπαπαντή· Ὑπαπαντὴ, ὅτι Χριστοῦ γέννησις· Χριστοῦ γέννησις, ὅτι Εὐαγγελισμὸς προτετέλεσται, ἡ σήμερον ἑορτή.

Ἐγνώκατε ἄρχοντες τοῦτο τοῦ Εὐαγγελισμοῦ τὸ μυστήριον; συνήκατε τῶν νῦν ἡμῖν περὶ τούτου ῥηθέντων τὴν δύναμιν, ἐξ ὧν ἡ ἐμὴ οὐθενότης παραστῆσαι δεδύνηται; οὐκοῦν ἐπεὶ ὁ Θεὸς ἑαυτὸν οὕτω δι' ἡμᾶς ἐταπείνωσε δι' οἰκονομίαν γενόμενος ἄνθρωπος, ταπεινώσωμεν καὶ ἡμεῖς ἑαυτοὺς διὰ τὴν ἡμῶν σωτηρίαν πάντες· εἰς τοῦτο καὶ γὰρ ὁ πάσης ἐπέκεινα φύσεως τὸ καθ' ἡμᾶς τεταπείνωται, ἵνα τοὺς τῶν οὐρανίων ἀγαθῶν ἐκπεσόντας ἡμᾶς δι' ἐπάρσεως, ἐπαναγάγῃ πρὸς ταῦτα διὰ τῆς ὑψοποιοῦ ταπεινώσεως· ὅτι ἡ ὑπερηφανία ἀπ' οὐρανοῦ κατέβαλεν Ἀρχάγγελον, καὶ ὡς ἀστραπὴν ἐποίησε πεσεῖν ἐπὶ τῆς γῆς· ταπείνωσις δὲ ἄνθρωπον ἀνάγει εἰς οὐρανὸν, καὶ μετ' Ἀγγέλων χορεύειν ποιεῖ· καὶ καθὼς οἱ θεῖοι Πατέρες διδάσκουσιν,

σιν, ὁ μὲν ἔχων ταπείνωσιν, ταπεινοῖ τοὺς δαίμονας, ὁ δὲ μὴ ἔχων ταπείνωσιν, ταπεινοῦται ὑπὸ τῶν δαιμόνων· ὅπου βλαστάνει ἡ ταπείνωσις, ἐκεῖ βρύει ἡ τοῦ Θεοῦ δόξα· ὁ τρέχων ὄπισθεν τῆς δόξης, φεύγει ἀπὸ ἔμπροσθεν αὐτοῦ, καὶ ὁ φεύγων αὐτὴν, καταδιώκει αὐτὸν, καὶ κήρυξ γίνεται πᾶσιν ἀνθρώποις τῆς ταπεινώσεως αὐτοῦ· τοσοῦτον τις μᾶλλον ὀφείλει ταπεινοφρονεῖν, ὅσον δοκεῖ μᾶλλον εἶναι· ὁ εὐτελίζων καὶ σμικρύνων ἑαυτὸν, ὑπὸ τοῦ Κυρίου σοφισθήσεται· καὶ ὁ νομίζων ἑαυτὸν εἶναι σοφὸν, τῆς τοῦ Θεοῦ σοφίας ἀποπεσεῖται· οὐκ ἔστι σωθῶν ὁ μὴ ἔχων ταπείνωσιν, καὶ ὁ μὴ ἔχων ταπείνωσιν, οὐ μὴ σωθήσῃ· ἐὰν μὴ ταπεινωθῶμεν, ὁ Θεὸς οὐ παύεται ταπεινῶν ἡμᾶς, καὶ ἐὰν ταπεινούμεθα, οὐ παύεται ὁ Θεὸς ὑψῶν ἡμᾶς· ἄνθρωπον ταῖς μὲν ἀρεταῖς διαλάμποντα, τοῖς δὲ ἀνθρώποις εὐτελῆ φαινόμενον, φωτεινὸν μὲν τῷ βίῳ, σοφὸν δὲ τῇ γνώσει, καὶ ταπεινὸν τῷ Πνεύματι, τὶς τεθέαται; ὥσπερ ἡ πίστις ἐλπιζομένων ὑπόστασις πέφυκεν, οὕτως ἀρετῶν ἡ μακαρία ταπείνωσις· καὶ ὥσπερ ἅλας τῇ τροφῇ, οὕτως ἡ ταπείνωσις πάσῃ ἀρετῇ, καὶ ἰσχὺν πολλῶν ἁμαρτημάτων αὕτη δύναται συντρίψαι· διότι χωρὶς ταύτης, πάντα τὰ ἔργα ἡμῶν μάταια εἰσὶ, καὶ πᾶσαι αἱ ἐντολαὶ, καὶ πᾶσαι αἱ ἐργασίαι· ταύτην ἐὰν κτησώμεθα, Υἱοὺς ἡμᾶς ποιεῖ τοῦ Θεοῦ· αὕτη καὶ χωρὶς ἔργων ἀγαθῶν παρίστησιν ἡμᾶς τῷ Θεῷ, ταῦτα δὲ χωρὶς αὐτῆς οὐ μόνον ἀνωφελῆ εἰσὶν, ἀλλὰ καὶ πολλὰ κακὰ κατασκευάζουσι τοῖς ἔχουσιν αὐτά.

Ὡς οὖν εἰδότες, ὅτι οὐδὲν ἄλλο ἐστὶν ὁ ἄνθρωπος, εἰ μὴ γῆ καὶ σποδὸς, μήτε ἐπὶ προγόνων εὐγενείᾳ τὶς ὑμῶν καυχάσθω, ὕλην γὰρ ἔχομεν οἱ πάντες Μητέρα, καὶ πηλὸν τὸν Πατέρα, καὶ τὸν προπάτορα χοῦν, καὶ οἱ ἐν πορφύρᾳ καὶ βύσσῳ τρεφόμενοι, καὶ οἱ ἐν πενίας ἀβύσσῳ τηκόμενοι· μήτ' ἐπ' ἀνθρωπίνης δόξης· ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν βδέλυγμα ἐστὶν ἐνώπιον τοῦ Θεοῦ· μήτε ἐπί τινι κατορθώματι· ἐπεὶ ἄνευ τῆς τοῦ Θεοῦ βοηθείας τὰ ἔργα τοῦ ἀνθρώπου, καὶ ἡ ἐφ' ἑαυτῷ μάλιστα πεποίθησις, σποδὸς ἐστὶ καὶ τέφρα· ἀλλ' ἐκ τούτων καταμαθόντες,

θόντες ὅσον τῆς ταπεινοφροσύνης τὸ ὕψος, τὸ χάρισμα τοῦτο πάντες αἰτήσωμεν κτήσασθαι παρὰ Θεοῦ· καὶ γὰρ ὑπὲρ πᾶσαν θυσίαν, καὶ πᾶν ὁλοκαύτωμα εὐπρόσδεκτος ἡ ταπείνωσις προσαγομένη Θεῷ· καὶ μαρτυρεῖ Δαβὶδ ὁ προφήτης, καὶ ἡ τῶν ἐν Βαβυλῶνι παίδων τριάς· ὁ μὲν λέγων πρὸς τὸν Θεὸν „ ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις· θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην, καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει· οἱ δὲ, οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα· αἰσχύνη, καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου, καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα, ἀλλ᾽ ἐν ψυχῇ συντετριμμένῃ καὶ Πνεύματι ταπεινώσεως προσδεχθείημεν, ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων, καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτω γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου. Τοῦτο τὸ φρόνημα φρονεῖν ἡμᾶς βούλεται καὶ ὁ Ἀπόστολος Παῦλος ἐν τῷ λέγειν „ τοῦτο φρονείσθω ἐν ἡμῖν ἀδελφοὶ, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε. Τοῦτο τὸ μέγα καὶ τέλειον μάθημα παρέδωκεν ἡμῖν ὁ φύσει διδάσκαλος ἀπὸ τῶν οὐρανῶν κατελθὼν, Ἰησοῦς Χριστὸς, εἰπὼν, μάθετε ἀπ᾽ ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ἧς ἀναπαύσεως τύχοιμεν πάντες, καὶ νῦν, καὶ μετὰ τὴν ἐντεῦθεν μετάστασιν, ταῖς τῆς κεχαριτωμένης Θεοτόκου λιταῖς, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ ζωοποιῷ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

# ΛΟΓΟΣ Α.

## ΡΗΘΕΙΣ ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ.

Ἐν τῷ αὐτῷ Παλατίῳ, εἰς τὸ ἔννατον Εὐαγγέλιον τῶν ἁγίων Παθῶν· ἤτοι εἰς τό, Εἱστήκεισαν παρὰ τῷ Σταυρῷ, ἡ Μήτηρ αὐτοῦ, καὶ τὰ ἑξῆς.

Ἡ τόδε τὸ πᾶν ἀῤῥήτοις λόγοις ἁρμονίας ἁρμοσαμένη, καὶ προνοητικῶς τοῦ σύμπαντος κηδομένη Τριὰς, μία δύναμις ἄναρχος οὖσα, δευτέραν δύναμιν μετ' αὐτὴν (*) καὶ τρίτην τῶν ἀνθρώπων δείξασα, τρεῖς καὶ τέσσαρας καὶ πέντε δυνάμεις ἐνέθηκε τῇ ἀνθρωπίνῃ ψυχῇ· ὧν αἱ μὲν τρεῖς εἰσὶ Φυσικαί, αἱ δὲ τέσσαρες εἰσὶ ζωτικαὶ, αἱ δὲ πέντε γνωστικαί. Καὶ Φυσικαὶ μὲν τῆς ψυχῆς δυνάμεις εἰσὶν, ἥτε Θρεπτικὴ, καὶ Αὐξητικὴ, καὶ Γεννητική· κατὰ ταῦτα γὰρ ἡ αἰσθητικὴ ψυχὴ, τῆς ἀναισθήτου μετέχει ψυχῆς· ἔστι γὰρ καὶ ἀναίσθητος ψυχὴ, ὁποία ἡ τῶν Φυτῶν· τυπτόμενα γὰρ ταῦτα, καὶ κοπτόμενα, καὶ καιόμενα οὐκ αἰσθάνονται, καίπερ ἔχοντα ψυχήν· εἰ γὰρ μὴ εἶχον, οὐκ ἂν ἐτρέφετό τε καὶ ηὔξανε καὶ ἐκαρποφόρει καρποὺς, ὅμοια γεννῶντας φυτὰ αὐτοῖς· καὶ αὗται μὲν εἰσὶν αἱ τρεῖς Φυσικαὶ τῆς ψυχῆς δυνάμεις· κἀκεῖθεν λαβοῦσαι, τὴν προσηγορίαν ἐκ τῶν Φυτῶν, τρεπομένου εἰς σ τοῦ τ. Ζωτικαὶ δὲ ταύτης δυνάμεις εἰσί, Βούλησις, Προαίρεσις, Θυμὸς, καὶ Ἐπιθυμία· ζωτικαὶ δὲ καλοῦνται, ἐπεὶ κατ' αὐτὰς ἡ ἀνθρωπίνη ψυχὴ τῶν τε λογικῶν ζώων μετέχει, λέγω δὴ τῶν

Ἀγγέ-

Ἀγγέλων ἴδια, καὶ τῶν ἀλόγων αὖθις κοινῶς· ἐμβαίνει δέτι καὶ μεταξὺ, ὅτι ἡ μὲν Βέλησις, δύναμις ἐςὶ τῆς ψυχῆς λογικὴ, ἄλογοι δὲ Θυμὸς καὶ Ἐπιθυμία· ἡ δὲ Προαίρεσις ἐπαμφοτερίζει· ἔςι γὰρ προαιρεθῆναι σὺν λόγω ἀντὶ κακȣ̃ ἀγαθὸν, καὶ ἔςι προελέσθαι ἀλόγως ἀντὶ ἀγαθȣ̃ τὸ κακόν. Γνωςικαὶ δὲ τῆς ψυχῆς δυνάμεις εἰσὶ, Νȣ̃ς, Διάνοια, Δόξα, Φαντασία, καὶ Αἴσθησις· ἀλλ' ὁ μὲν Νȣ̃ς καὶ ἡ Διάνοια, δυνάμεις εἰσὶ τῆς ψυχῆς λογικαὶ, ἄλογοι δὲ Φαντασία καὶ Αἴσθησις, ἡ δὲ Δόξα ἐπαμφοτερίζει· ἔςι γὰρ δοξάζειν, καὶ τὸ ὂν ὡς ὂν, καὶ τὸ μὴ ὂν ὡς μὴ ὂν, ὅπερ ἐςὶ λογικȣ̃ ἴδιον· ἔςι δὲ δοξάζειν, καὶ τὸ ὂν ὡς μὴ ὂν, καὶ τὸ μὴ ὂν ὡς ὂν· ὅπερ ἐςὶ μάταιον πάντη καὶ ἄλογον.

Οὕτω τῶν τῆς ψυχῆς δυνάμεων ἐχȣσῶν, ὁ ταῖς γνωςικαῖς δυνάμεσι ταύταις προτατλόμενος Νȣ̃ς, τοσȣ̃τον πασῶν ὑπερέχει ταῖς χάρισιν, ὡς λόγον ἔχειν πρὸς τὰς λοιπὰς, ὃν ἄντικρυς ἔχει κυβερνήτης μὲν ἐν νηῒ, οἰκοδεσπότης δ' ἐν οἴκῳ, κριτὴς ἐν δικαςηρίῳ, ςρατηγὸς ἐν πολέμῳ, ἄρχων ἐν πόλει, ὀφθαλμὸς ἐν σώματι, καὶ ἥλιος ἐν ȣ̓ρανῷ. Νȣ̃ς γάρ ἐςιν ὅρασις ἀσώματος εἰς πάντα διατρέχων ἀκαμάτως· ἢ ψυχῆς τὸ καθαρώτατον καὶ λογικώτατον, εἰς θεωρίαν τῶν ὄντων (*) καὶ προκατειλημμένον. Πολλαῖς ȣ̃ν χάρισιν ἡ τοιαύτη δύναμις τῆς ψυχῆς πεπλȣτισμένη παρὰ Κυρίȣ, μετὰ πασῶν καὶ ταύτην ἔχει τὴν δύναμιν, ὅτι πρὸς πᾶν ὕψος, καὶ βάθος, καὶ μῆκος, καὶ πλάτος τȣ̃ αἰσθητȣ̃ τȣ́τȣ κόσμȣ, θελήσει μόνῃ ἀκαμάτως χωρεῖ· ȣ̓ διαςήμασιν ἀποκάμνει, ȣ̓ θύραις κωλύεται, ȣ̓ τείχει διείργεται, ȣ̓κ ἀντιτυπίᾳ σωμάτων, ἢ πάχει, τȣ̃ μὴ πρόσω διήκειν ἐλευθέρῳ ποδὶ, ἀντικρȣ́εται· ἀλλ' ὥσπερ ὁ ἡμέτερος ὀφθαλμὸς, ἡλίȣ τὰ ὑπὲρ γῆν ἐπιλάμποντος, ἅμα τῇ τῶν ἰδίων βλεφάρων διάρσει, εὐθὺς ἐπιβάλλει ἐπίσης, τοῖς τε πόῤῥωθεν ὁρατοῖς, οἷον αἰθέριτε καὶ σελήνῃ, καὶ τοῖς ἐγγύθεν, οἷον ταῖς ἡμετέραις χερσὶν, ȣ̃τω δὴ καὶ ὁ Νȣ̃ς, νεύματι μόνῳ τῆς ἡμετέρας ψυχῆς ἑαυτὸν ὁρᾷ·

τῶν ὄντων τὴν φύσιν κατοπτεύει πολυμερῶς· τοὺς τῆς σοφίας πάντας καὶ δρέπεται καὶ καρποῦται καρπούς· περιέρχεται τὸν κόσμον, καὶ τὸ περὶ αὐτὸν κενόν· τὰ ὑπὸ γῆν, καὶ εἰς ἄβυσσον σχεδὸν οὕτω βλέπει ῥάδιον καὶ ἀπών, ὥσπερ ἐκεῖσε παρών· καὶ ὅσον τὰ ἄστρα περιέρχεται κύκλον ῥᾷστα περιμετρῶν, ἠρέμα καὶ τὰ ὑπὲρ τοὺς οὐρανοὺς θεωρεῖ· τί δεῖ πολλὰ λέγειν; Ἀγγέλους περινοεῖ, καὶ αὐτὸ τὸ Θεῖον, καθ' ὅσον ἡμῖν ἐφικτόν, καθορᾷ· καὶ διὰ τῆς πρὸς τὸ σῶμα συναφείας ἐν τόπῳ γινόμενος, καὶ περιγράφεταί πως, καὶ οὐ περιγράφεται τούτῳ, ἀλλὰ περιπορευόμενος ὅποι ἂν βούλοιτο, ἀμερίστως ἔχεται τοῦ συνδέσμου, ἐν ᾧ τὴν σύστασιν ἔσχηκε· καὶ ταύτας μὲν τὰς ἐνεργείας ῥᾳδίως ποιεῖν ἐπὶ τόπου δύναμιν ἔχει κατὰ φύσιν ὁ Νοῦς. Ἐπὶ δέγε τοῦ χρόνου οὕτως εὐκόλως εἰς τὸ τοῦ χρόνου ἄχρονον, καὶ τὴν ἀπειρίαν τοῦ ἀπείρου αἰῶνος ἐκτείνεται· λέγω δὲ τὸ πρὸ τῶν ἑπτὰ τούτων αἰώνων ἀμέτρητον, καὶ τὸ μετὰ τούτους ἀπέραντον, εἰς τὸν πρὸ τοῦ κατακλυσμοῦ πάντα χρόνον, εἰς τὰ πρὸ τοῦ νόμου ἔτη, καὶ εἰς τὰ τοῦ Εὐαγγελικοῦ κηρύγματος ἅπαντα· ὡς εἰς τὴν παρελθοῦσαν ἡμέραν τὴν χθές.

Μέγας μὲν οὖν διὰ ταῦτα καὶ πολὺς ὁ ἀνθρώπινος Νοῦς· μέγας δὲ καὶ τὸ δύνασθαι παραστῆσαι θέσεις τόπων, καὶ διαστήματα, χρόνους, καὶ πράξεις, κάλλη, ποιότητας, πρόσωπα, πράγματα, λόγους, τρόπους, αἰτίας, ἐντε θαλάσσῃ μακρᾷ, καὶ εἰς τὰ τῆς γῆς πέρατα πρὸ ἐτῶν χιλίων γεγενημένα, καὶ ἐπ' ὄψιν τοῖς ἀκροαταῖς αὐτὰ διὰ λόγου, καθὰ δὴ καὶ γέγονε, παριστᾶν. Ἐνταῦθα δοκεῖ μοι ἀριδήλως, κἀκεῖνο συνάγεσθαι τὸ παράδοξον, τὸ τὴν ἀκοὴν φημὶ τοῖς ἀνθρώποις χρησιμωτέραν εἶναι τῆς ὄψεως· καθὸ ἡ μὲν ὄψις τὰ παρόντα καὶ φαινόμενα μόνον, ἡδ' ἀκοὴ ἐπίσης τὰ παρόντα καὶ τὰ ἀπόντα, τὰ παρωχηκότα καὶ τὰ μέλλοντα, τὰ φανερὰ καὶ τὰ κεκρυμμένα πολλάκις, τοῖς ἔχουσιν ὦτα ἀκούειν, σαφῶς παριστᾷ· καὶ ἡ μὲν τὰ τῶν σωμάτων ἡμῖν ἐπιπόλαια γνωρίζει μόνον, ἡ δὲ οὐ τῶν σωμάτων τὰ βάθη

ἁπλῶς,

ἁπλῶς, ἀλλὰ δὴ καὶ τὰ κρύφια τῆς ψυχῆς, ἑρμηνεῖ τῷ λόγῳ, καὶ ἐπιςάτῃ κεχρημένη τῷ Νῷ, ἑρμηνεύει τρανώτατα. Ὥςε τοῖς μὲν πολλοῖς τῶν ἀνθρώπων χρησιμωτέρα μὲν ἡ ὄψις αὐτοῖς, καὶ δοκεῖ καὶ ἐςὶ, πασῶν τῶν ἔξω αἰσθήσεων· ὅθεν καὶ ταύτῃ τὸ πλέον τῆς ἀγαπήσεως ἀπονέμουσιν, ἅτε πρὸς τὴν ζωώδη ταύτην ἐπτοημένοι ζωήν· ὅσοις δέγε τὰ ἴχνη ἔσω μᾶλλον, ἢ ἔξω τέτραπται (ἀλλὰ μὴ τόλμαν καταγνῶτε τοῦ λόγου) αἱρετωτέρα ταύτης πολλῷ τῷ μέτρῳ ἡ ἀκουςικὴ δοκεῖ δύναμις· διὰ γὰρ ταύτης καὶ πίςις, καὶ ἐλπὶς, καὶ ἀγάπη ἡ πρὸς τὸν Θεὸν, καὶ σοφία, καὶ φρόνησις, καὶ δικαιοσύνη, καὶ σύνεσις, καὶ βουλὴ, καὶ εὐσέβεια, καὶ ἄλλαι μυρίαι τῶν ἀρετῶν τοῖς ἀνθρώποις προσγίνονται, ὧν ἄνευ σωτηρίας οὐκ ἔςι τυχεῖν, οὐδὲ χριςιανὸν γενέσθαι ποτέ,

Ὡς ἂν δὲ μὴ μόνον λόγῳ ψιλῷ, ἀλλ' ἀληθείᾳ καὶ πράγματι γνῶμεν τοῦ προοιμίου τὴν δύναμιν, ἰδοὺ πέλαγος ἡμῖν ἔμπροσθεν μέγα, καὶ πλοῖον ἕτοιμον ἄρτι ἀνάγεσθαι μέλλον ἐντεῦθεν, καὶ κυβερνήτης ἐν τούτῳ θαυμάσιος, καὶ ναῦται εἰδήμονες κομιδῇ τὰ θαλάττια, καὶ ἐπιβάται μυρίοι, καὶ τόπου διάςημα πλεῖςον εἰς τὸν ἀπόπλουν, καὶ μῆκος χρόνου παρῳχηκὸς, πρὸς δὲ καὶ πόλις περιφανὴς εἰς ἣν τοῦτ' ἄπεισιν. Τὸ πέλαγος ἐςὶν ὁ αἰσθητὸς οὗτος κόσμος ὃν βλέπομεν· τὸ τοῦ τόπου διάςημα, ἑξήκοντα τετρακόσια καὶ χίλια μίλια· τὸ παρῳχηκὸς ὧδε τοῦ χρόνου μῆκος, ἑπτακαίδεκα πρὸς τοῖς τετρακοσίοις ἔτη καὶ χίλια· ἐπιβάται σὺν πλείοσιν ἄλλοις, καὶ ὑμεῖς σὺν ἐμοί· ναῦται, ὁ τὰς τῶν Εὐαγγελίων περικοπὰς διαταξάμενος, ὡς ἐχρῆν, τῶν ἱερῶν διδασκάλων χορός· πόλις εἰς ἣν τὸν ἀπόπλουν καὶ ποιησόμεθα καὶ πραγματευθησόμεθα τήμερον, ἐὰν ὁ Θεὸς εὐοδώσῃ τὸν πλοῦν, ἡ πάλαι Ἰερουσαλὴμ, ἡ τῆς Παλαιςίνης Μητρόπολις· κυβερνήτης ἄριςος Ἰωάννης ὁ Εὐαγγελιςής· μετὰ μικρὸν δὲ εἴσεσθε καὶ τὸ πλοῖον εὐθύς· αὐτὸς γὰρ ὁ θεολόγος τροπικῶς ἐμβιβάζει εἰς τοῦτο, καὶ διαβιβάζει ἡμᾶς τὴν θάλασσαν τοῦ βίου τὴν ὀζομένην, τῶν

τῶν μεριμνῶν καὶ φροντίδων τῶν κοσμικῶν, καὶ πρὸς τὴν ποτὲ Ἱερουσαλὴμ ἄρδην ἅπαντας μεθιστᾷ, οὐ τὴν κατεστραμμένην, καὶ ἠρημωμένην, καὶ πατουμένην ὑπὸ ἐθνῶν ἀλλοφύλων, ταύτην τὴν σήμερον, ἀλλὰ τὴν ἀρχομένην μὲν τότε ὑπὸ Ῥωμαίων, οἰκουμένην δὲ παρ' Ἑβραίων, οὕτως ἀριστίνδην ἐκλελεγμένων, ὡς νομίζεσθαι καὶ λέγεσθαι, μακάριον τὸν ἔχοντα οἰκείους ἐν αὐτῇ. Ἀλλὰ τὸ μὲν πλοῖον ἤδη ἀνάγεται· εἰσέλθωμεν τάχει καὶ ἡμεῖς, εἰ δοκεῖ, σὺν πολλῇ σιγῇ μόνον, καὶ πλείονι προσοχῇ· ὅτι τὸ αὐτὸ καὶ μυριαγωγός ἐστιν ὁλκάς, καὶ ἀστενοχώρητος, ὅσους ἂν ὑποδέξηται πλωτῆρας φέρει, καὶ παντὸς πτεροῦ κουφότερον ἐν μιᾷ ῥοπῇ χρόνου, τὰ μακρὰ πελάγη διαπερᾷ· ἰδοὺ ἀνήχθημεν ἐντεῦθεν, καὶ καὶ πλέομεν ἤδη Θεοῦ θέλοντος· ναῦται, ἐπάρατε τὰ ἱστία· ἴθυνον ἡμῖν Χριστὲ κυβερνῆτα τὸν νοῦν! ὦ Κύριε Σῶτερ εὐόδωσον δή! γέγονεν ἔργον ὁ λόγος· εὐώδωσε τὸ Θεῖον ἡμᾶς, καὶ προσέχετε. Ἐφθάσαμεν εἰς ἣν ἐπειγόμεθα πόλιν· χαλάσατε τὰς ἀγκύρας λοιπὸν, καὶ τὸ μεταγαγὸν ἡμᾶς ὧδε πλοῖον ἐπίγνωτε.

„ „Τῷ καιρῷ ἐκείνῳ εἱστήκεισαν παρὰ τῷ Σταυρῷ τοῦ
„ Ἰησοῦ, ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ,
„ Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Τοῦτο τῆς βροντῆς τοῦ Υἱοῦ τὸ ῥῆμα, καθάπερ πλοῖον παντὸς ἀνέμου ὀξύτερον, ἐντεῦθεν βαστάσαν ἅμα πάντας ἡμᾶς, ἀθρόον ἐκεῖ μετήγαγε· καὶ παριστάμενους ἐνταῦθα τῷ Αὐτοκράτορι, εἰς Ἱεροσόλυμα φέρον, παρέστησε τῷ τοῦ Κυρίου Σταυρῷ· ὢ δόξα τῷ τὴν δύναμιν ταύτην σοι ποδηγέτα χαρισαμένῳ, ὅτι οὕτω ταχέως τε καὶ ἀφόβως, τοσοῦτον ἡμᾶς διεπέρασας πέλαγος! Συνήκατε νῦν τὸν τοῦ προοιμίου σκοπὸν, καὶ τοῦ νοῦ τὴν δύναμιν ὅσην, ἐξ ὑμῶν αὐτῶν ταύτην γνωρίσαντες ἐνεργείᾳ, οὐκ ἔξωθεν; ἐγνώκατε ὡς ἐν τύπῳ, πόσαις χάρισι κατεκόσμησε τὴν ἡμετέραν ψυχὴν ὁ Θεός; ὁρᾶτε πῶς εἰ καὶ βραχεῖα ἐστὶν ἡ λέξις ἡ γραφική, ἀλλ' οἱονεὶ τοῦ ὕδατος φλέψ, ἐχομένη τῆς θείας ἀβύσσου ἀνεξάντλητος πέφυκε; κα-

θόσον

θόσον ῥύεται ἀναστομουμένη, καὶ ὅσον ἀντλεῖται καθαρώτερον νᾶμα; συνορᾶτε ὡς ἐστιν ἡ ἱστορία ζωγραφία λαλοῦσα, ὥσπερ ἡ ζωγραφία ἱστορία σιγῶσα; ἰδοὺ γὰρ τμῆμα λόγου καὶ βραχὺ, καὶ ἁπλούστατον, καὶ οὐ σχεδὸν ἁπλούστερον ἐν Εὐαγγελίοις οὐχ εὑρηται· τί γὰρ προχειρότερον εἰς τὸ νοηθῆναι τῆς, τῷ καιρῷ ἐκείνῳ, φωνῆς; ἀλλ᾽ ἡ βραχεῖα αὕτη ῥῆσις, καὶ εὐσυνόπτος πᾶσι δοκοῦσα, πόσον ἔχει τὸ βάθος, πόσην κέκτηται δύναμιν, καίπερ οὖσα κοινὴ τοῖς τὰς περικοπὰς τοῦ Εὐαγγελίου συντάξασι; καὶ πρό γε τούτων, τοῖς τέσσαρσιν Εὐαγγελισταῖς ἰδία γίνεται πάλιν ἑκάστῳ, ἡνίκα τούτου καιρὸς, καὶ πάντα σημαίνειν δοκοῦσα τὸν χρόνον, καθ᾽ ὃν ὁ Σωτὴρ τὰς ἐπὶ γῆς ἐποιεῖτο διατριβὰς, τοῖς μὴ σὺν λόγῳ ἀκροωμένοις, τῶν ἐν αὐτῷ παρ᾽ αὐτοῦ πεπραγμένων, κατὰ διαφόρους καιρούς τε καὶ τόπους καὶ τρόπους, πότε, καὶ ὅποι, καὶ πῶς, ἐπισημαίνεται τοῖς προσέχουσι, καὶ γῆθεν τοῖς ἀμαθέσι λαλεῖσθαι νομιζομένη, τοῖς ἐπηρμένα ἔχουσιν ὦτα, ὡς βροντὴ οὐρανόθεν καθ᾽ ἑκάστην ἀκούεται. Ἐπεὶ τοίνυν παραδόξως ἀνήλθομεν καὶ ἡμεῖς εἰς Ἱεροσόλυμα, οὐχὶ σήμερον μόνον, ἀλλὰ καὶ τῷ καιρῷ ἐκείνῳ, ἐν ᾧ καὶ ὁ Σωτὴρ ἀνῆλθε σταυρωθησόμενος, καὶ οἱ ἀνὰ τὴν οἰκουμένην ἅπασαν εὐλαβεῖς Ἰουδαῖοι αὐτόθι συνῆλθον· ἀνέβημεν, δὲ καὶ οὐκ ἄπο σκοποῦ, ὡς ἂν δὲ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν θυόμενον ἴδωμεν, ἄγε δὴ τὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τοῦ πάθους ἐκεῖ γινόμενα κατ᾽ ἀκρίβειαν θεωρήσωμεν· καὶ ὁρᾶτε μὴ ἐπιλάθοισθε, ἀλλὰ μέμνησθε ποῦ ἵστασθε νοητῶς· ὅτι εἰς τὸν ἅγιον Γολγοθᾶν, ἐν τῷ τόπῳ τοῦ κρανίου, καὶ ἐν τῷ κήπῳ ὅπου ἐσταυρώθη ὁ Κύριος· καὶ σκοπεῖτε τίσι παρίστασθε, ὅτι τῷ Σταυρῷ, καὶ τῷ Χριστῷ.

Λοιπὸν ἐπάρατε πάντες τοὺς τῶν ψυχῶν ὑμῶν ὀφθαλμοὺς, ὡς ἤδη παρόντες ἐκεῖ, καὶ πάντα θεᾶσθε ἀκριβῶς, καὶ τὸν τόπον, καὶ τὰ πρόσωπα, καὶ αὐτὰ τὰ γινόμενα πράγματα. Τὸν μὲν τόπον ἐμβλέψατε καὶ ἴδετε, τὴν γῆν τῆς ἐπαγγελίας τὴν ἁγίαν ἐκείνην, ἐξ

ἧς ἔῤῥει μέλι καὶ γάλα ποτέ· τὸ ὄρος τὸ Σιὼν, ὃ ἐξε-
λέξατο ὁ Θεὸς, καὶ ᾑρετίσατο εἰς κατοικίαν ἑαυτῷ, ὃ
ἠγάπησε· τὴν ἁγίαν πόλιν, τὴν τοῦ Κυρίου Μητρόπο-
λιν, περὶ ἧς δεδοξασμένα λελάληται πολλαχοῦ, καὶ ἀξιά-
κουστα ἤκουσται· καὶ μᾶλλον τὸν μέσον ταύτης ναὸν, τὸ
μέγα τῆς οἰκουμένης θαῦμα, καὶ περιβόητον ὄνομα. Τὰ
πρόσωπα καταμάθετε· ἐκεῖ Πάρθοι, καὶ Μῆδοι, καὶ
Ἐλαμῖται· ὧδε Πόντιοι, Καππαδόκαι, καὶ Βιθυνοί· ἑτέ-
ρωθι Φρύγες, Ἀσιανοὶ, καὶ Γαλάται· ἄλλοθι Κρῆτες,
καὶ Ἄραβες, καὶ Ῥωμαῖοι· καὶ ἐν λόγῳ ἀπὸ παντὸς
ἔθνους τῆς ὑπ' οὐρανὸν ἄνθρωποι, καὶ τὰς μορφὰς, καὶ
τὰ ἤθη, καὶ τὰς ἀναβολὰς, καὶ τὰς γλώττας διάφο-
ροι. Τὰ πράγματα σκέψασθε, καὶ συνιέτε ἀκριβῶς
τῶν γινομένων ἕκαστον· ὁρᾶτε τὸν δῆμον ἐκεῖνον μαινόμε-
νον ὅλον, τὸν Ἰουδαϊκὸν κατὰ τοῦ Χριστοῦ, πάντας φονῶν-
τας, πάντας διψῶντας τὸν τοῦ Σωτῆρος Σταυρὸν καὶ
τὸν θάνατον· οὗτοι Φαρισαῖοι, ἐκεῖνοι Σαδδουκαῖοι, οἱ δὲ
Ἡρωδιανοὶ, αὐτοὶ Νομικοί· ὁρᾷς Γαλιλαίους, Ἰδουμαίους
καὶ Σαμαρείτας; ἐκεῖ ὁ Πιλάτος, καὶ ὁ Ἡρώδης, κα-
ταλλαγὴν τῆς πρὸς ἀλλήλους ἔχθρας ποιοῦνται, τὸ εἰς
ἀναίρεσιν ἀλλήλοις ἀντιδωρεῖσθαι τὸν Χριστόν· ὧδε Ἄννας
καὶ Καϊάφας, Ἱερεῖς καὶ Γραμματεῖς, πολλοὺς πρὸς τὸν
Πιλάτον ποιοῦνται λόγους περὶ τοῦ τίτλου, μὴ γράφε λέ-
„ γοντες „ οὗτος ἐστὶν ὁ Βασιλεὺς τῶν Ἰουδαίων, ἀλλ' ὅτι
„ ἐκεῖνος εἶπε Βασιλεὺς εἰμὶ ἐγὼ τῶν Ἰουδαίων· ὅρα μοι καὶ
τὸν προδότην Ἰούδαν μετανοοῦντα κακῶς, καὶ ἐπ' ὀλέθρῳ
„ τῆς ἰδίας ψυχῆς, καὶ λέγοντα τοῖς Ἀρχιερεῦσιν „ ἥμαρ-
„ τον παραδοὺς αἷμα ἀθῷον, καὶ ῥίπτοντα ἐν τῷ ναῷ τὰ
„ ἀργύρια, εἶτα ἀπελθόντα καὶ χρώμενον ἀγχόνῃ, καὶ
νεκρὸν ἤδη ἐκ τῆς μυρίκης τοῦ δένδρου κρεμάμενον· βλέ-
πεις ἐλεεινότατον θέαμα, καὶ θρήνων ἀπαύστων ἄξιον;
ὁρᾷς ἐκεῖσε τὸν Πέτρον ἐπτοημένον ἑστῶτα, καὶ κρύπτον-
τα ἑαυτὸν ὅσον οἷόν τε, καὶ δεδοικότα μὴ φωραθῇ πάλιν
εἶναι τοῦ Κυρίου μαθητής; θέασαί μοι καὶ τοὺς λοιποὺς κε-
κρυμμένους τῶν μαθητῶν περὶ τοῦτον, καὶ τὰς θύρας
ἀσφαλῶς κεκλεισμένας διὰ τὸν φόβον τῶν Ἰουδαίων·

ἄκουε

ἄκουε ὧδε καὶ τῆς Μαγδαληνῆς ἐλεγχούσης αὐτούς, τί ἐγκατελίπατε μόνον τὸν διδάσκαλον Χριστὸν, καὶ οὔτε ὡς φίλῳ συνεπαθήσατε, οὔτε ὡς διδασκάλου ἀπεμνημονεύσατε; κἂν ἡ συμπάθεια τοῦ θανάτου πῶς οὐ συνήγαγεν ἡμᾶς; ἰδὲ ὁ χιλίαρχος, καὶ οἱ ἑκατοντάρχαι, ἐκεῖ παρίστανται ἔνοπλοι μετὰ τῶν ὑπ᾽ αὐτοὺς στρατιωτῶν παρὰ τῷ Σταυρῷ, πάντα χαριζόμενοι τοῖς Ἰουδαίοις, καὶ χολὴν μιγνύντες τῇ σμύρνῃ καὶ τῷ ὄξει, καὶ ῥήματα ὕβρεως ἐχόμενα λαλοῦντες κατ᾽ αὐτοῦ· ἰδὲ καὶ τέσσαρες τῶν στρατιωτῶν μερίζονται τὰ ἱμάτια, καὶ βάλλουσι κλήρους ἐπὶ τὸν χιτῶνα τὸν ἄνωθεν ὑφαντόν· ἄκουσον καὶ τῶν παραπορευομένων τὰς βλασφημίας· „ οὐὰ, ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτὸν, καὶ κατάβηθι ἀπὸ τοῦ Σταυροῦ· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ οὗτος ἐστὶν ὁ τοῦ Θεοῦ ἐκλεκτός· εἶπε γὰρ ὅτι Θεοῦ εἰμὶ Υἱός· πέποιθεν ἐπὶ τὸν Θεὸν, ῥυσάσθω νῦν αὐτὸν, εἰ θέλει αὐτόν· σὺν αὐτοῖς καὶ οἱ λῃσταὶ ὀνειδίζοντες λέγουσιν, εἰ σὺ εἶ ὁ Χριστὸς, σῶσον σεαυτὸν καὶ ἡμᾶς.

Ἀλλὰ τῶν πραγμάτων οὕτω γινομένων καθὼς ὁρᾶτε νοητῶς, καὶ ἀκούετε, ἀθρόον, καὶ παρὰ πᾶσαν ἐλπίδα, αἰφνίδιος σεισμὸς γίνεται μέγας ἐπὶ πᾶσαν τὴν γῆν, καὶ προσέχετε· ὢ φεῖσαι Κύριε Κύριε! ὁρᾶτε; ἐσκοτίσθη ὁ ἥλιος, αἱ πέτραι ῥήγνυνται βίᾳ· βαβαί! ἐσχίσθη τὸ τοῦ Ναοῦ καταπέτασμα· φεῦ! ἀνοίγονται αὐτομάτως οἱ τάφοι, καὶ σώματα τῶν κεκοιμημένων ἐγείρονται· ἰδὲ φεύγουσιν ἀπὸ τοῦ φόβου οἱ Ἰουδαῖοι· ὁ σεισμὸς, καὶ τὸ σκότος, καὶ τῶν πετρῶν ῥηγνυμένων οἱ ψόφοι διώκουσι πάντας ἐντεῦθεν· ὁ Κεντυρίων ὑπελείφθη μετ᾽ ὀλίγων στρατιωτῶν, κἀκεῖνος τῷ δέει ληφθεὶς, σὺν δυσὶ στρατιώταις πιστεύει, καὶ εἰ ἀκούεις, φησὶ μετὰ φρίκης, ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος! ἤδη σὺν αὐτῷ καὶ ὁ εἷς λῃστὴς μετεβάλετο, καὶ κράζει μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου· ἀνεχώρησαν οἱ λοιποὶ θεωροί· πάντες οἱ παραγενόμενοι ἐπὶ τὴν θεωρίαν ταύτην ὑπέστρεψαν τύπτοντες

ἑαυτῶν τὰ στήθη, καὶ τρέμοντες μὴ καταποθῶσιν ὑπὸ τῆς γῆς· εὗρε χώραν ἡ Θεοτόκος, μετὰ ἑνὸς μαθητοῦ, καὶ δυσὶ μαθητρίαις, καὶ παρέστηκε τῷ Σταυρῷ καὶ θρηνεῖ.

Ἄγε δὴ πλησιάσωμεν καὶ ἡμεῖς ἐκεῖ, καὶ συνθρηνήσωμεν ταύτῃ· ἔστι γὰρ ἄτοπον καὶ ἀλογίας ἐγγὺς, ἵνα τὰ μὲν ἀναίσθητα τῶν στοιχείων ἐπὶ τοῖς γινομένοις ἀγανακτῇ καὶ συμπάσχῃ, ὅσον ἐφ' ἑαυτὰ τῷ Χριστῷ, καὶ πᾶσαν τὴν κτίσιν συναλγεῖν τῇ τοῦ παντὸς Κυρίᾳ, ἡμᾶς δὲ τοὺς νοῦν κεκτημένους καὶ λόγον, ὥσπερ ἀναισθήτως διακεῖσθαι πρὸς τὰ γινόμενα· ταύτης τῆς ὥρας ἀεὶ μεμνημένος ὁ θειότατος Παῦλος μετὰ δακρύων θερμῶν, τῇ οἰκουμένῃ τὸ Εὐαγγέλιον ἀνεκύρυττε· διὸ καὶ γράφει τισὶ,
„ τριετίαν ὅλην οὐκ ἐπαυσάμην νύκτα καὶ ἡμέραν μετὰ
„ δακρύων, νουθετῶν ἕνα ἕκαστον ὑμῶν· εἰ δ' ἐν μιᾷ πόλει τοσαῦτα ἐκένωσε δάκρυα, ἐννόησον πόσας τούτων ἀφῆκε λειβάδας, τὴν οἰκουμένην περινοστῶν; ταύτην τὴν φρικώδη παράστασιν πρὸ ὀφθαλμῶν οἱ Πατέρες τιθέμενοι παρὰ πάντα τὸν βίον ἐθρήνουν, καὶ τοὺς μακροὺς ἐκείνους τῆς ἀσκήσεως πόνους διήνυσαν ἀνδρικώτατα· διὸ καὶ ἐρωτώμενος ἕκαστος, τί κλαίεις Πάτερ; ἔλεγεν ἀληθεύων, νοῦς ὁ ἐμὸς ἐκεῖ ἦν, ὅπου ἡ Θεοτόκος παρίστατο κλαίουσα ἐπὶ Σταυροῦ· ὃ τοίνυν ἐκείνοις, καὶ πᾶσιν ἁγίοις διὰ βίου ἦν συνεχῶς, καὶ ταῦτα οὖσιν ἁγίοις, τοῦθ' ἡμῖν γενέσθω, κἂν ἅπαξ τοῦ τῆς ζωῆς ἡμῶν ὅλου χρόνου, καὶ θρηνήσωμεν, ὅτι τοσαῦτα δι' ἡμᾶς παθεῖν κατὰ τὸ ἀνθρώπινον, τὸν ἀναμάρτητον ἠναγκάσαμεν· εἶτα βασιλέως μὲν ὑπὲρ τῆς τῶν ὑπηκόων αὐτῷ ζωῆς ἐν πολέμῳ τρωθέντος εἰς θάνατον, καὶ ἐσφαγμένου προκειμένου τῇ ἰδίᾳ Μητρὶ, φρικτὸν ἡγούμεθα θέαμα, καὶ ταύτης αὐτὸν ἀνακαλουμένης καὶ γοερὸν θρηνούσης καὶ μέγα, οὐκ ἔστιν ὃς μὴ συγγνάσῃ, καὶ μὴ στενάξῃ ἐκ βάθους, καὶ πικρὸν ἀποκλαύσεται· οὐκ ἀρχων, οὐ στρατιώτης, οὐ δοῦλος τῶν ὑπηκόων αὐτῷ· τοῦ δὲ βασιλέως τῶν ὅλων ὑπὲρ σωτηρίας τοῦ κόσμου ἐπὶ Σταυροῦ κρεμαμένου γυμνοῦ, καὶ καθημαγμένου,

μόνε, τὶς ἔτως ἠλίθιος, καὶ ἀχάριςος, καὶ ἀγνώμων, ὡς μὴ καὶ αὐτὸς τὴν καρδίαν λύπης βέλει τρωθῆναι, καὶ συναλγῆσαι θρηνέσῃ τῇ τέτε Μητρί; ὡς ἂν ἔν μὴ ἐγκληθῶμεν ἀναλγησίαν πρὸς φρικτὸν ἔτω πάθος Δεσπότε, καὶ ταῦτα δι' ἡμᾶς ὑπομένοντος πάντα, καὶ δι' ἐδὲν ἕτερον, ἐνωτισθῶμεν τῶν ςεναγμῶν καὶ τῶν θρήνων τῆς Θεοτόκε, καὶ ςενάξωμεν καὶ ἡμεῖς ἐκ μέσης ψυχῆς καὶ καρδίας, καὶ συνθρηνήσωμεν ταύτῃ, ὅτι κἀκείνη ἐκ μέσης καρδίας ἐκ βάθες, ὠλόλυξε μέγα, καὶ ἔςενε πικρῶς, καὶ ἐδάκρυεν.

Ἀκέεις; οἴμοι τέκνον, λέγει, μονογενές! οἴμοι γλυκύτατε Υἱέ! οἴμοι παμφίλτατε Ἰησῦ, ἀναψυχὴ τῆς ψυχῆς με, τὸ ἀγαλλίαμα τῆς καρδίας με, ὁ φωτισμός με, ὁ γλυκασμὸς, γλώττης ἐντρύφημα τῆς ἐμῆς, γλυκὺ χειλέων με μελέτημα, καὶ ἥδυσμα καὶ δρόσος τῆς ἐμῆς διανοίας καὶ ἡ παράκλησις! Ἰησῦ με Υἱέ με, τὸ κόσμε σωτήριον, κἀμοὶ ποθεινότατον ὄνομα! ποίοις ἐνατενίσω σοι ὄμμασιν ἐπὶ Σταυρῦ κρεμαμένῳ γυμνῷ; πῶς σε κατίδω καθημαγμένον; πῶς σε τὲς μώλωπας ὄψομαι, καὶ τὰς διατρήσεις ἃς φέρεις ἐν χερσὶ καὶ ποσίν; ἐ φέρω τὸ πρόσωπον ἀνατείνειν καὶ ἔτω πάσχοντά σε ὁρᾶν· πῶς ὑπομένεις τὰς ἐκ τῶν ἥλων ὀδύνας Υἱέ με; πῶς τὰς ὕβρεις, καὶ τὰ ὀνείδη τῶν ἀχαρίςων φέρεις Λόγε Θεῦ; πῶς ἐκαρτέρησας τὰς μαςιγώσεις τῦ σώματος; τὰ ῥαπίσματα, τὰ ἐμπλύσματα, τὲς ἐμπαιγμὲς, τὲς κολαφισμὲς, τὴν τῆς χολῆς πικρίαν, τὴν τῦ ὄξες δριμύτητα, τῆς σμύρνης τὸ ἀηδές; ὢ παράδοξον θέαμα! ὢ καινότατον ἄκεσμα! ὢ φρικῶδες μυςήριον! Σταυρὸς καὶ θάνατος καὶ σφαγὴ ἐπὶ τὸν ἁμαρτίας ἀνώτερον! ἐξέςη ὁ ἐρανὸς ἐπὶ τέτῳ· ὁ ἥλιος ἔφριξε· τὰ ὄρη ἐτρόμαξε πάντα· ἐσείσθη τὰ καταχθόνια φόβῳ, καὶ τῶν Ἰεδαίων ὁ φθόνος ἐκ ἔσβεςαι· ἄκεε ἐρανὲ, καὶ ἅπας ὁ τῶν Ἀγγέλων κύκλος, καὶ εἴτι ἄλλο ὑπέρτερον τέτων κτίσμα, ὅτι ὁ βασιλεὺς τῆς δόξης λειποθυμεῖ κρεμάμενος γυμνὸς ἐπὶ Σταυρῦ! τὰ σπλάγχνα τιτρώσκομαι·

σκομαι· σπαράττομαι τὴν ψυχήν· ῥομφαία διῆλθέ μου τὴν καρδίαν, ἣν μοι προεῖπεν ὁ Συμεών· δονοῦμαι ὅλω τῷ πάθει, διαῤῥήσσομαι, καὶ ἀλγῶ καὶ ὀδυνῶμαι σφοδρῶς· ταῦτα ἐςὶ τὰ πάθη γλυκύτατε, τὰ διὰ Προφητῶν ῥηθέντα περὶ σὲ, ἅμοι ποτὲ καὶ καθ' ὕπνους ὁ Ἀρχάγγελος ὑπέδειξε Γαβριήλ· πῶς μὴ μέγα θρηνήσω, καὶ τὸ ςῆθός μου τύψω, λειποψυχοῦντα σε βλέπουσα ἐσαυρωμένον καὶ γυμνόν; αἱ πέτραι μετ' ἤχου ἐῤῥάγησαν· τὸ τοῦ ναοῦ καταπέτασμα ἐχίσαι· ἡ γῆ ὅλη ἐσείσθη· πᾶσα ἡ κτίσις ἐπὶ τῷ σῷ πενθεῖ πάθει· πῶς οὖν πενθήσω κἀγώ; πῶς μὴ θρηνήσω καὶ ςενάξω καὶ κόψωμαι, Μήτηρ ἄνανδρος οὖσα, ἐπὶ Υἱῷ μονογενεῖ; ἀπόκριναί μοι παμφίλτατε· ἀκούσαιμι φωνῆς σου τῆς γλυκερᾶς· ἄπολις εἰμὶ, ξένη, πτωχὴ, καὶ ἀνέςιος· ἀπάτωρ, ἀμήτωρ, καὶ ἄτεκνος ἰδού· οὐκ ἔχω ποῦ τὴν κεφαλὴν κλίναι· οὐδένα ἔχω τὸν προςησόμενον· σὲ μόνον εἶχον καὶ δεσπότην, καὶ κηδεμόνα, καὶ φίλτατον Υἱόν· ἡ ζωή μου, τὸ φῶς μου, ἡ χαρὰ, ἡ ἀγάπη, ἡ ἐλπίς μου, ἡ καταφυγὴ, καὶ πάντα μοι σύ· καὶ ἴδε δύεις ἐξ ὀφθαλμῶν μου· τίνι με καταλείπεις λοιπόν; ἀπάρτι πῆ τράπωμαι; πῆ καταφύγω; πῆ πορευθῶ; ἄνοιξόν σου τὰ πάναγνα χείλη, καὶ δός μοι λόγον τὸν τελευταῖον, Υἱὲ Χριςέ μου καὶ Θεέ.

Τοιαῦτα καὶ τούτων ἐχόμενα μετ' ὀδυρμῶν καὶ κωκυτῶν καὶ δακρύων, τῆς Κυρίας τοῦ κόσμου λεγούσης, ὁ Κύριος ἄνωθεν τὸ φοβερὸν ὄμμα πρὸς αὐτὴν ἐπιςρέψας, καὶ οἷον δακτύλῳ τῷ νεύματι, τὸν ἠγαπημένον αὐτῷ μαθητὴν ἐπιδείξας, ἱλαρᾷ καὶ πραείᾳ τῇ φωνῇ, φησὶ πρὸς αὐτὴν, Γύναι ἴδε ὁ Υἱός σου· μὴ ἐποδύρου με Μῆτερ, ἐπεὶ οὕτω δεῖ πληρωθῆναί μου τὴν οἰκονομίαν· πλὴν Υἱὸν θέλεις ἔχειν, ἀντ' ἐμοῦ συλλήπτορα καὶ προνοητὴν βίου; κέκτησο τοῦτον λοιπόν· εἶτα λέγει τῷ μαθητῇ, ἰδοὺ ἡ Μήτηρ σου. Ἀλλὰ προέφθασε τὴν ἀκολουθίαν καὶ τῶν πραγμάτων, καὶ τῶν Εὐαγγελικῶν κηρυγμάτων, ἡ ποταμηδὸν παρ' ἡμῶν φερομένη αὕτη τοῦ λόγου φορὰ, διὸ χρὴ ἄνωθεν ἀρξαμένους, ὡς ἡ περικοπὴ αὕτη ἐκτίθεται, κατὰ

τὰ τάξιν ἐπὶ τὰ πρόσω χωρεῖν· καὶ καθάπερ τὸν τόπον, τὰ πρόσωπα, καὶ τὰ πράγματα τὰ ἐκεῖ ἔγνωμεν διὰ τῶν ῥηθέντων, οὕτω καὶ διὰ τῶν ῥηθησομένων ἄρτι τῶν προτεθέντων Εὐαγγελικῶν ῥημάτων ἐπιγνῶμεν τὸν νοῦν· προσέχετε δὲ νουνεχῶς, καὶ μὴ ἀποκάμητε πρὸς τὸ μῆκος τοῦ λόγου, τοῦτο, εἰ μήτι ἄλλο κρίναντες παρ' ὑμῖν, ὡς ἐστιν ἄτοπον πάντῃ, ἀνωφελοῦς μὲν ὁμιλίας, καὶ μέχρι τριῶν ὡρῶν διαστήματος παρεκτεινομένης, πολλάκις ἀκούοντας μὴ καταναρκᾶν· πνευματικοῦ δὲ λόγου, νῦν πρῶτον ἀκουομένου, ἀπαγορεύειν εὐθὺς, δέον χαρίσασθαι τῇ ψυχωφελεῖ ἀκροάσει τοσοῦτον γοῦν χρόνον, κἂν ἅπαξ τοῦ χρόνου, ὅσον τῇ ἐρεσχελίᾳ καθ' ἑκάστην παρέχομεν· πλὴν ἐπὶ τὴν νύσσαν τοῦ λόγου ἰτέον.

„Τῷ καιρῷ ἐκείνῳ εἱστήκεισαν παρὰ τῷ Σταυρῷ τοῦ "
Ἰησοῦ, ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ, "
Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ὀψέποτε καὶ μόλις καθάπερ πῶλον τινὰ δυσπειθῆ καὶ δυσήνιον, τῆς εὐθείας παρατραπέντα, καὶ πολλοῖς κύκλοις ἐκ πλαγίου περισκιρτήσαντα, πάλιν εἰς τὴν εὐθεῖαν τοῦτον ἠγάγομεν· ἄρα οὐ μάτην ἔλεγον, ὅτι οὐ διαστήμασιν ἀποκάμνει ὁ ἀνθρώπινος νοῦς, οὐ τόποις διείργεται τοῦ μὴ πρόσω χωρεῖν, οὐδενὶ τῶν ὅσα σώματα κωλύει δρᾶν ὅσα βούλεται· καὶ ὅτι καθάπερ φλὲψ ὕδατος τῆς ἀβύσσου ἐχομένη ἐστὶν ἀνεξάντλητος, οὕτως Εὐαγγελικὴ ῥῆσις ἐχομένη τῆς ἀπείρου σοφίας, κἂν ὅσα φιλοτιμήσηταί τις ἐπεξεργάσασθαι ταύτην, ἢ ἑρμηνεῦσαι, ἢ διηγήσασθαι, αὖθις μένει ἀνεκδιήγητος. „Τῷ καιρῷ "
ἐκείνῳ· ποῖον ἡμῖν ἐνταῦθα καιρὸν ἐπισημαίνεται ἀκριβέ- "
στατα ὁ θεῖος οὗτος Εὐαγγελιστής; τὴν ἐννάτην ὥραν, "
τῆς ἀληθῶς μεγάλης Παρασκευῆς· πόθεν δῆλον; ἐξ ὧν ἐξέθετο, διηγησάμενος πάντα, τὰ μέχρι ταύτης τῆς ὥρας τοῦ Σωτῆρος παθήματα· καὶ ἐξ αὐτῶν δὲ τῶν πραγμάτων γίνεται τοῦτο φανερόν· οὐ γὰρ ἂν ἐτόλμησαν τρεῖς ἐκεῖ πλησιάσαι γυναῖκες, πλήθους παρόντος ἀτάκτου, καὶ μαινομένου δήμου τοσούτου, αἰδοῖ καὶ δέει

ἐχόμε-

ἐχόμεναι, εἰ μὴ τὰ γεγονότα προλαβόντα σημεῖα πάντας ἐκεῖθεν ἀπήλασεν, ὅπερ καὶ ἔφθην εἰπών. Ἀδελφὴ δὲ τῆς Μητρὸς τοῦ Κυρίου Μαρία ἡ τοῦ Κλωπᾶ, οὐχ ὅτι Ἄννα ἡ θεομήτωρ, ἢ πρὸ αὐτῆς ἄλλητις, ἢ μετ' αὐτὴν, ταύτην ἔτεκε τῷ Ἰωακείμ· ἄπαγε! μόνη γὰρ καὶ πρωτότοκος, καὶ μονογενὴς ταύτης θυγάτηρ ὑπῆρξεν ἡ ἀειπάρθενος, ἡ Μήτηρ τοῦ πρωτοτόκου πάσης τῆς κτίσεως, καὶ πρωτοτόκου ταύτης Υἱοῦ, καὶ πρωτοτόκου καὶ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· ἀλλ' ὅτι ταύτην ὁ θεῖος Ἰωακεὶμ, κατὰ τὸν τηνικαῦτα παρ' Ἑβραίοις κρατοῦντα νόμον, ἰδίῳ ἀδελφῷ ἄπαιδι τεθνηκότι ἐγέννησε τῷ Κλωπᾷ· ἐκαλεῖτο οὖν ἁπλῶς ἀδελφὴ ταύτης, ἀντὶ τοῦ συγγενὴς, καὶ διὰ τὴν ῥηθεῖσαν πρὸς αὐτὴν νομικὴν οἰκειότητα, καὶ ὅτι τὰς ἐξαδέλφας, ἀδελφὰς δευτέρας ἡ φύσις οἶδε· καὶ ὡς ἐκ τῶν αὐτῶν σπερμάτων φυεῖσα, καὶ διὰ τὴν ἐπικρατοῦσαν εἰσέτι συνήθειαν, καθ' ἣν ἀδελφοὺς εἰώθαμεν λέγειν, οὐ μόνον τοὺς ἐκ μιᾶς ἡμῖν προελθόντας γαστρὸς, ἀλλὰ καὶ τοὺς πόῤῥωθεν συγγενεῖς καὶ συνοίκους, ἢ καὶ φιλοστόργως πρὸς ἡμᾶς ἄλλως ἔχοντας, ἢ κατάτι τῶν ἐν βίῳ κοινωνοῦντας ἡμῖν.

Τὶς δὲ ἐστὶν ὁ μαθητὴς ὃν ἠγάπα ὁ Ἰησοῦς; αὐτὸς ὁ ταῦτα γράψας· καὶ τίνος ἕνεκεν ἑαυτὸν οὐ λέγει; ὅτε μὲν γὰρ ἐπὶ τὸ στῆθος ἀνέπεσε τοῦ Ἰησοῦ, καὶ ὅτε τὸ αἷμα καὶ τὸ ὕδωρ ἐξελθόντα ἑώρακεν ἐκ τῆς πλευρᾶς τοῦ Κυρίου, μετριοφρονῶν εἰκότως ἑαυτὸν ἐπικρύπτει· νῦν δὲ τίνος ἕνεκε τοῦτο ποιεῖ; τῆς αὐτῆς ἕνεκεν αἰτίας· ἵνα μὴ δόξῃ μεγαλαυχεῖν· καὶ γὰρ κἀνταῦθα μέγα κατόρθωμα διηγεῖται, ὅτι πάντων φυγόντων διὰ τὸν φόβον τῶν Ἰουδαίων, αὐτὸς ἐκ τῶν μαθητῶν παρειστήκει μόνος, καὶ μέγα χάρισμα λαβὼν ὑπὸ τοῦ διδασκάλου ὁμολογεῖ, τὸ τὴν τοῦ κόσμου Κυρίαν αὐτῷ κληρωθῆναι Μητέρα· διάτοι τοῦτο καὶ κρύπτει ἑαυτὸν, καὶ προτίθησιν ἑαυτοῦ, μὴ μόνον τὴν ἀδελφὴν τῆς Μητρὸς τοῦ Κυρίου, ἀλλὰ καὶ τὴν ἐκείνου μαθήτριαν τὴν Μαγδαληνήν· καὶ ἀντὶ τοῦ ἐκθεῖναι, εἱστήκεισαν παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ

Μήτηρ

Μήτηρ αὐτοῦ, κἀγὼ Ἰωάννης ὁ ἠγαπημένος αὐτῷ μαθητὴς, καὶ ἡ ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ· τοῦτο γὰρ ὁ τῆς ἀκολουθίας ἀπῄτει λόγος· ὁ δὲ ἄλλως ἐκτίθησι, καὶ τὰς μαθητρίας ἑαυτοῦ προτιμᾷ· εἶδες Εὐαγγελιστοῦ μετριοφροσύνην; τῷόντι ὅσον πλησιάζουσιν οἱ ἅγιοι τῷ Θεῷ, τοσοῦτον πλέον προσκτῶνται ταπείνωσιν, καὶ ἑαυτοὺς ἡγοῦνται γῆν καὶ σποδὸν καὶ οὐθένειαν· εἰ γὰρ μὴ ταύτην οὗτος ἐπλούτει, οὐκ ἂν ἑαυτὸν ὕστερον δοῦλον ἀνέγραψε τῆς Ῥωμάνης· οὐκ ἂν ῥαπισθεὶς παρ' αὐτῆς ἐπὶ κόῤῥης, καὶ ἀκούσας Ῥωμάνῃ δουλεύεις τῇ μέχρι Ῥώμης περιβοήτῳ, ὁ δὲ αὐτῇ καὶ τὴν ἄλλην ἑτοίμως ἐπέστρεψε· ταῦτα δὲ γράφει καὶ διὰ τοῦ ἑαυτοῦ τρόπου διδάσκων ἡμᾶς, ὅταν περὶ πλεονεκτήματος φυσικοῦ, ἢ χαρίσματος παρὰ Θεοῦ δωρηθέντος ἡμῖν διηγώμεθα πρός τινας, ἢ μηδαμῶς ἐν τούτῳ καυχᾶσθαι, ἢ ξενοπροσώπως αὐτὸ παρεισάγειν, καὶ ὡς ἂν περὶ χαρίσματος ἑτέρῳ προσόντος, αὐτὸ διηγούμενοι.

Τὸ μὲν οὖν αὐτὸν τὸ οἰκεῖον ὄνομα κρύπτειν, καὶ ξενοπροσώπως ἑαυτὸν παρεισάγειν, τὸ μέτριον ἦν· τὸ δὲ θαυμαστὸν, καὶ τόλμης γέμον ἀπείρου, ἐκεῖνο ἦν τὸ τῶν γυναικῶν· ὅτι πάντων ὑπεριδοῦσαι, καὶ καταφρονήσασαι τῶν ὠμοτάτων ἐκείνων καὶ ἀναισχύντων στρατιωτῶν, καὶ οὐδὲ εἰς νοῦν βαλλόμεναι τὴν τῶν Ἰουδαίων θρασύτητα καὶ ἀπιστίαν, ἐτόλμησαν πλησιάσαι τῷ τοῦ Κυρίου Σταυρῷ, καὶ τούτων οὐχ ἥκιστα ἡ Μαγδαληνή· ἡ μὲν γὰρ τοῦ Κλωπᾶ, ἐκ τῆς συγγενείας ἔχουσα τὸ δικαίωμα, καὶ τῷ πρὸς τὴν ἀδελφὴν φίλτρῳ σπαραττομένη τὰ σπλάγχνα, εἰκότως· αὕτη δὲ πόθεν; ἀλλ' ἢ ἐξ ἀπείρου εὐγνωμοσύνης, ἧς εἶχε πρὸς τὸν διδάσκαλον. Αὕτη ἐκ τῶν ὁρίων ὑπάρχουσα Μαγδαλῶν, ἀφ' ὧν ἔχει καὶ τὸ ἐπώνυμον, καὶ δαιμόνων ἑπτὰ γενομένη δοχεῖον, καὶ τούτων ἀπαλλαγεῖσα παρ' αὐτοῦ τοῦ Κυρίου, οὐκ ἀχάριστος ὤφθη περὶ τὸν εὐεργέτην ἡ μακαρῖτις, ἀλλὰ καὶ ζῶντι τούτῳ παρείπετο εὐγνωμόνως διακονοῦσα, καὶ ἐκ τῶν ἑαυτῆς ὑπαρχόντων τὰ πρὸς χρείαν ὡς οἷον παρεχομένη, καὶ

ἐπὶ

ἐπὶ Σταυροῦ ἑλκομένῳ κοπτομένη πικρῶς ἠκολούθησε, καὶ σταυρωθέντι παρίσταται, καὶ περιπλέκεται τὸν Σταυρὸν, καὶ τὰ ἴχνη καταφιλεῖ, καὶ περιῤῥαινομένη τῷ αἵματι τοῦ Δεσπότου λυσίκομος, ἀνακαλεῖται καὶ ποτνιᾶται καὶ προσκυνεῖ καὶ στενάζει καὶ κλαίει, καὶ πηγὰς δακρύων ἀφίησιν. Αὕτη καὶ μετὰ τὴν τοῦ Κυρίου ἀνάληψιν εἰς Ῥώμην, καὶ Ἔφεσον, καὶ πολὺ μέρος τῆς γῆς τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον ἀνεκήρυξεν· ἀλλ᾽ ἐπανιτέον πρὸς τὴν ἐξήγησιν.

„ Ἰησοῦς οὖν ἰδὼν τὴν Μητέρα, καὶ τὸν μαθητὴν ὃν „ ἠγάπα, λέγει τῇ Μητρὶ αὐτοῦ, γύναι ἴδε ὁ Υἱός σου· „ εἶτα λέγει τῷ μαθητῇ, ἰδοὺ ἡ Μήτηρ σου· καὶ ἀπ᾽ ἐκεί- „ νης τῆς ὥρας, ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια· τὴν περιπόθητον αὐτοῦ Μητέρα, τῷ ἠγαπημένῳ μαθητῇ παρατίθεται, παιδεύων καὶ ἡμᾶς μέχρι τελευταίας ἀναπνοῆς πᾶσαν ποιεῖσθαι πρόνοιαν τῶν γεγεννηκότων, ἀνθ᾽ ὧν ἡμᾶς μὴ μόνον ἐγέννησαν, ἀλλὰ καὶ ἀνέθρεψαν· καὶ ἀνθ᾽ ὧν ὑπὲρ ἡμῶν μυρία πεπόνθασι, καὶ ἀνθ᾽ ὧν πολὺν ἡμῖν δεδουλεύκασι χρόνον· νῦν δὲ μὴ μόνον τοὺς γονεῖς, ἀλλὰ καὶ τοὺς λοιποὺς ἡμῶν συγγενεῖς πτωχοὺς ὄντας ἀποστρεφόμεθα λέγοντες, ὅτι ἡ εἰς τὸν συγγενῆ ἐλεημοσύνη μισθὸν οὐκ ἔχει, καὶ προφασιζόμενοι προφάσεις ἐν ἁμαρτίαις· οὓς ἐπιστομίζει ἔνθεν μὲν ὁ Προφήτης Ἡσαΐας λέ- „ γων „ ἐὰν ἴδῃς γυμνὸν περίβαλλε, καὶ ἀπὸ τῶν οἰκείων „ τοῦ σπέρματός σου οὐχ ὑπερόψει· ἔνθεν δὲ ὁ Ἀπόστολος „ Παῦλος γράφων, εἰ δέ τις τῶν ἰδίων οὐ προνοεῖται, καὶ „ μάλιστα τῶν οἰκείων, οὗτος τὴν πίστιν ἤρνηται, καὶ ἔστιν „ ἀπίστου χείρων· ὅταν μὲν γὰρ εἰς θεοσέβειαν ἡμῖν ἐμπόδιον γίνωνται, τηνικαῦτα χρὴ μακρύνεσθαι ἀπ᾽ αὐτῶν, καὶ μὴ τοῖς θελήμασιν αὐτῶν ἐξυπηρετεῖν· ἡνίκα δὲ ταὐτὰ φρονῶσιν ἡμῖν, καὶ συνεργῶσιν εἰς ἀγαθὸν, πολλὴν πρὸς αὐτοὺς καὶ τὴν ὑποταγὴν ἐπιδείκνυσθαι, καὶ τὴν πρόνοιαν. Ταῦτα τοίνυν ἀμφότερα διδάσκων ὁ φύσει διδάσκαλος, ὅτε μὲν ἀκαίρως ἠνώχλει φησὶ πρὸς αὐ- „ τὴν „ τί ἐμοὶ καὶ σοὶ γύναι; καὶ πάλιν, τίς ἐστιν ἡ

„ Μήτηρ

Μήτηρ μου, καὶ οἱ ἀδελφοί μου; „ καὶ αὖθις, οὐκ οἴδατε "
ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με; ὅτε δὲ μηδὲν ἐνεπόδιζε, πολλὴν αὐτῆς ἐποιεῖτο κηδεμονίαν· ἦν γὰρ ὑποτασσόμενος τοῖς γονεῦσιν αὐτοῦ, ὁ θεσπέσιος λέγει Λουκᾶς, κἀνταῦθα δὲ πολλὴν πρὸς αὐτὴν ἐπιδείκνυται τὴν φιλοστοργίαν, καὶ παρατίθεται ταύτην τῷ μαθητῇ, ὃν ἠγάπα τῶν ἄλλων πλέον· εἰώθαμεν γὰρ τὰ φίλτατα πάντα ὧν ἔχομεν ἀποδημοῦντες, ἐκείνοις αὐτὰ παρατίθεσθαι, οὓς πάντων τῶν ἄλλων φιλοῦμεν μᾶλλον· ὅθεν φησὶ πρὸς αὐτὴν, γύναι ἴδε ὁ Υἱός σου· καὶ ἐγχειρίζει ταύτην αὐτῷ, ἀδελφὸν μὲν ἑαυτοῦ τὸν Ἰωάννην ποιούμενος, κἀκείνην δ' αὐτῷ κατὰ χάριν Μητέρα. Ὢ παρακαταθήκης ἁγίας, καὶ θαυμασίας διαδοχῆς! ὢ κληρονομίας ἀρίστης, καὶ ἀδελφοποιΐας φρικτῆς! ὢ μακαρίας υἱοθεσίας, καὶ ζώνης ὄντως ἐπιτροπικῆς! καὶ τίνι γὰρ ἔπρεπεν ἄλλῳ πιστευθῆναι τὴν τοῦ λόγου Μητέρα, εἰ μὴ τῷ εὐλογημένῳ ἐκείνῳ καὶ μακαρίῳ ἀνδρί; ὅθεν ἀρίστως καὶ σὺν λόγῳ ἐπιστεύθη πρὸς τοῦ κυρίως παρθένου, ἡ ἀειπάρθενος τῷ παρθένῳ· τῷ καθαρῷ φίλῳ ἡ καθαρωτάτη· ἡ τοῦ Θεοῦ Λόγου τὸ κατὰ σάρκα χρηματίσασα Μήτηρ, τῷ κατὰ χάριν ταύτης Υἱῷ, καὶ θεολόγῳ μαθητῇ. Οἶμαι δὲ καὶ τὴν αἰτίαν δι' ἣν ἠγαπᾶτο τῶν ἄλλων μᾶλλον, τὸ προσὸν αὐτῷ εἶναι τῆς παρθενίας κάλλος· λέγεται γὰρ ταύτης τὸ χρῆμα, ἔν τε τῇ παλαιᾷ καὶ τῇ χάριτι, μόνος οὗτος τῶν ἄλλων ἁγίων ἐξαιρέτως, οὕτω πλουτῆσαι παρὰ Χριστοῦ, ὡς μηδ' ἐν ὀνείρῳ τοιοῦτον τίποτε, οἷον εἰκὸς ἄνθρωπον ὄντα, παθεῖν· καὶ οὕτω σπουδάζειν ἀμώμητον τοῦτο διὰ βίου τηρεῖν, ὡς μηδέποτε ἀναπεπτωκότα, ἢ καθήμενον, ἀλλὰ τῷ τυχόντι προσκλινόμενον τοίχῳ βραχύτατον ἀφυπνοῦν.

Οὐ παραμυθεῖται δὲ τὴν Μητέρα κλαίουσαν, καὶ τοὺς σὺν αὐτῇ ἱσταμένους ὁ Χριστὸς, οὐδὲ μακροὺς τοὺς τῆς παρακαταθήκης ποιεῖται λόγους, ὅτι ὁ καιρὸς οὐκ ἦν τῶν τοιούτων ῥημάτων· ἀγὼν γὰρ, καὶ τραύματα, καὶ ὠδῖνες, καὶ τελευτὴ ἐπιοῦσα μετὰ μικρόν. Καὶ ἄλλως δὲ το-

ταῦτα ἴσω τὰ τὴν Μητέρα λυπῦντα· ὥστε καὶ ἔτι παραμυθίας ἐφθέγξατο ῥῆμα, ἐ παρεμυθεῖτο τὸν θρῆνον αὐτῆς, ἀλλὰ μᾶλλον ἐξῆπτεν ἂν εἰς μέγα· διὸ καὶ ἐ Μῆτερ φησὶ, τὴν δυναμένην αὐτῆς καθικέσθαι ῥῆσιν, καὶ εἰς μείζονα θρῆνον ἐπᾶραι, ἀλλὰ γιωαι, τὸ καὶ κοινὸν ταῖς γυναιξὶ πάσαις ὄνομα, καὶ πᾶσιν ἔθιμον ἀνθρώποις, ταῖς ἑαυτῶν συγγενέσι γυναιξὶ προσφωνεῖν. Σὺ δέ μοι σκόπει, πῶς τοῖς ἥλοις ἐμπεπαρμένος, καὶ τῷ οἰκείῳ δι' ὅλε ςαζόμενος αἵματι, ἀςενακτὶ πράττει πάντα, καὶ ἀταράχως, καθάπερ ἄνετος ὢν, τῇ Μητρὶ διαλεγόμενος, τῷ μαθητῇ, τῷ λῃςῇ, τοῖς ςαυρώσασι· καὶ ὁ πρὸ τῦ Σταυρῦ ἱδρῶν, καὶ λυπέμενος, καὶ ἀδημονῶν, καὶ δεόμενος παρελθεῖν ἀπ' αὐτῦ τὸ ποτήριον, ἐνταῦθα καθάπερ ἄλλε πάχοντος, διακείμενος φαίνεται· καὶ ὁ δακρύσας ἐπὶ Λαζάρῳ, καὶ κλαύσας ἐπὶ τὴν Ἱερεσαλὴμ, τὴν Μητέρα βλέπων θρηνῦσαν, καὶ τῶν μαθητριῶν ἀκέων ὀδυρομένων, ἐ κατηνέχθη πρὸς δάκρυα· τῦτο δὲ πάντως ποιεῖ παιδεύων ἡμᾶς, μηδέποτε μὲν τοῖς κινδιώοις ὁμόσε χωρεῖν, μηδὲ πειρασμοῖς ἑαυτὲς ἐπιῤῥίπτειν ἁπλῶς, ἐπειδὰν δὲ εἰς τὸν ἀγῶνα ἐμβῶμεν, καρτερεῖν καρτερώτατα· ὃ δὴ καὶ πολλοὶ τῶν μαρτύρων μιμησάμενοι, οἱ πρὸ βραχέως δειλοὶ, ὅτω γενναίως τάςτε βασάνες, καὶ τὸν ὑπὲρ αὐτῦ ὑπέμειναν θάνατον, ὡς καὶ φαιδρότερον, καὶ χαριέςερον μᾶλλον φαίνεσθαι κατὰ τὸν καιρὸν τῆς ἀθλήσεως. Ἀλλὰ μή με μέμψησθέ με, μὴ κατ' εὐθὺ τῦ λόγε χωρῦντα, ἀλλ' ὧδε κἀκεῖσε ὡς περινοςῦντα· καὶ γάρ ἡμῶν ἐδὲν ἧττον κἀμοὶ τῦτο προθυμεμένῳ, καὶ πολλάκις ὁρμῶντι ποιεῖν, τὰ συγγενῆ τῦ λεγομένε νοήματα εὐθὺς ἀπαντῶντα, εἴργει τῦ πρόσω χωρεῖν, καὶ ἢ ἀπάγει ἐπὶ τὸ πλάγιον, ἢ περὶ αὐτὰ ἀχολεῖσθαί με πείθει· καὶ ταυτὰ πάχω οἷον ἂν εἴτις ἐν μυριάνδρῳ πληθυῖ διοδεύειν βελόμενος ἐλευθέρως μὴ δύναιτο, ἀλλὰ παρεκτρέπεται ὠςιζόμενος τῇ δὲ καὶ ἔνθεν ὑπὸ τῦ πλήθες, καὶ πρόεισι μὲν ὁπωσῦν, βιαίως δὲ, καὶ ἀπὸ σκοπῦ· καὶ τί λέγω πλήθες; ὅπε καὶ μία λέξις πολλάκις με καταχῦσα πασῶν

σῶν πρότίθησιν ἑαυτήν· προκαλινδεῖται τοῦ λόγου· τὰ ἐξ αὐτῆς γινόμενα νῦν, ὡς βελτίονα πάντων, προβάλλεται· ἐφέλκεται βίᾳ πρὸς ἑαυτήν· δυσωπεῖ· τὸ ἐμὸν, λέγει, τοῦτο προτίμησον· ἂν τοῦτο εἴπης, ἔχω καὶ κρείττονσοι παραχεῖν, μόνον περὶ ἐμὲ ἀχολοῦ· καὶ οὐ πρότερον παύεται τοῦτο ποιοῦσα, ἕως ἂν πείσῃ ἐν αὐτῇ καταλῆξαι τὸν προκείμενον λόγον λοιπόν· πλὴν εὐθὺ τοῦ τέλους μᾶλλον ἰέναι, καὶ ὅσον οἷόν τε θᾶττον, ἀπ' ἄρτι πειράσομαι.

Μετὰ ταῦτα εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσαι, ἤγουν ὅσα οἱ Προφῆται περὶ αὐτοῦ σημεῖα εἶπον γενήσεσθαι· ἐχρῆν γὰρ σημεῖα γενέσθαι τινὰ, ἐξαιρέτως ἐπ' αὐτῷ, ὥστε δῆλον γενέσθαι τοῖς πᾶσιν, ὅτι αὐτός ἐστιν ὁ προφητευόμενος, ἵνα ἡ Γραφὴ πληρωθῇ, λέγει διψῶ· ἐνταῦθα δείκνυσιν, ὅτι πάντα ἑκὼν ὑφίσατο, καὶ οὐδὲν ἄκων ὑπέμεινεν, οὐδ' αὐτὴν τὴν τελευτήν· ὃ καὶ ὁ Δαμασκόθεν πρὸς αὐτὸν μελῳδεῖ γράψας „φόβῳ σοι ὡς θεραπαινὶς ἡ τελευτὴ προσαχθεῖσα πρόσεισι τῷ Δεσπότῃ τῆς ζωῆς· καὶ πρὸ τοῦ ἐλθεῖν ἐπὶ τὸ πάθος, αὐτὸς εἴρηκεν, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· καὶ ὁ Εὐαγγελιστὴς οὗτος ἄλλοθι, Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα, λέγει, ἐπ' αὐτόν· εἰδὼς οὖν πάντα τὰ περὶ αὐτοῦ προῤῥηθέντα ἤδη πεπληρωμένα, ὡς ἂν καὶ τὸ ἐλλεῖπον αὐτοῖς πληρωθῇ, λέγει διψῶ. Ἐνταῦθα ἵνα μὴ ἀμφιβάλλωσι τινὲς, ἆρα ξηραινομένης τῆς σαρκὸς διὰ τῶν βασάνων, φυσικῶς αὐτῷ ἐπῆλθεν ἡ δίψα; ἢ οὐχὶ τοῦτο, ἀλλ' ἑκὼν ἐδίψησεν; ἢ τυχὸν καὶ τὸ συναμφότερον; προφθάνει λύων τὴν ἀπορίαν ὁ Εὐαγγελιστὴς, ὅτι τὸ δεύτερον ἦν· ἵνα γὰρ ἡ Γραφὴ πληρωθῇ, ἑκὼν ἐπεπόνθει καὶ τοῦτο· ἡμεῖς μὲν γὰρ ἄνθρωποι ὄντες μόνον, ὅταν μὴ θέλωμεν, καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ κοπιῶμεν, καὶ ἀγωνιῶμεν, καὶ πάσχομεν· ὁ δὲ Χριστὸς ἅτε μὴ μόνον ἄνθρωπος ὢν, ἀλλὰ καὶ Θεὸς, ὅτε μόνον ἐβούλετο, καὶ πεῖναν, καὶ δίψαν, καὶ κόπον, καὶ ἀγωνίαν, καὶ πάντα τὰ ἀδιάβλητα πάθη ὑπέμεινε.

„ „ Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν· καὶ τοῦτο τῆς τῶν Ἑβραίων κακουργίας ἐφεύρεμα· ὑπονοήσαντες γὰρ ὅτι ἐξ ὧν ὑπέμεινε πρὸ τοῦ Σταυροῦ μαστίγων τε καὶ μωλώπων καὶ σπαραγμῶν, καὶ ἐξ ὧν αὖθις καρτερήσει σταυρούμενος διψήσει πάντως ἄνθρωπος ὤν, ὑπεκρεύσαντος αὐτῷ τοῦ ζωτικοῦ αἵματος ἀπὸ τῶν πληγῶν, τὸ σκεῦος παρέθηκαν ἐκεῖ, ἵν᾽ ἔχωσιν ἐξ ἑτοίμου ποτίζειν, μᾶλλον δὲ φαρμάσσειν αὐτόν· Σὺ δέ μοι τὸ ἀπηνὲς καὶ ἀπάνθρωπον ἀνόησον τῶν στρατιωτῶν, ὅτι κἂν μυριάκις ᾖ τις ἡμῶν ἐχθρὸς δυσμενέστατος, βλέπωμεν δὲ αὐτὸν ἀναιρούμενον ἤδη, καὶ μᾶλλον ἀδίκῳ θανάτῳ, καμπτόμεθα τὰς ψυχὰς ὁπωσοῦν· οὗτοι δὲ, καίτοι ὄντες Ῥωμαῖοι, καὶ μηδὲν αὐτοῖς πταίσαντα, τοσαῦτα παθόντα, καὶ οὕτω πάσχοντα βλέποντες, μετὰ τοσαύτας ἐρεσχελίας, καὶ καταγέλωτας, καὶ μυκτηρισμοὺς, οὐδαμῶς γεγόνασιν ἡμερώτεροι, ἀλλὰ διψήσαντι τούτῳ, διπλῇ τὸ πάθος ἐπαύξουσιν, ἀντὶ ὕδατος ὄξος, καὶ ἀντὶ ποτηρίου σπόγγον αὐτῷ προσενέγκαντες. Καὶ οἱ μὲν ἄλλοι τῶν Εὐαγγελιστῶν καλάμῳ περιθεῖναι τὸν σπόγγον τοὺς στρατιώτας ἐξέδωκαν, οὗτος δὲ ὑσσώπῳ φησὶν, οὐ διαφωνῶν, ἀλλ᾽ ὅπερ ἔλιπον ἐκεῖνοι ἀναπληρῶν· ἐγεγόνει γὰρ καὶ ἄμφω· κἀκείνων πάλιν τοῦ μὲν χολὴν, τοῦ δὲ σμύρναν, τοῦ δὲ οἶνον ἐσμυρνισμένον λέγοντος, οὗτος ὄξος τίθησιν· οὐχ ἁπλῶς, ἀλλ᾽ ἐπεὶ πάντα πέπρακται ταῦτα· ἀταξίας γὰρ οὔσης, ὁ μὲν τοῦτο προσῆγεν, ὁ δὲ ἄλλο, καὶ ἄλλος ἕτερον, μιγνύντες καὶ τῷ ὄξει τὴν χολὴν, καὶ τῷ οἴνῳ τὴν σμύρναν, ὡς ἂν καὶ δριμὺ, καὶ πικρότατον ᾖ τὸ κρᾶμα, καὶ λυπῇ ἑκατέρωθεν· ἠκριβωμένως δὲ κεῖται καὶ τὸ ἐπότιζον αὐτόν· ἤτοι κατ᾽ εἰρωνείαν καὶ ἐμπαιγμὸν τὸν σπόγγον προστρίβοντες τῷ στόματι, καὶ βιαζόμενοι ἄκοντα πίνειν, ἐμπαροινοῦντες, καὶ παραπικραίνοντες αὐτόν. Ὕσσωπος δὲ ἐστὶ βοτάνη, δύναμιν ἔχουσα ῥυπτικὴν, ὡς ἐν ψαλμῷ λέγεται, ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· ὁμοία τῷ παρ᾽ ἡμῖν χρυσολαχάνῳ, ἧς τὸ ἔρνος μακρὸν ὂν, καὶ ξηρὸν, οἱ στρατιῶται ἐν τῷ κήπῳ εὑρόντες, ἀντὶ καλάμου ἐχρήσαντο.

Ὅτε

„Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς εἶπε, τετέλεσαι· καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα. Τὸ τετέλεσαι τοῦτο τετραχῶς νοηθῆναι χωρεῖ· ἤγουν πεπλήρωται καὶ αὕτη ἡ λέγουσα περὶ ἐμοῦ Προφητεία, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος· τετέλεσαι καὶ πάσης τῆς Ἰουδαϊκῆς παροινίας τῆς εἰς ἐμὲ ἡ ὑπερβολή· τετέλεσαι καὶ ἡ ἐμὴ κατὰ τὸ ἀνθρώπινον αὕτη ζωή· τετέλεσαι καὶ πᾶσα ἡ ἔνσαρκός μου οἰκονομία. Ἐμοὶ δὲ περὶ τῆς προφητείας, καὶ τῆς ζωῆς μόνον εἰρῆσθαι τοῦτο δοκεῖ. Καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα· τίνι τὴν κεφαλὴν ἔκλινεν; ᾧ τὸ πνεῦμα παρέθετο· καὶ πρότερον ταύτην κλίνας, ὕστερον θνήσκει, δεικνὺς ὅτι καὶ τοῦ θανάτου Κύριός ἐστιν.

„Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ Σταυροῦ τὰ σώματα ἐν τῷ Σαββάτῳ, ἐπεὶ Παρασκευὴ ἦν, ἦν γὰρ μεγάλη ἐκείνη ἡ ἡμέρα τοῦ Σαββάτου· ἠρώτησαν τὸν Πιλάτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν. Τὸν νομοθέτην ἀναιροῦντες ἐπ' οὐδεμιᾷ αἰτίᾳ, οὐ νομίζουσι παρανομεῖν, περὶ δὲ τῆς ἡμέρας ἀκριβολογοῦνται, ὡς ἂν μὴ κρεμάμενα τὰ σώματα, τῆς ἑορτῆς ἀμαυροῖ τὸ λαμπρόν. Ἐμοὶ δὲ δοκεῖ δεδοικότας αὐτοὺς, μήπως ὁ κατ' αὐτὴν τὴν ἡμέραν πάντα ἐκεῖνα ποιήσας τὰ φρίκης γέμοντα, καί τι καινότερον δράσῃ, καὶ δυνηθῇ τὸν σταυρὸν ἐκφυγεῖν, τὸν θάνατον ἐπισπεύδειν αὐτῷ, καὶ δέεσθαι τοῦ Πιλάτου, τοῦτον αὐτῷ ἐπαγαγεῖν τάχιον· καινὴν προσθῆναι καὶ τοῖς αὐτοῦ πάθεσι πάθος, ὡς ἂν μὲν αὐτοὶ ἐπενόουν δεινότατον ὄν, ὡς ἂν δὲ αὐτὸς ᾠκονόμει, καὶ οἱ Προφῆται ἄνωθεν προὔλεγον, προβῆναι πως μὴ συγχωρηθέν· καὶ γὰρ προέφθασε τὴν αὐτῶν σκαιωρίαν θανὼν ὡς αὐτὸς ἐβουλήθη· καὶ τὰ σκέλη οὐ συνετρίβη, ὅτι μὴ ἄνωθεν τοῦτο προώριστο. Παρεκάλεσαν τὸν Πιλάτον· τοῦτο γὰρ δηλοῖ τὸ, ἠρώτησαν, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν· ἤγουν ἀποθάνωσιν· ἢ, ἐπεὶ οὐδεὶς δύναται ζῆν μετὰ τὴν τῶν ἑαυτοῦ σκελῶν θλάσιν, ἀρθῶσιν ἐκ μέσου τὰ σώματα, καὶ μὴ πρόκειται τοῖς τὸ Πάσχα τελοῦσι θέαμα κατηφείαν ἐμποιοῦν.

„ Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ ἐστὶν ἡ μαρτυρία αὐτοῦ· κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει· ἐγένετο γὰρ ταῦτα ἵνα ἡ Γραφὴ πληρωθῇ, ὀστοῦν οὐ συντριβήσεται ἀπ' αὐτοῦ· καὶ πάλιν ἐν ἑτέρᾳ γραφῇ λέγει, ὄψονται εἰς ὃν ἐξεκέντησαν. Ὡς ἔοικεν ἀπιστῶν τις τῶν στρατιωτῶν, εἰ ἄρα τέθνηκεν, ὁ τοσαῦτα πρὸ μικροῦ ἐργασάμενος, καὶ δονήσας τὸ πᾶν, λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε, πειρώμενος ἅμα εἰ τέθνηκε, καὶ κεχαρισμένα τοῖς Ἑβραίοις ποιῶν· μᾶλλον δὲ ὁ ἀκούσας περὶ αὐτοῦ, τοῦ μὲν Πατρὸς ἄνωθεν εἰρηκότος, οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα, τῶν δὲ Ἰουδαίων λεγόντων, ἡμεῖς „ ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα, νομίσας εἶναι τὸ πρᾶγμα σκηνὴν, καὶ ὑποτοπάσας φενακίζεσθαι ἄντικρυς, ὡς ἂν μή τι πάθῃ τῶν ἀδοκήτων, (καὶ νεκρὸν γὰρ αὐτὸν βλέπων, οὐκ ἐπέπειστο νεκρὸν αὐτὸν εἶναι, οὐδὲ ἠρκέσθη τοῖς προλαβοῦσιν, οὐδ' ἐκορέσθη, οὐδὲ ἠρέμει·) τινὰ τῶν στρατιωτῶν ὑποδὺς, ἔπεισε τοῦτον τῇ λόγχῃ τὸ νεκρὸν διατρῆσαι σῶμα· καὶ ταῦτα εἰς τὴν πλευρὰν, ὅπου τὸ ἧπαρ, καὶ τὸ τῆς καρδίας αἰσθητικὸν ἐποχεῖται καὶ ζωτικόν· τοῦτο τάχα πονηρευσάμενος οἴκοθεν, ὡς οὐδεὶς τῶν ζώντων, κἂν ὅσα προσποιῆται θανεῖν, ξίφει κρουσθεὶς ἐπὶ γυμνοῦ εἰς πλευρὰν, ἰσχύει μὴ συσταλῆναι, καὶ φρῖξαι αἰφνίδιον. Ἐκεῖνος μὲν οὖν καὶ διὰ ταῦτα, καὶ ὑβρίζων ἐπήγαγε τῷ νεκρῷ σώματι τὴν σφαγήν· ἡ δὲ μετεστράφη ἐξαπίνης εἰς δόξαν, καὶ θαῦμα φρικτόν· ὥστε καὶ αἷμα μὲν ἐκ νεκροῦ σώματος προελθεῖν ὑπερφυὲς καὶ παράδοξον· τὸ δὲ καὶ ὕδωρ τούτῳ συνεξελθεῖν, ἰδίως μὲν τὸ αἷμα καθ' αὑτὸ προϊὸν, χωρὶς δὲ πάλιν τὸ ὕδωρ, ἐκ μιᾶς ὠτειλῆς, καὶ δίκρουνον γενέσθαι πηγὴν τὴν πλευρὰν διαφόρων κατὰ φύσιν ὑγρῶν, πάντως παραδοξότερον. Καὶ „ ὁ ἑωρακὼς μεμαρτύρηκε· τίνι μεμαρτύρηκε; τῇ οἰκουμένῃ

πάσῃ,

πάσῃ, οὐ ῥήμασι μόνον, ἀλλὰ καὶ πράγμασιν· ὅτι ἐκεῖνα τὰ ὄντως φρικώδη μυστήρια, τὸ αἷμα φημὶ καὶ τὸ ὕδωρ, προτροπῇ τῆς τοῦ κόσμου δεσποίνης ὑποδεξάμενος οὗτος εἰς ἀγγεῖα διαφανῆ, ἕκαστον καθ' αὐτὸ πεπηγὸς, ταύτῃ ταῦτα παρέχειν εἰς ἀνάμνησιν τηρούμενα τοῦ ἀγαπητοῦ· μετὰ δὲ τὴν ταύτης μετάστασιν ἀπερχόμενος εἰς τὸ κήρυγμα, τῷ τῶν Ἱεροσολύμων Ἐπισκόπῳ ταῦτα παρακατέθετο· Ἰάκωβος οὗτος ὁ Ἀδελφόθεος ἦν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸν χιτῶνα τὸν ἄνωθεν ὑφαντὸν, καὶ τὰ ἱμάτια, καὶ τὴν λόγχην, καὶ τὸν κάλαμον, καὶ τὸν σπόγγον, καὶ τὸν ἀκάνθινον στέφανον· πρὸς δὲ, καὶ τὴν σινδόνα, καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς τοῦ Κυρίου, καὶ ἑνὶ λόγῳ, ὅσα τοῦ πάθους σύμβολα ἀνὰ τὴν οἰκουμένην μέχρι τῆς δεῦρο τηρεῖται, αὐτὸς ἡμῖν ἐθησαύρισεν ὁ Ἀπόστολος, διὸ θαῤῥούντως φησὶ, καὶ ὁ ἑωρακὼς μεμαρτύρηκεν· ἤγουν οὐ παρ' ἑτέρων ἤκουσα, ἀλλ' αὐτὸς παρὼν εἶδον οἰκείοις ὀφθαλμοῖς· συμμαρτυροῦσι δέ μοι καὶ αἱ Γραφαὶ ὅτι ἀληθῆ εἶδον καὶ μαρτυρῶ· ἡ μὲν ὀστοῦν λέγουσα « οὐ συντριβήσεται ἀπ' αὐτοῦ· ἡ δὲ ὄψονται εἰς ὃν ἐξε- « κέντησαν.

Συνήκατε ἄρχοντες τῶν Εὐαγγελικῶν τούτων ῥημάτων τὸν νοῦν, κατ' ἐπιτομὴν, οὐχὶ κατ' ἀκρίβειαν εἰρημένον ὑμῖν; δεῦρο δὴ γνῶτε καὶ πρὸς τίνα ταῦτα παρακαλεῖ τοὺς τούτων ἀκροατὰς, ὅτι πρὸς ὑπομονὴν, καὶ μαρτύριον, καὶ μίμησιν τοῦ ὑπὲρ ἡμῶν οὕτω παθόντος Χριστοῦ. Μηδεὶς δ' ἀκούων μαρτύριον, σταυρὸν οἰέσθω με λέγειν, ἢ θάνατον, ἢ σφαγήν· ἔστι γὰρ καὶ ταῦτα τοῖς τὸν Χριστὸν μιμήσασθαι θέλουσι δυνατά· καὶ μαρτυροῦσι πολλοὶ τῶν μαρτύρων, στέρξαντες ταῦτα μεθ' ἡδονῆς· πλὴν ἐπεὶ δυνατὸν χωρὶς αἵματος μαρτυρῆσαι, καὶ δίχα θανάτου θανεῖν, καὶ σταυρωθῆναι ἄνευ σταυροῦ, πρὸς μαρτυρίου τρόπον τοιοῦτον τὰ τήμερον ἡμῖν κατὰ νοῦν ὁραθέντα, καὶ τοῖς ὑμῶν ὠσὶν ἀκουσθέντα προτρέπεται· καὶ εἴπερ ὑμῖν δοκεῖ, τὴν τοῦ λαλοῦντος ταύτην φωνὴν ἐμοῦ τοῦ ταῦτα λέγοντος, λέγω τῶν Ἱερῶν Διδασκάλων ἀκούσατε, τί

περὶ καρτερίας καὶ μαρτυρίου τοῖς σωθῆναι θέλουσιν ὑποτίθενται. Ἀθανάσιος οὖν ὁ πολύτλας πολλάκις τὶς ἡμῶν εἶπε, φησὶ, ποῦ ἐστὶ διωγμὸς εἰς τὸ μαρτυρῆσαι; μαρτύρησον τῇ συνειδήσει σου, ἀπόθανε τῇ ἁμαρτίᾳ, νέκρωσον τὰ μέλη τὰ ἐπὶ γῆς, καὶ γέγονας μάρτυς τῇ προαιρέσει· ἐκεῖνοι πρὸς βασιλεῖς καὶ ἄρχοντας ἐμάχοντο, ἔχεις καὶ σὺ ἀντίπαλον τὸν διάβολον τὸν βασιλέα τῆς ἁμαρτίας, καὶ ἄρχοντας τοὺς δαίμονας. Οὕτω γὰρ καὶ τότε ἐκείνοις βωμὸς καὶ θυσιαστήριον προέκειτο, καὶ βδέλυγμα τῆς εἰδωλολατρείας ψεκτὸν εἴδωλον· ἔνι καὶ σήμερον βωμὸς, καὶ θυσιαστήριον, καὶ ψεκτὸν εἴδωλον ἐν τῇ ψυχῇ· βωμὸς μὲν τῆς γαστριμαργίας τὸ λίχνον, θυσιαστήριον δὲ τῶν ἡδονῶν ἡ ἐπιθυμία, εἴδωλον δὲ τῆς πορνείας τὸ πνεῦμα· ὁ γὰρ πάθεσι δουλεύων, καὶ ἡδοναῖς σχολάζων, τὸν Ἰησοῦν ἠρνήσατο, καὶ εἴδωλον προσκυνεῖ· ἔχει γὰρ ἐν ἑαυτῷ τῆς Ἀφροδίτης τὸ ἄγαλμα, τῆς σαρκὸς τὴν αἰσχρὰν ἡδονήν. Πάλιν ὁ ὀργῇ καὶ θυμῷ ἡττώμενος, καὶ μὴ ἐκκόπτων ἑαυτοῦ τὴν μανίαν, τὸν Ἰησοῦν ἠρνήσατο, καὶ τὸν Ἄρεα ἑαυτῷ Θεὸν ἔχει· ὑπέκυψε γὰρ τῇ ὀργῇ, ὅπερ ἐστὶ μανίας εἴδωλον. Ἕτερος φιλάργυρος καὶ φειδωλὸς ὢν, κλείων τὰ σπλάγχνα αὐτοῦ, καὶ μὴ ἐλεῶν τὸν πλησίον, τὸν Ἰησοῦν ἠρνήσατο, καὶ εἰδώλοις λατρεύει· ἔχει γὰρ ἐν ἑαυτῷ τὸ τοῦ Ἑρμοῦ εἴδωλον καὶ τῇ κτίσει λατρεύει παρὰ τὸν κτίσαντα· ὥστε τούτων εἰ ἐγκρατεύῃ, καὶ φυλάξῃ τῶν μανικῶν παθῶν, ἐπάτησας τὰ εἴδωλα, καὶ ἠρνήσω τὴν δεισιδαιμονίαν, καὶ γέγονας μάρτυς, ὁμολογήσας τὴν καλὴν ὁμολογίαν· διὸ κἂν μηδείς σε διώκῃ τύραννος Ἕλλην, ἀλλ᾽ ὅμως γενοῦ ἕτοιμος εἰς μαρτύριον, ἵνα μὴ στερηθῇς τῶν ἐκ τῆς προθέσεως καὶ τῆς προθυμίας ἡτοιμασμένων σοι ἀγαθῶν· κἂν μὴ παρῇ διωγμὸς, ὥσπερ θέλεις, οὕτως ἔσται τὰ πράγματα· μᾶλλον δὲ πάρεστι διωγμὸς διὰ παντὸς τοῦ βίου, πάρεστι θυμὸς, πάρεστιν ἐπιθυμία, πάρεστιν ἀθυμίας καὶ λύπης καὶ ἀκηδίας τύραννος· ἐγγύς σου φόβος ἄκαιρος, καὶ βασκανία παρέστηκεν· ἐφέστηκέ σοι κενοδοξίας ἄρχων καὶ λαιμαργίας, καὶ μέθης, καὶ τῶν ἄλλων λυμαντηρίων παθῶν· τούτων γὰρ ἕκαστον τὴν ἀνθρωπίνην

ψυχὴν ἐκδιώκει τῆς αἰωνίου ζωῆς. Ἀγωνίζου τοίνυν καὶ ἀνδρίζου κατ᾽ αὐτῶν ὡς στρατιώτης Χριστοῦ· μηδὲν ὁ ὀφθαλμὸς βλεπέτω πονηρὸν, καὶ γέγονε θυσία· μηδὲν ἡ γλῶττα λαλείτω αἰσχρὸν, καὶ γέγονε προσφορά· μηδὲν ἡ χεὶρ πραττέτω παράνομον, καὶ γέγονεν ὁλοκαύτωμα.

Ὅ, τε θεολόγος Γρηγόριος, ἐνέγκωμεν λέγει θυμὸν ὡς θηρίον, καὶ γλῶτταν ὡς τομὸν ξίφος, καὶ ἡδονὴν ὡς πῦρ κατασβέσωμεν· θώμεθα ταῖς ἀκοαῖς θύρας καλῶς ἀνοιγομένας καὶ κλειομένας· καὶ τὸν ὀφθαλμὸν σωφρονίσωμεν· παιδαγωγήσωμεν ἀφὴν λυσσῶσαν, καὶ γεῦσιν σπαράττουσαν, μὴ θάνατος ἀναβῇ διὰ τῶν θυρίδων ἡμῶν· οὕτω γὰρ ἡγοῦμαι καλεῖσθαι τὰ αἰσθητήρια· καὶ γέλωτος ἀμετρίας καταγελάσωμεν· μὴ κάμψωμεν γόνυ τῇ Βάαλ διὰ τὴν χρείαν, μηδὲ διὰ φόβον τῇ εἰκόνι τῇ χρυσῇ προσκυνήσωμεν· ἓν φοβηθῶμεν μόνον, τὸ φοβεῖσθαι τὶ Θεοῦ πλέον, καὶ καθυβρίσαι τὴν εἰκόνα διὰ κακίαν. Ἐν πᾶσι τὸν θυρεὸν τῆς πίστεως ἀναλάβωμεν, καὶ πάντα τὰ βέλη τοῦ πονηροῦ διαφύγωμεν· καὶ οὗτος δεινὸς ὁ πόλεμος· καὶ αὕτη παράταξις μεγάλη· καὶ τοῦτο μέγα τρόπαιον.

Καὶ ὁ τὴν γλῶτταν δὲ χρυσοῦς Ἰωάννης οὕτως ἐκτίθησι· βούλει ἄνεσιν εὑρεῖν ἐκεῖ; θλίβηθι ἐνταῦθα διὰ τὸν Χριστόν· ἀλλ᾽ οὐκ ἔστι διωγμός; στῆθι πρὸς δόξαν, στῆθι πρὸς θυμοῦ μάχην, στῆθι πρὸς ἐπιθυμίας βάσανον· καὶ ταῦτα στίγματα· καὶ αὗται βάσανοι· καὶ ἐὰν ἁμαρτίας ἔχῃς, ἀφανίζονται καὶ κατακαίονται ὑπὸ τῆς θλίψεως· ἐὰν δὲ ἀρετὴν ἔχῃς, λαμπρυνῇ καὶ φαιδρυνῇ ὑπ᾽ αὐτῆς. Οὐ γὰρ μόνον ἐκεῖνοι, οἱ εἰς δικαστήριον ἑλκυσθέντες, καὶ θῦσαι ἀναγκαζόμενοι, καὶ μὴ πεισθέντες, καὶ παθόντες, μάρτυρες ἂν εἶεν μόνοι, ἀλλὰ κἀκεῖνοι ὑπὲρ ὁτιοῦν τῶν τῷ Θεῷ δοκούντων παθεῖν τι καταδεξάμενοι· καὶ εἴτις μετ᾽ ἀκριβείας ἐξετάσειεν, οὗτοι μᾶλλον ἢ ἐκεῖνοι· οὐ γὰρ ἐστὶν ἴσον ὀλέθρου τοιούτου καὶ ἀπωλείας ψυχῆς προτεινομένης, καταδέξασθαι παθεῖν τι, καὶ ὑπὲρ ἐλάττονος κα-

„ τορθώματος, τὴν αὐτὴν ταύτην ὑπομεῖναι τιμωρίαν·
„ καὶ Ἰωάννης γὰρ ἡ τοῦ λόγου φωνὴ, οὐ θύσαι κελευσθεὶς καὶ
„ μὴ καταδεξάμενος, ἐσφάγη, οὐδ᾽ εἰς βωμὸν ἀχθεὶς,
„ οὐδὲ πρὸς εἴδωλον ἑλκυσθεὶς, ἀλλ᾽ ὑπὲρ ῥήματος ἑνὸς, ἐπει-
„ δὴ εἶπε τῷ Ἡρώδῃ, οὐκ ἔξεστί σοι ἔχειν γυναῖκα Φιλίππου
„ τοῦ ἀδελφοῦ σου, καὶ τὸ δεσμωτήριον ᾤκησε, καὶ τὴν σφα-
„ γὴν ἐκείνην ὑπέμεινε· καὶ πάλιν, νόσῳ περιέπεσας χαλε-
„ πῇ, καὶ πολλοὶ παραγίνονται ἀναγκάζοντες, οἱ μὲν
„ ἐπωδαῖς, οἱ δὲ περιάμμασιν, οἱ δὲ ἑτέροις τισὶ παραμυ-
„ θήσασθαι τὸ κακόν· σὺ διὰ τὸν φόβον τοῦ Θεοῦ ἤνεγκας
„ γενναίως; τοῦτό σοι μαρτυρίου στέφανον φέρει, καὶ μὴ ἀμ-
„ φίβαλλε· εἰ δὲ ζητεῖς πῶς, καὶ τίνι τρόπῳ; ἐγὼ λέγω·
„ ὅτι καθάπερ ἐκεῖνος τὰς ἀπὸ τῶν βασάνων ὀδύνας φέρει
„ ἀκλινῶς, ὥστε μὴ προσκυνῆσαι τὸ εἴδωλον, οὕτω καὶ σὺ τὰς
„ ἀπὸ τῆς νόσου φέρεις ἀλγηδόνας· ἀλλὰ σφοδρότεραι ἐκεῖ-
„ ναι; ἀλλ᾽ αὗται μακρότεραι, ὥστε εἰς ἴσον καταλήγει·
„ πολλάκις δὲ καὶ σφοδρότεραι· ἂν τοίνυν διακρούσῃ τὰς
„ ἐπῳδὰς, καὶ τὰς φαρμακείας, καὶ τὰς μαγγανείας, καὶ
„ ἐναποθάνῃς τῇ νόσῳ, μάρτυς ἀπηρτισμένος εἶ, ὅτι ἀ-
„ παλλαγὴν μετὰ ἀσεβείας ἐπαγγελλομένων ἑτέρων, εἵλου
„ θάνατον μετ᾽ εὐσεβείας μᾶλλον. Οὐδὲν τῆς γλώττης
„ ἐκείνης ἁγιώτερον, τῆς ἐν κακοῖς εὐχαριστούσης τῷ Θεῷ·
„ ὄντως τῆς τῶν μαρτύρων οὐδὲν ἀποδεῖ· ὁμοίως γὰρ κἀκείνη
„ καὶ αὕτη στεφανοῦται· καὶ γὰρ καὶ ταύτῃ ἐφέστηκε δήμιος
„ ἀναγκάζων ἀρνήσασθαι τὸν Θεὸν διὰ τῆς βλασφημίας·
„ ἂν τοίνυν ἐνέγκῃ τὰς ἀλγηδόνας τὶς καὶ εὐχαριστήσῃ,
„ μαρτυρίου στέφανον ἔλαβεν.

Ἀλλ᾽ ἱκανῶς τὴν ἀγάπην ὑμῶν πιστωθῆναι νομίζω, ὡς ἔστι μαρτύριον ἀναίμακτον, εἰ καὶ παράδοξον τὸ λεγόμενον, καὶ τοῖς αὐτὸ καρτεροῦσι, τοὺς αὐτοὺς μισθοὺς προξενοῦν, οἵους οἶδε προξενεῖν τὸ δι᾽ αἵματος, καὶ πᾶν ὅπερ ἂν εἴποι τις, τὸ διὰ πολυτρόπων καὶ πικροτάτων βασάνων τισὶν ἐπαγόμενον· τοῦτο δὴ τὸ τῆς συνειδήσεως μαρτύριον, οὗ χωρὶς, οὐδεὶς τὸν Κύριον ὄψεται· ὅτι ἀντὶ παντὸς ἄλλου ναύλου παρ᾽ ἡμῶν ἀπαιτεῖ καὶ ὁ θαυμά-

σιος

σιος κυβερνήτης ἐκεῖνος εἰ μέμνηθε, ὁ διαβιβάσας ἡμᾶς εἰς Ἱεροσόλυμα σήμερον, καὶ αὐτῷ παραστήσας τοῦ Ἰησοῦ τῷ Σταυρῷ. Εἰς τοῦτο ἐνάγει καὶ τῶν ὧν ἠκούσατε ῥημάτων ἡ δύναμις, καὶ αὐτὰ πρὸς τοῦτο παρακαλεῖ τὰ τοῦ Κυρίου παθήματα· ὃ δὴ καὶ προθυμότατα καρτερῆσαι πάντες προθυμηθῶμεν, τοῖς αἱρουμένοις ἅπασιν ἀνυσθῆναι ῥᾴδιον ὄν· πειθόμενοι κἂν τούτῳ, τῷ τῶν φώτων Πατρὶ λέγοντι πρὸς ἡμᾶς, γίνεσθέ μοι μάρτυρες, ὅτι
κἀγὼ μάρτυς, καὶ ὁ παῖς, ὃν ἐγὼ ἐξελεξάμην· ὡς ἂν “
καὶ αὐτῷ Χριστῷ τῷ ὑπὲρ ἡμῶν μαρτυρήσαντι, συγκλη- “
ρονόμοι ἐποφθῶμεν τῆς βασιλείας τῶν Οὐρανῶν· ἧς ἡμᾶς πάντας τυχεῖν, τῇ αὐτοῦ χάριτι, ἐν ἁγίῳ Πνεύματι γένοιτο. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ
# Λ Ο Γ Ο Σ

Ἀναγκαίας τινὰς ἀπορίας περιέχων καὶ λύσεις, περὶ τῆς τοῦ Θεοῦ Λόγου ἐνσάρκου οἰκονομίας· Ῥηθεὶς ἐν τῷ αὐτῷ Παλατίῳ, καὶ Πρέσβεων ἐκ Περσίδος ἐκεῖσε παρατυχόντων, τῶν περὶ αὐτὰς ἐσχολακότων.

Εἴτις ἐξίσταται λογιζόμενος πῶς ἡ θεία μεγαλειότης καὶ ἄπειρος ὑψηλότης, τοσοῦτον ἐβουλήθη ταπεινωθῆναι, καὶ ταῦτα ἀναγκάζοντος μηδενὸς, ὥστε καὶ αἷμα προσλαβοῦσαν μήτραν οἰκῆσαι γυναικὸς, καὶ φθορὰν φορέσαι, καὶ μυρία παθεῖν, καὶ βλασφημηθῆναι, καὶ τελευταῖον σαυρικὸν ὑπομεῖναι τὸν θάνατον· εἴτις ταῦτα, ἢ παρόμοια τούτοις λογιζόμενος ἀπορεῖ, τὸ παράπαν μηδὲν παθεῖν ἐκ τῶνδε τὸν ἀπαθῆ λογισάμενος, τάχιον ταύτης ἀπαλλαττέσθω τῆς ταραχῆς· εἰ γὰρ καὶ παράδοξος λέγεται ἡ ἔνσαρκος τοῦ Θεοῦ Λόγου οἰκονομία, καὶ κατ' ἀνάγκην ταύτην γενέσθαι, τὸ μὲν ἀνθρωπίνῃ γνώσει μετρούμενον παράδοξον εἰκότως ἂν λέγοιτο, τὸ δὲ καθ' ἡμᾶς, οὐ κατὰ τὸ Θεῖον ἀνάγκη. ὃ γὰρ θέλει ὁ παντοδύναμος Κύριος, τοῦτο ἀναγκαῖον εἶναι· καὶ ὃ μὴ θέλει, τοῦτ' ἀδύνατον εἶναι· καὶ ὅπερ εἶναι βούλεται, τοῦτ' ἐξ ἀνάγκης καὶ κάλλισον ἐστὶν· ὥσπερ καὶ ὃ μὴ βούλεται εἶναι, οὔτε ἦν, οὔτ' ἐσὶν, οὔτέ που ἔσαι πώποτε. Εἰ δὲ λέγοι τις ἐν τούτοις, πῶς αὐτοῦ θέλοντος ἡμᾶς ἁγίους εἶναι, ἡμεῖς τοὐναντίον ἅπαν ἐσμέν; κἀντεῦθεν εὐθὺς νομίζοι τὸν λόγον ἐλέγχεσθαι, λογιζέσθω, ὅτι περὶ τῶν ἐπὶ τῷ Θεῷ κειμένων ὁ λόγος οὗτος εἴρηται, περὶ δὲ τῶν ἐφ' ἡμῖν ἄλλος λόγος·

γος· οὐκ οὖν κατὰ θείαν, ἀλλὰ καθ' ἡμετέραν ἀνάγκην γενέσθαι, τὴν θείαν συγκατάβασιν νομιστέον, οὐδὲ καθ' ἕτερον, ἀλλὰ κατὰ τὸν τῆς εὐχαριστίας τρόπον αὐτὴν θαυμαστέον, καὶ ὡς ὑπερβαίνουσαν τὴν ἡμετέραν κατάληψιν· τὰ δὲ τῷ θείῳ νεύματι θελητὰ, ὁποῖα ἂν ᾖ, κἂν κατὰ φύσιν ἄλλως ἐνδέχοιτο γίνεσθαι, κἂν αἴσχιστα πάντων εἶναι δοκῇ καὶ ἀνάξια τοῦ τῶν ὅλων Θεοῦ, πάντων ἐστὶ τιμιώτερα καὶ ἀναγκαιότερα, τοῖς τὴν ἀλήθειαν μετὰ πίστεως ἀκριβοῦσιν. Ἄθλια μὲν γὰρ πάντα τὰ πεποιημένα παρὰ Θεοῦ, καὶ τῆς τοῦ δημιουργοῦ δόξης ἀπολειπόμενα, εἰμὴ τῆς τούτου μετέχοι προνοίας· ἀνάξιος δὲ ὁ λόγος περὶ Θεοῦ, τοῦ γυμνὴν, ὥσπερ καὶ ἔρημον τῆς αὐτοῦ ἀγαθότητος τὴν κτίσιν περιορᾷν· ἀλλ' οὔτε ἡ κτίσις οὕτως ἀθλία, οὔτε μὴν ὁ Θεὸς οὕτως ἀδύνατος, ἢ ἀνένδοτος, ὥστε τὸν πάντα μετασκευάζοντα Λόγον μὴ διαπέμπειν ἐπ' αὐτήν. Ὅθεν κἀκεῖνο τοῖς θεολόγοις ἐμφιλοσοφώτατα εἴρηται, οὐ τοσοῦτον εἰποῦσιν οὐρανοῦ τε καὶ γῆς σύστασις, καὶ θαλάσσης καὶ ἀέρος καὶ τῶν μεγίστων στοιχείων ἡ γένεσις, καὶ εἴτι ὑπερκόσμιον νοεῖται, καὶ εἴτι καταχθόνιον, τὴν πρὸς ἡμᾶς φιλανθρωπίαν παρίστησι τοῦ Θεοῦ, ὡς ἡ περὶ τὴν ἐνανθρώπησιν τοῦ ἑνὸς τῆς θείας Τριάδος οἰκονομία, καὶ ἡ πρὸς τὸ ταπεινὸν καὶ ἀσθενὲς τῆς ἀνθρωπότητος συγκατάβασις· κατῆλθε γὰρ πρὸς ἡμᾶς ὁ παντουργέτης Λόγος, ἐπείπερ οὐκ ἠδυνάμεθα ὅπου ἦν ἐκεῖνος ἡμεῖς ἀνελθεῖν. Ἀλλὰ κἀνταῦθα προέφθασεν ἡ ἀρχὴ τὰ τοῦ τέλους, καὶ τὰ τῶν ἀντιθέσεων προήρπασε τὸ προοίμιον· διὸ χρὴ ἄνωθεν ἀρξαμένους ἐπὶ τὰ πρόσω, καὶ τοῦδε τοῦ λόγου, καὶ τοῦ τῆς οἰκονομίας μυστηρίου χωρεῖν· καὶ δὴ προτεινώμεθα ὧδε, τὰ ὡς ἰσχυρὰ καὶ τολμηρὰ πρὸς τῶν ἀπίστων κατὰ Χριστιανῶν προτεινόμενα.

Ἐπὶ τίνι σκοπῷ ἦλθεν ὁ Χριστὸς εἰς τὸν κόσμον; Ἵνα τὸν Ἀδὰμ, ἤγουν πάντα τὸν θέλοντα ἄνθρωπον ἀναγάγῃ πάλιν εἰς τὸ μέγιστον ἐκεῖνο ἀξίωμα, ἐς ὅπερ αὐτὸς ἐβούλετο ὁ Θεὸς ἐξ ἀρχῆς αὐτὸν ἀποκαταστῆσαι· τὸ δὲ ἦν, Θεὸν θέσει γενέσθαι, καὶ εἶναι μετὰ τὸν φύσει Θεόν·

ὃ δὴ καὶ κατορθώσας ὁ Λόγος, κρεῖτ]ον ἢ κατὰ λόγον ἀνθρώπινον, ἀφθαρτίσας καὶ ἀπαθανατίσας, εἰς τὸ καὶ Θεὸν εἶναι πάλιν τὸν ἄνθρωπον ἐπανήγαγεν.

Ἐν τοῖς Προφήταις ὁ Θεὸς καὶ Πατὴρ τῇ ἀνθρωπότητι ὕτω καταλλαγεὶς, ὡς καὶ ἐνώπιος ἐνωπίῳ τισὶ τȣ́των λαλεῖν, τίνος χάριν τὸν ἑαυ]ȣ̃ Υἱὸν αὖθις εἰς τὸν κόσμον τȣ̃τον ἀπέςειλεν; Οὐ κατηλλάγη τελείως, ἀλλὰ δι' Ἀγγέλων ἁγίων, περὶ ὧν εἴχομεν χρείαν ἐλάλησε τῶν Προπατόρων καὶ τῶν Προφητῶν τισὶν, ἀλλ' ȣ̓χ ἅπασιν· καὶ ζῶσι μόνοις, ȣ̓χὶ καὶ τοῖς τεθνεῶσιν· ὁ δὲ τȣ̃ Θεȣ̃ Υἱὸς ἐλθὼν, τȣ̀ς εἰς αὐτὸν πιςεῦσαι θελήσαντας, τȣ́ςτε ζῶντας, καὶ τȣ̀ς ἐν ᾅδȣ πάντας πάντων δεινῶν ἠλευθέρωσε· τὰ σώματα ἰάσατο, τὰς ψυχὰς ἐῤῥύσατο, τȣ̀ς δαίμονας κατήργησε, καὶ εἰσέτι καὶ νυῦ καταργεῖ· ȣ̓δὲ γὰρ ἐνεργȣ̃σιν ὡς πρότερον.

Διατὶ μὴ προςάγματι μόνον τὸν κρατȣ̃ντα τύραννον τȣ̃τον καταβαλων, ἀφήρπασε τῶν ἐκείνȣ χειρῶν, καὶ τῆς φθορᾶς τὸν ἄνθρωπον διεσώσατο; Ὅτι ἀδικία παρ' αὐτῷ ȣ̓κ ἔςιν, ȣ̓δ' ȣ̓ μὴ γένηται· ὁ γὰρ ἄνθρωπος ἑκȣσίως ὑπέκυψε τῷ ἐχθρῷ, καὶ ἥτ]ηται κατὰ κράτος, καὶ δεδȣ́λωται πεπραμένος ὑπὸ τῆς ἁμαρτίας· ἰωῦ ȣ̓̃ν ȣ̓κ εὐπρεπὲς, ἄλλȣ ἄλλῳ ἑαυτὸν ὑποτάξαντος, ὑφ' ἑτέρȣ τῆς ἑκȣσίȣ ταύτης δȣλείας ἀπαλλαγῆναι· ὅπερ μετὰ λόγȣ καὶ σιὼ δικαίῳ γέγονεν ἄν, εἰ βίᾳ καὶ ȣ̓χ ἑκὼν ὁ ἄνθρωπος τῷ ἀπατήσαντι ὑπετάγη.

Τὶ δήποτε μὴ πέπομφεν Ἄγγελον εἰς τὸ σῶσαι τὸν Ἄνθρωπον, ἅγιον ὄντα, καὶ γενναιότερον τȣ̃ ἀντικειμένȣ; Ὅτι γενόμενος μὲν ἄνθρωπος καὶ αὐτὸς, ἀπώλεσεν ἂν αὐτίκα τȣ̃θ' ὅπερ ἐςὶν Ἄγγελος· μένων δὲ εἰς τὸ κατὰ φύσιν, ἀδυνατεῖ τȣ̀ς ἁμαρτήσαντας δικαιȣ̃ν, ἢ ζωῶσαι τȣ̀ς τεθνεῶτας, ἢ ἀφθαρτίσαι τȣ̀ς ἐφθαρμένȣς· καὶ ὅλως δὲ χώραν ȣ̓κ ἔχει, τὸ τροπῇ καὶ αὐτὸ ὑποκείμενον γένος, ἀτρεψίαν ἑτέροις χαρίζεσθαι.

Καὶ

Καὶ τίνος χάριν μὴ φύσιν ἑτέραν κτίσματος, ἐκ τοῦ μὴ ὄντος παραγαγὼν εἰς τὸ εἶναι, δι᾽ ἐκείνης ταύτην πεσοῦσαν ἀνέστησεν; Εἴτινι φύσις Ἀγγέλων ἀδυνατεῖ βοηθεῖν, τὶς ἂν ἑτέρα ἰσχύσῃ χεῖρα ταύτῃ βοηθείας ὀρέξαι, τοῦ ῥύσασθαι μὲν τῆς τυραννούσης χειρὸς, καὶ λύσιν παρασχεῖν τῶν ἁμαρτημάτων, καὶ πρὸς τούτοις ἀθανασίαν χαρίσασθαι; ἢ ποίας φύσεως καὶ δυνάμεως ταῦτα, εἰ μὴ μόνης τῆς τοῦ Θεοῦ;

Διατὶ μὴ ἐκ τῆς αὐτῆς φύσεως ψιλὸν ἄνθρωπον, ὁμογενῆ καὶ συμφυῆ τῷ Ἀδὰμ εἰς βοήθειαν ἀναστήσας, τοῦτον τοῦ πτώματος ἤγειρεν; Οὐχ ἕνα καὶ δύο καὶ τρεῖς, οὐ δέκα, οὐδ᾽ ἑκατὸν, ἀλλὰ μυρίους τοιούτους ἀπέστειλε· καὶ μαρτυροῦσιν οἱ προαποσταλέντες αὐτοῦ Πατριάρχαι, Προφῆται, Βασιλεῖς, καὶ Κριταί.

Πῶς οὖν παρ᾽ αὐτοῦ ἐπὶ τούτῳ πεμφθέντες, ῥύσασθαι τοῦτον οὐκ ἴσχυσαν; Ὅτι ἑνὸς ἑκάστου ἡ δικαιοσύνη, μόγις σώζειν αὐτὸν, ἢ οὐδ᾽ αὐτὸν ἴσχυε· πᾶσα γὰρ δικαιοσύνη ἀνθρώπου φησὶν, ὡς ῥάκος ἀποκαθημένης ἐνώπιον τοῦ Θεοῦ. Ἔπειτα δὲ καὶ ἀνθρώπων οὐδεὶς ἀναμάρτητος, οὐδ᾽ ἂν μία ἡμέρα ᾖ ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς.

Τίνος ἕνεκεν, Ἄγγελος μὲν οὐ γέγονεν εἰς τὸ σῶσαι ἀνθρώπους, ἅτε τιμιωτέρας καὶ αὐτῷ ἐγγυτέρας τῆς τῶν Ἀγγέλων οὔσης οὐσίας, ἀλλ᾽ ἄνθρωπος; Ὅτιπερ εἰ οὕτω παραγέγονεν εἰς τὸν κόσμον, φαντασίᾳ ἐνομίσθη ἐλθεῖν, ἀλλ᾽ οὐκ ἀληθείᾳ· ἐπεὶ ὁ Ἄγγελος ἀσώματος, ἀψηλάφητος, καὶ ἀόρατος φύσει δοξάζεται, καὶ ψιλὸς ἂν Ἄγγελος ἔδοξε μόνον, οὐ μὴν καὶ Θεός.

Διατὶ μὴ γέγονε καὶ Ἄγγελος εἰς τὸ σῶσαι τοὺς ἐκπεσόντας Ἀγγέλους, ὡς ἐνηνθρώπησε διὰ τὸ σῶσαι τὸν ἄνθρωπον; Ὅτι διὰ τὸν ἄνθρωπον, οὐ διὰ τὸν Ἄγγελον τόδε τὸ πᾶν συνεστήσατο· καὶ ὅτι ἐνταῦθα μὲν ὅλον τὸ γένος, ἐκεῖ δὲ μέρος τῶν πάντων ἐκπέπτωκε· καὶ διότι ὁ μὲν ἄνθρωπος πεσὼν, μετανοεῖ καθ᾽ ἑκάστην σχεδὸν, τῶν δὲ Ἀγγέλων ἡ πτῶσις, ὑπερηφανείας ὑπαίτιος ἀμετανοήτου

νοήτȣ καὶ ἀπογνώσεως· καὶ πρὸς τȣ́τοις, ὅτι ὁ μὲν Ἄγγελος ἀφ' ἑαυτȣ͂, καὶ τέλειος ὢν, καὶ φθονήσας, καὶ πλανήσας, ἅτε φθονερὸς παρωράθη· ὁ δὲ ἄνθρωπος καὶ ὡς ἀτελὴς ὢν, καὶ ὡς φθονηθεὶς, καὶ ἀπατηθεὶς, ὡς ἐλέȣς ἄξιος διὰ ταῦτα καὶ ἐλέȣς ἠξίωται.

Καὶ τί δήποτε μὴ μόνον ψυχὴν ἄϋλον, ἀλλὰ καὶ σῶμα ἔνυλον ἔλαβεν; ἤρκει γὰρ τεθεωμένη ψυχὴ πάσας τὰς ἐν ᾅδȣ ψυχὰς ἐκλυτρώσασθαι. Ὅτι μὴ μόνον ψυχῇ, ἀλλὰ καὶ τῷ σώματι ὁ ἄνθρωπος ἥμαρτε· καὶ ȣ̓ τȣ̀ς ἐν ᾅδȣ νεκρȣ̀ς μόνον, ἀλλὰ καὶ τȣ̀ς ἔτι ζῶντας, καὶ τȣ̀ς εἰς τὸ ἑξῆς γεννηθησομένȣς ἐλευθερῶσαι ἀφίκετο· ἡ ψυχὴ γȣ͂ν μετὰ τῆς Θεότητος, τὰς ἐν ᾅδȣ ψυχὰς ἐλυτρώσατο, καὶ τὸ σῶμα μετὰ τῆς αὐτῆς τὰ σώματα ἐθεράπευσε.

Διατὶ μὴ γυμνῇ τῇ Θεότητι, ἀλλὰ διὰ παραπετάσματος τῆς σαρκὸς ὤφθη τοῖς ἐπὶ γῆς, καὶ τοῖς ἐν ᾅδȣ δὲ μετὰ ψυχῆς; Οὐχ ὅτι ἐν τȣ́τοις ἐκεῖνος ἀδυνατεῖ· ἄπαγε! ἀλλ' ὅτι ȣ̓δεὶς ἠδύνατο σέξαι τὴν αὐτȣ͂ παρȣσίαν, ὡς ἐςὶ φαινομένȣ, τὸ σύνολον· ἐν γὰρ τῷ ῥυπαρῷ τῷδε σώματι μένων ὁ ἄνθρωπος ἀνάξιος ἐςὶ καὶ ἀδύνατος, τοιαύτην δόξαν ἀμέσως θεάσασθαι.

Καὶ τίνος χάριν μὴ πᾶσιν, ἀλλὰ τοῖς Ἰȣδαίοις, ἐν σαρκὶ πεφανέρωται; ἔδει γὰρ τοῖς ἁπανταχȣ͂ γῆς φανῆναι· ὅτι ἐπίσης πάντων Θεὸς, καὶ ὑπὲρ πάντων ἐπίσης ἐλήλυθεν. Ἰȣδαίοις μὲν, ὡς εὐσεβεςέροις καὶ ὁμοφύλοις, καὶ τὸν αὐτȣ͂ Πατέρα, Θεὸν δοκȣ͂σιν ὁμολογεῖν· ȣ̓ πᾶσι δὲ, ὅτι ὡς ἄνθρωπος περιγραπτὸς, ἀλλ' ȣ̓χ ὡς Θεὸς ἀπερίγραπτος παρεγένετο· εἰ δὲ πᾶσιν ἐν τῷ αὐτῷ χρόνῳ, κἂν τῇ αὐτῇ ἐφάνη μορφῇ, δοκήσει πάλιν ȣ̓κ ἀληθείᾳ, καὶ πάσης πλάνης ἀνάπλεω τὰ τῆς οἰκονομίας ἅπασιν ἂν ἐνομίσθη τοῖς τότε, ἢ νῦν, ἢ τοῖς μετέπειτα.

Ἀλλὰ πῶς Θεὸς ἐνηνθρώπησεν; Ὑπὲρ κατάληψιν πᾶσαν· εἰ γὰρ τοιαύτη τὶς ἦν ἡ τȣ͂ Θεȣ͂ αὕτη οἰκονομία ὥςε καταληπτὴν αὐτὴν γεννητῇ φύσει εἶναι, ȣ̓κ ἂν τὴν

θεία

θεία τῶόντι, οὐδὲ τοσαῦτα παράδοξα πάντως ταύτῃ ἐπηκολούθει. Πῶς δὲ σὺ τολμᾷς τοῦτο περιεργάζεσθαι, ὁ τὰ ἐν ποσὶν ἀγνοῶν; καὶ μηδὲ ὅ,τι ποτὲ ἐστὶν (οὐκ ἂν εἴποιμι φῶς, ἢ στερέωμα, ἤ τι τῶν μετεώρων, ἢ ἀοράτων·) ἀλλ' οὐδὲ τί ἐστι σκώληξ σαφῶς ἐπιστάμενος;

Πρὸς τὴν τῆς ἀνθρωπότητος ἀφορῶν βδελυγμίαν, καὶ τὴν μεγαλειότητα τῆς Θεότητος, οὐ θαῦμα πῶς ἐπαπορῶν λέγω, πῶς Θεὸς ὢν φύσει, θελήσει γέγονεν ἄνθρωπος· τοὐναντίον γὰρ ἐμοὶ μᾶλλον καὶ τολμηρὸν δοκεῖ, καὶ ἀνόητον, τὸ λέγειν τὸν φύσει ἀνενδεῆ Θεὸν καὶ ἀπρόσιτον, ὑπὲρ χρείας ἀνθρώπων σάρκα φορέσαι, καὶ γενέσθαι ἄνθρωπον, ἡμῖν ὅμοιον κατὰ πάντα· εἶτα τοὺς τοῦτο λέγοντας ἐρωτωμένους τὸν λόγον, μηδὲν ἀποκρίνεσθαι, ἀλλὰ λέγειν μόνον ὑπὲρ πᾶσαν κατάληψιν· ὡς ὅγε ἀρνούμενος τοῦτο, καὶ ἐν τῇ οἰκείᾳ περιωπῇ, ἄτρεπτον καὶ ἀναλλοίωτον μένειν ἀεὶ τὸν Θεὸν διαβεβαιούμενος, οὗτος ἄρα καὶ ἐκδικεῖ αὐτὸν, καὶ δοξάζει. Ἀμέλει διὰ αὐτὸ τοῦτό γε εἰς ἔλεγχον καὶ πάλιν ἐπερωτῶ· πῶς Θεὸς ὢν ὁ Λόγος, ἄνθρωπος γέγονε, τὸ ἀναξιώτατον τοῦ Θεοῦ καὶ ἀδιώατον; Ὑπὲρ τὸ πῶς, καὶ ὡς αὐτὸς ἐπίσταται ὁ φιλάνθρωπος μόνος· σὺ δὲ ὁ τὰ ψηλαφώμενα τῶν κτισμάτων πῶς γέγονεν ἀγνοῶν, τολμᾷς ἐπὶ τοῦ Θεοῦ τὸ πῶς ἐρευνᾷν;

Τὶ ὧδε κἀκεῖσε περινοστεῖς; εἰ ἐμὲ διδάξαι τὴν σὴν πίστιν οὐκ οἶδας, οὐδ' αὐτὸς γινώσκεις τί πιστεύεις λοιπόν· τίνι τρόπῳ γέγονεν ὁ Θεὸς ἄνθρωπος; εἰπὲ τὸν λόγον. Ἐπίσχες, καὶ ἐπίστησον, ὡς ἡ τῶν ὀρθοδόξων πίστις, οὐκ ἐν ἀποδείξει λόγων, οὐδὲ ἐν τῷ συμβαίνειν ταῖς ἀνθρωπίναις δόξαις τὰ πιστευόμενα, ἀλλ' ἐν αὐτῷ τῷ ὑπὲρ ἀπόδειξιν εἶναι καὶ γνῶσιν ἅπασαν, τὸ πιστὸν αὕτη ἔχει καὶ βέβαιον· πλὴν σὺ ὁ τολμηρῶς περὶ Θεοῦ ἐρωτῶν πῶς γέγονεν ἄνθρωπος, εἰπὲ πρῶτον περὶ σαυτοῦ πῶς γέγονας ἄνθρωπος σὺ, καὶ τότε διερευνήσεις ἀκριβῶς, καὶ ἴσως δυνήσῃ νοῆσαί τι καὶ περὶ τῆς θείας σαρκώσεως· μᾶλλον δὲ μηδὲ τότε· οὐδὲ γὰρ ἐπειδὴ ἡ σὴ γέννησις γέγονε γνώριμός

σοι κατάτι, ἤδη γέγονεν, ἢ γενήσεταί σοι, καὶ ἡ Θεοῦ· οὕτω γὰρ ἂν ἴσῃ κἀκείνη ἀνθρώπου καὶ οὐ Θεοῦ· εἰ δ' ἐπὶ ταύτῃ ἀπορεῖς, πῶς ἐρευνᾷν περὶ ἐκείνης τολμᾷς;

Ὑπερβαίνει μου τὸν νοῦν τῆς οἰκονομίας αὐτῆς ἡ κατάληψις, διὸ ταύτην γνῶναι οὐ δύναμαι, οὐδὲ πιστεῦσαι ταύτην ἀνέχομαι. Τί λέγεις; ἐπειδὴ σοὶ καθημένῳ ἐν σκότει ἐπεφάνη τὸ φῶς, οὐ καταδέχῃ τοῦτο; ἀλλ' ἐπεὶ οὐκ οἶδας τὸ πῶς, παραιτῇ τὸν φωτισμόν; ὡς τυφλόν σου τὸ ὀξυδερκὲς, καὶ ἠλίθιον τὸ σοφὸν, καὶ τὸ περίεργον μάταιον! ὥστε λοιπὸν ἐκεῖνα μόνον εἶναι πιστεύεις, ὅσα τῇ σῇ γνώσει καταλαβεῖν δύνασαι· ἔτι δὲ τὸν νοῦν ὑπερβαίνει τὸν σὸν, τοῦτο μήτε γενέσθαι, μηδὲ εἶναι πώποτε πάντως· ἀλλ' ἀπονοίας τοῦτο, ἵνα μὴ λέγω ἀνοίας, τεκμήριον· ὅρα γὰρ ποῦ ἀσεβείας αὕτη χωρεῖ ἡ ὑπόληψις· ὅτι πάντα τὰ ὑπὲρ κατάληψιν ἀναιροῦσα, τὰ περὶ τὸν Θεὸν, καὶ πρόγε πάντων αὐτὸν ἀναιρεῖ.

Ἀλλ' εἴπερ ὁ Θεὸς, οὔτε ψεύσασθαι, οὔθ' ἁμαρτῆσαι δύναται, οὔτε ἀρνήσασθαι ἑαυτὸν, πῶς ἀλλοίως ἑαυτοῦ γέγονε; Λεληθότως ταῖς τοῖς χείλεσί σου παγίσιν ἑάλως ὁ ταῦτα λαλῶν, καὶ ἡμῖν ταυτὰ συνομολογεῖς· ὅτι ὥσπερ οὔτε ἀρνήσασθαι ἑαυτὸν, οὔτε ψεύσασθαι, οὔθ' ἁμαρτῆσαι ὁ Θεὸς δύναται, οὕτως ἐπίσης οὔτε ἀλλοῖος γενέσθαι δύναται· ὅθεν οὔτε ἠλλοίωται ὁπωσοῦν, ἀλλ' ἀναλλοιώτως καὶ ἀτρέπτως καὶ ἀσυγχύτως σεσάρκωται· πλὴν τὸ οὐ δύναται τοῦτο λεγόμενον ἐπὶ Θεοῦ, οὐκ ἀσθενείας, ἀλλὰ δυνάμεως ἐστὶν ἀπόδειξις· εἰ δὲ καινὸν τὸ εἰρημένον, ὅμως παρεχόμεθα σαφῆ τὴν ἀπόδειξιν· ἐὰν γὰρ εἴπω ὅτι ἀδύνατον ἁμαρτῆσαι τὸν Θεὸν, οὐκ ἀσθένειαν αὐτοῦ κατηγορῶ, ἀλλὰ μεγίστην αὐτῷ μαρτυρῶ τὴν δύναμιν· ἐὰν εἴπω, ὅτι οὐ δυνατὸν ψεύσασθαι τὸν Θεὸν, καὶ εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει, ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται· ὁρᾷς τὸ οὐ δύναται, δυνάμεως σημεῖον ὂν παραστατικόν; καὶ τί λέγω ἐπὶ Θεοῦ; ἐπὶ γὰρ τῶν ὑλῶν τούτων τῶν αἰσθητῶν, γυμνάζω τὸν λόγον· ἐὰν εἴπω, ὅτι ὁ ἀδάμας οὐ δύναται διακλασθῆναι, ἄρα ἀσθένειαν

αὐτῷ. διὰ τὸ οὐ δύναται, ἢ μεγίστην δύναμιν μαρτυρῶ; ὅταν οὖν ἀκούσης, ὅτι οὐ δύναται ὁ Θεὸς ἁμαρτῆσαι, οὐδὲ δύναται ψεύσασθαι, οὐδὲ δύναται ἀρνήσασθαι ἑαυτὸν, μὴ ἀσθένειαν νομίσης ἐκ τοῦ μὴ δύνασθαι λέγεσθαι, ἀλλὰ δύναμιν σφόδρα μεγίστην· ὅτι τούτων καὶ τῶν τοιούτων ἀνεπίδεκτος ἡ οὐσία ἐκείνη, καὶ καθαρὰ καὶ ἀνωτέρα καὶ ἄβατος.

Ἔσω πλὴν εἴπερ σῶμα φορέσαι τὸν τοῦ Θεοῦ Λόγον ἐχρῆν, ἔδει ἐκ τῶν τιμίων σωμάτων λαβόντα, οἷον οὐρανοῦ, ἡλίου, ἀστέρων, ἢ ἐκ μὴ ὄντων ἄλλο τιμιώτερον τούτων σῶμα παραγαγόντα, ἐκεῖνο θεοπρεπῶς ἐπενδύσασθαι, οὐχὶ σάρκα ἐκ γυναικείων αἱμάτων δανείσασθαι, τὸ πᾶσιν ἀνθρώποις αἴσχιστον εἶναι δοκοῦν, καὶ ἀναξιώτατον τοῦ Θεοῦ τῆς θείας ἐκείνης καὶ ἀνυπερβλήτου μεγαλειότητος. Εὐφήμει ἄνθρωπε, καὶ ἐπίγνωθι, πρῶτον μὲν, ὅτι οὐχ ὁ οὐρανὸς, ἢ ὁ ἥλιος, ἢ τῶν ἄλλων ἀστέρων τις ἥμαρτεν, ἵνα ἐκείνου τὸ σῶμα φορέσας Θεὸς, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακλήσηται, ἀλλ' ὁ ἄνθρωπος ὃς παρέβη τὸν νόμον, καὶ πέπτωκεν, ὃς καὶ τοιαύτης βοηθείας ἐδεῖτο, οἵας ἄρα καὶ ἔτυχεν. Ἔπειτα οὐδὲ ἔοικεν ἑρμηνευτὰς ἡμᾶς εἶναι Θεοῦ, πῶς, καὶ τίνι τρόπῳ, ἐχρῆν τὸ μυστήριον αὐτὸν ἐργάσασθαι τὸ ἀπόῤῥητον· Οἷον δὲ καὶ τὸ ἀσύνηθες ἐκεῖνο καὶ ξένον σῶμα, τὸ καὶ τοὺς οὐρανοὺς, καὶ τὸν ἥλιον, καὶ τοὺς ἄλλους ἀστέρας, τῇ τιμιότητι ὑπερέχον τοῖς ἀνθρώποις ἐδόκει φανῆ; ἢ τίς τῷ οὕτως ἀστέκτῳ καὶ ἀπροσίτῳ προσεγγίσαι ἠνέχετο ἄν; εἰ γὰρ ἡλίου δίσκῳ προσπελάσαι πάσῃ θνητῇ φύσει ἀδύνατον, τί οὐκ ἂν ὑπέστημεν, εἴγε τούτου φύσις βελτίων συναναστραφῆναι ἡμῖν προσετέτακτο; Πῶς δέ σε κἀκεῖνο παρέδραμεν, ὅτι τὸ τιμιώτερον μὴ μόνον ἡλίου, ἀλλὰ καὶ παντὸς κτίσματος ὁρωμένου, ὁ, δι' ὃν πάντα παρήχθη, μόνος ὁ ἄνθρωπος ἦν, καὶ ἐστίν; ὃς καὶ τοσοῦτον πάντων σωμάτων ὑπερέχει τῷ τῆς τιμιότητος λόγῳ, ὅσον δούλων δεσπότης, καὶ ἀψύχων καὶ ἀλόγων, τὸ ἔμψυχον καὶ λογικὸν, καὶ Θεοῦ κατ' εἰκόνα γενόμενον;

Διατὶ δὲ μὴ πρὸ πεντάκις χιλίων, ἢ τριχιλίων ἐτῶν, τὴν ἔνσαρκον αὐτῦ παρουσίαν ἐποίησεν, ἀλλ᾽ ἐπ᾽ ἐσχάτων τῶν χρόνων; Ὅτι καθάπερ ἰατρὸς ἄριστος, οὐχ ὅταν τὸ πάθος αὔξησιν ἔχῃ τὴν ἔμπλαστρον τίθησιν, ἀλλ᾽ ὅταν πᾶσαν ἐκρήξῃ κακοχυμίαν, οὕτω καὶ ὁ μακρόθυμος φύσει, ἀνέμεινε παραχωρῶν πᾶσαν τελεσθῆναι κακίαν, καὶ οἷον τὸ οἴδημα πᾶν καθ᾽ αὐτὸ κορυφωθῆναι καὶ ἐξοιδῆσαι, καὶ τότε τὴν ἰατρείαν ἐπαγαγεῖν· ἐπεὶ τὰ μεγάλα τῶν νοσημάτων, καὶ πολλῦ χρόνου δεῖται πρὸς θεραπείαν, καὶ μακρᾶς διαίτης, καὶ μειζόνων βοηθημάτων· καὶ ὅτι τηνικαῦτα πρὸς τῶν Θεοπατόρων εἰς τὸν βίον παρήχθη ἡ προορισθεῖσα Μήτηρ τούτου γενέσθαι, οὐ πρότερον.

Καὶ τίνι λόγῳ τὴν τοῦ Ἀδὰμ μετάνοιαν ὁ Θεὸς οὐκ ἐδέξατο, ἐπὶ τριάκοντα ἔτη προσκλαίοντος αὐτῷ, μᾶλλον δὲ παρὰ πᾶσαν αὐτοῦ τὴν ζωήν; ἥτις, εἰ ἐγεγόνει εὐπρόσδεκτος, τὰ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου πάντως ἐνέλιπεν; Ὁπόταν ἡ μετάνοια πόῤῥωπου τῆς ἁμαρτίας ἀφίστησι τὸν μετανοοῦντα, τηνικαῦτα μετάνοια εἰκότως ἂν ὀνομάζοιτο· ἡνίκα δὲ πρὸς αὐτὸ ἐπανάγει τὸ πρᾶγμα, ἢ τὸν τρόπον, ἢ τὸν τόπον, ἐν ᾧ ὑποστρέψας ὁ δῆθεν μετανοῶν, τοῖς προτέροις, ἢ καὶ χείροσι περιπεσεῖται κακοῖς, οὐκέτι μετάνοια εἰκότως ἂν λέγοιτο· ἐπεὶ οὖν ὁ Ἀδὰμ μετὰ τὴν παράβασιν τοῦ ξύλου τῆς ζωῆς ἐφιέμενος τὸν παράδεισον ἐπεζήτει, ἐξ οὗπερ εἴγε συνεχωρήθη μεταλαβεῖν, ἀθάνατος ἔμελλε μένειν ὁ ἁμαρτωλὸς, διὰ τοῦτο παρεωρᾶτο μετανοῶν· καὶ ὅτι πᾶς ἁμαρτάνων πρός τι προσπαθῶς ἔχων, τὴν ἁμαρτίαν ἐργάζεται· καὶ πᾶς ὁ δικαίως τινὸς ζημιούμενος, τοῦ πρὸς ὃ προσπαθῶς ἔχει τὴν ζημίαν ὑφίσταται· ἥτις οὐ ζημία, ὥσπερ δοκεῖ, ἀλλὰ παιδεία καὶ νουθεσία ἐστίν· εἰ οὖν μετὰ τὴν στέρησιν τοῦ πρὸς ὃ τὴν προσπάθειαν κέκτηταί τις, προσκλαίει δῆθεν μετανοῶν, ἐπὶ σκοπῷ τοῦ συγχωρηθῆναι πάλιν ἐπαπολαύειν τοῦ ποθουμένου, οὐ μετάνοια τοῦτο, ἀλλὰ προσπάθεια ἄντικρυς· εἰ δὲ μὴ, παραχωρήσωμεν

καὶ

καὶ τῷ ἅρπαγι ὧν ἥρπασε χρημάτων, καὶ παντὶ τῷ μετὰ τὴν δικαίαν τιμωρίαν μετανοοῦντι, ἐπαπολαύειν ὧν ἐνδίκως τιμωρούμενος ἐζημίωται.

Διατί δὲ Θεὸς ὢν πανσθενέστατος, εἰς τόνδε τὸν κόσμον παραγενόμενος, μὴ πάντας ἠφάνισε τοὺς μὴ ὄντας Θεούς; Τοῦτο κἂν ἡμεῖς σιγήσωμεν, οἱ λίθοι, ὡς λόγος, κεκράξονται· καὶ γὰρ τοῦτο μόνον ἱκανὸν ἐστὶ πιστώσασθαι τοῦ Χριστοῦ τὴν Θεότητα, ὅτι οὐκ ἦν τόπος ἐπίσημος, ἢ χώρα, ἢ πόλις, ἢ νῆσος, ἢ ὄρος, ἢ λιμὴν, ἢ ἐπίνειον, ὅπου οὐκ ἦν τῶν εἰδώλων βωμός· καὶ πάλιν οὐκ ἦν Βασιλεὺς, ἢ Τύραννος, ἢ Σατράπης, ὃς μὴ διαφέροντας τοῖς ἄλλοις Θεοὺς καὶ ἡγεῖτο, καὶ προσεκύνει· ἀλλὰ πάντας ἐκεῖνος ἐλθὼν ὁ Χριστὸς, τούστε βωμοὺς ἠφάνισε, καὶ τὴν πολυθεΐαν κατήργησε, καὶ εἰς μίαν πίστιν ἅπαντας ἀγαγὼν, ἕνα Θεὸν ἡγεῖσθαι διδάξας καὶ προσκυνεῖν, πᾶσαν τὴν γῆν τῆς ἑαυτοῦ δόξης ἐπλήρωσε.

Τὶ δήποτε οὖν ὥσπερ τὸν τύραννον ἔδησε, καὶ τὴν εἰδωλολατρείαν κατήργησε, μὴ καὶ τοὺς τῆς Ἐκκλησίας αὐτοῦ διώκτας ἀφανισμῷ παραδίδωσιν; Ὅτι οὔπω τῆς κρίσεως ὁ καιρὸς, οὐδὲ βιάζεται τὴν ἀρετὴν, οὐδὲ τὴν κακίαν κωλύει· πρὸς δὲ, καὶ ὅτι διὰ τῶν φαύλων πάντοτε τὰ καλὰ καὶ δείκνυται, καὶ θαυμάζεται· ἕκαστον δὲ αὐτὸ καθ᾽ αὐτὸ καὶ μόνον φαινόμενον, περιττὸν εἶναί τι καὶ ἀχρεῖον δοκεῖ· εὐθὺς γὰρ τοῦ σκότους ἡ ἀμορφία, τὴν τοῦ φωτὸς καλλονὴν ἐμφαίνει τὰ μάλιστα· καὶ τῆς ὑγιείας τὸ χρήσιμον ὅσον, ἡ τυραννὶς τῆς νόσου παρίστησι· καὶ τὸ τῆς φρονήσεως ἀναγκαῖον, ἡ τῆς ἀγνωσίας δείκνυσιν ἀβελτηρία· καὶ τῆς ὀρθοδοξίας τὸ χρῆμα, οἱ κατὰ καιροὺς αἱρετικοὶ διελέγχουσιν, ὡς ἐξαίρετον· καὶ τὸ τῆς Ἐκκλησίας ἀήττητον, ἡ τῶν ἐναντίων ἐπίθεσις φανεροῖ· χρὴ γὰρ καὶ αἱρετικοὺς ἐν αὐτῇ πάντως εἶναι, ἵνα οἱ δόκιμοι φαίνωνται.

Διατί οὖν λέγεται, ὅτι τὴν κατάραν ἔλυσε, καὶ τὸν θάνατον κατήργησεν ἐλθὼν ὁ Χριστὸς, πάντων πάλιν ἀποθνη-

ποθνησκόντων ὡς πρότερον; Διὰ τὴν τοῦ κυριακοῦ σώματος ἀνάστασιν, καὶ διὰ τὴν τῶν ψυχῶν ἐκ τοῦ ᾅδου λύτρωσιν, καὶ τὴν πρὸς τοὺς οὐρανοὺς ἐκεῖθεν ἀνάβασιν· οὐ μόνον τῶν τότε κατὰ τὴν ἡμέραν τῆς αὐτοῦ ἀναστάσεως ἀπολυθεισῶν, ἀλλὰ καὶ τῶν ἔκτοτε καθ᾽ ἑκάστην ἀνιουσῶν ἐντεῦθεν· πρὸς δὲ, καὶ διὰ τὴν ἀνάστασιν τῶν ἐν τῇ Σταυρώσει αὐτοῦ, καὶ μετὰ ταῦτα διὰ τῶν ἁγίων αὐτοῦ προφανῶς ἀναστάντων νεκρῶν, καὶ τῆς τοῦ θανάτου πρὸς τῶν ἁγίων μαρτύρων καταφρονήσεως, τῆς εἰσέτι καὶ νῦν γιγνομένης, καὶ γενησομένης εἰς ἔπειτα.

Τί οὖν; οὐκ ἀποθνήσκουσι πάντες οἱ χριστιανοὶ, ὥσπερ καὶ οἱ πρὸ τοῦ ἐλθεῖν τὸν Χριστὸν ἄνθρωποι; Ναὶ, ἀποθνήσκομεν, καὶ τῇ γενέσει πάντως λειτουργοῦμεν τὰ ὀφειλόμενα· ἀλλ᾽ οὐ καταβαίνομεν εἰς ᾅδου, οὐδὲ κατεχόμεθα ἐκεῖ δέσμιοι ὡς τὸ πρότερον, ὅτε κατειχόμεθα τῷ θανάτῳ, τῷ τῆς ἁμαρτίας ἐνεχόμενοι γραμματίῳ· ἀλλ᾽ εἰς τὸν οὐρανὸν ἀναβαίνομεν, ὅπου ὁ Χριστὸς ἡμῶν ἐστὶν ἐν τῷ Θεῷ. Θάνατος δὲ ἐκεῖνος ἐστὶν, ὅταν μηκέτι συγχωρῆταί τις, μετὰ τὸ θανεῖν ἐπανελθεῖν εἰς ζωήν· ὅπου δὲ θανόντες μετὰ θάνατον πάλιν ζῶμεν, καὶ ζωὴν πολλῷ τῆς προτέρας καὶ ἀσυγκρίτως ἀμείνονα, οὐ θάνατος τοῦτο προδήλως ἐστὶν, ἀλλὰ κοίμησις, καὶ πρὸς τὴν ἀληθῆ ζωὴν πορεία, καὶ ἐπανέλευσις.

Καὶ τί δήποτε μὴ καὶ τὸ Σῶμα Χριστοῦ τὰ σώματα τῶν δικαίων ἀνέστησεν, ὥσπερ ἡ ψυχὴ αὐτοῦ καταβᾶσα εἰς ᾅδου, τὰς τῶν ἐκεῖ πεπιστευκότων ψυχάς; ἢ διατὶ μὴ καὶ τῶν καθ᾽ ἑκάστην θνησκόντων ἀνίστησιν; Ὅτι δεῖ πάντας ἐν μιᾷ καιροῦ ῥοπῇ τελειωθῆναι, ὥστε ἀπολαβεῖν ἕκαστον, τὰ διὰ τοῦ σώματος καὶ τῆς ψυχῆς τούτῳ πραχθέντα ὁμοῦ τοῖς ἅπασι, καὶ μὴ οἱ μὲν τῶν ἁγίων πρὸ τοσούτων ἐτῶν ἀναπαύωνται, οἱ δὲ τοῦ χρεὼν ἀπολίπωνται· καὶ ἵνα μὴ τούτου γεγονότος, ἡ συντέλεια, καὶ ἡ ἀνάστασις, καὶ ἡ κρίσις ἀπελπισθῇ.

Διατὶ

Διατὶ μὴ πολλοῖς μετὰ τὴν ἀνάστασιν ὤφθη ὀφθαλμοφανῶς, ὥστε ταύτην τοῖς πᾶσι βεβαίως πιστώσασθαι; Καὶ τοῦτο εἰργάσατο πάνυ θεοπρεπῶς, προδηλότατα καὶ ἀναφανδὸν, ἐπάνω πεντακοσίοις ὀφθεὶς ἀδελφοῖς, τοῖς Ἀποστόλοις ἅπασι, καὶ πολλοῖς τῶν ἁγίων· ἔφαγεν ἐνώπιον αὐτῶν, ἔπιεν, ἐψηλαφήθη, ὡμίλησε, συνεκάθισε πολλοῖς, καὶ συνώδευσε, τὴν ἀνάστασιν πᾶσι πολυτρόπως πιστούμενος· εἰ δὲ μὴ πᾶσι πιστοῖς καὶ ἀπίστοις ἐπίσης, ξένον οὐδέν· οὐδὲ γὰρ τοιαύτης ὀπτασίας οἱ πάντες ἄξιοι, ὥστε τὰ ἄφθαρτα σώματα ἀδεῶς καθορᾶν· καὶ ἵνα μὴ ἐντεῦθεν φαντασία δοξασθῇ ἡ οἰκονομία, ἢ ψευδὴς ἡ σταύρωσις αὐτοῦ τοῖς Χριστομάχοις ὑποπτευθῇ· καὶ ὅτι τὰ μὲν φθαρτὰ σώματα, φαίνεσθαι μόνον παρόντα, οὐ μὴν καὶ μὴ φαίνεσθαι χάριν ἔχει, τὸ μέν τοι σῶμα τὸ ἄφθαρτον, καὶ ἀμφότερα.

Καὶ πῶς, ἢ πόθεν ἐστὶ τοῦτο δίκαιον, ἵνα καὶ οἱ δίκαιοι ὡς οἱ ἁμαρτωλοὶ, καὶ τοῖς ἀπίστοις ἐπίσης συναποθνήσκωσιν οἱ πιστοί; Ὅτι οὐ φύσει πιστοὶ, καὶ δίκαιοι, καὶ ἅγιοι γίνονται, ἵνα καὶ τὸν θάνατον τῇ φύσει διάφορον τοῖς ἁμαρτωλοῖς ὑπομένωσιν, ἀλλὰ προαιρέσει· ἡ αὐτὴ γοῦν φύσις τὰ αὐτὰ, ἅτε παθητὴ, πάθη φέρουσα, καινὸν οὐδὲν πάσχειν δόξει παρὰ κριταῖς τὸν νοῦν ὑγιαίνουσι.

Τί οὖν καὶ πάντας τοὺς ἑαυτοῦ, καὶ τούτων μάλιστα τοὺς οἰκειοτάτους, θλίβεσθαι καὶ δεινὰ πάσχειν μυρία παραχωρεῖ; Ὅτι ἄνευ πόνων οὐδὲν τελεῖται χρηστὸν, καὶ ἀθλήσεως δίχα οὐδεὶς στεφανοῦται δικαίως ποτέ· καὶ αὐτὸς δὲ οὕτω τὸν βίον διήνυσε, καὶ οἱ αὐτοῦ πάντες τοῦτο αἰτοῦσιν ἀεὶ, δεόμενοι κακοπαθεῖν ἐνταῦθα, ἵν᾽ ἐκεῖ ἀναπαύσωνται· ἄλλως γὰρ σωθῆναι, τῶν ἀμηχάνων ἐστί.

Διατὶ δὲ τὴν τοῦ ψευδοπροφήτου ἔλευσιν, θελήσει τοῦτο δυνάμενος, μὴ ἐκώλυσεν, ἀλλ᾽ ἐλθὼν ἐκεῖνος πάντα σχεδὸν ἀνέτρεψε τὸν Χριστιανισμόν; Ἄπαγε! ἀλλὰ ταῦτα πάντα συμβαίνει, τῷ τὴν συντέλειαν τοῦ κόσμου ἐγγίζειν, καὶ τὴν τοῦ Ἀντιχρίστου πρὸ ταύτης ἔφοδον, οὗ

πρόδρομος οὗτος ἐστίν. Ἔτι δὲ ἔχονται τῆς εἰς Χριστὸν πίστεως τῶν ἡμῖν ἐγνωσμένων ἐθνῶν, Ἰνδοὶ, καὶ Αἰθίοπες, οἵ τοσοῦτοι εἰσὶ τῷ πλήθει, ὡς μόνοι παραβάλλεσθαι πρὸς τὴν λοιπὴν οἰκουμένην· σὺν αὐτοῖς δὲ οἱ τὴν Ἀσίαν, καὶ τὴν Εὐρώπην, καὶ πάσας τὰς Βρετανικὰς Νήσους οἰκοῦντες· πέντε μόνον ἔθνη, ἀλογίᾳ συζῶντες, καὶ πρότερον κατὰ κράτος ἐκείνῳ δεδούλωνται· Πέρσαι, καὶ Σκύθαι, Σαρακηνοὶ, Ἰσμαηλῖται, καὶ Ἄραβες· ἃ καὶ φθαρήσεται σὺν τῷ Ἀντιχρίστῳ, καὶ τῷ ψευδοπροφήτῃ, τῷ ῥήματι τοῦ Χριστοῦ μετ' ὀλίγον, καὶ ἐμβληθήσεται εἰς τὴν λίμνην τοῦ πυρὸς, καὶ τοῦ θείου, καὶ εἰς αἰῶνας βασανισθήσονται.

Καὶ πῶς, εἰς μὲν τὰ ἄλλα τῶν Γενῶν οὐκ ἔστι συντέλεια, εἰς δὲ τὸ τῶν Ῥωμαίων ἔθνος μόνον; Τοῦτο καὶ γὰρ θεηλάτους ἡμᾶς εἶναι, καὶ σφόδραγε ἀποστόργους παρὰ πάντα τὰ ἔθνη κατηγορεῖ. Ὅτι οὐδὲν τὴν μέσην ἔλαχε χώραν, ὡς τοῦτο, οὐδὲ φθονουμένην πρὸς τῶν δαιμόνων οὕτω πίστιν ἐκτήσατο· ἐπεὶ πολλὰ τῶν Ἐθνῶν πιστεύει μὲν εἰς Χριστὸν, οὐ τοσοῦτον δὲ τῶν καλῶν ἐπιμέλονται· τὸ δὲ ἡμέτερον ὑπὲρ πάντα, καὶ ἐγκρατείας, καὶ σωφροσύνης, καὶ προσευχῆς, καὶ τῶν τοιούτων πολλὴν ποιεῖται τὴν ἐπιμέλειαν, ἐξ ὧν οἱ δαίμονες πρὸς φθόνον κινούμενοι, ἔθνη τὰ τοὺς πολέμους θέλοντα καθ' ἡμῶν ἐπεγείρουσι· καὶ ἔοικε τοῦτο τὸ Γένος δένδρῳ μεγάλῳ καὶ ὑψηλῷ, ποικίλοις μὲν ἄνθεσι κομῶντι καὶ παντοίοις βρίθοντι καρποῖς, ὑπὸ δὲ πάντων θηρίων τῆς γῆς, καὶ τοῦ οὐρανοῦ τῶν πετεινῶν, διὰ ταῦτα πολεμουμένῳ. Κἀκεῖνο δὲ χρὴ πρὸς τοῦτο σκοπεῖν, ὅτι πάντα τὰ τοῦ προσκαίρου αἰῶνος, ὡς ὄναρ παρέρχεται, κἂν δοκῇ ἄλλο ἄλλου μονιμώτερον εἶναι, ἢ ἰσχυρότερον, ἢ κατὰ δόξαν διαφέρον, ἢ πλῆθος, ἤ τι τῶν ὅσα τῆς ῥευστῆς ἐστὶ φύσεως· ὡς οὖν ἐφ' ἑνὸς ἑκάστου τῶν καθ' ἡμᾶς ἐλαχίστων ἀνθρώπων, καὶ εὐτελῶν χωρίων, καὶ λαῶν ἀνωνύμων δι' ὀλιγότητα, γινόμενον ἐστὶν ἰδεῖν, ὅτι ὁ σήμερον ζῶν καὶ φαινόμενος, καὶ δοκῶν μέγας εἶναι διὰ κουφότητα, αὔριον ἄπεισι τελευτήσας,

καὶ

καὶ μὴ δὲ σκιὰν τῆς ἑαυτοῦ ἐμφανείας καταλιπών· καὶ ἐνταῦθα, ὅπου ἡ δεῖνα ἔκειτο Κώμη, οὐδὲ κἂν μιᾶς ἴχνος οἰκίας ἐστιν ὁρᾶν· καὶ ἥδε Φυλὴ, ἡ διὰ τὸ πλῆθος ἐγκαυχωμένη τῶν λοιπῶν ὑπερέχειν, ἠφάνισται· οὕτω καὶ ὁ μέγιστος Βασιλεὺς ἐν ἀνθρώποις, καὶ ἡ πολυάνθρωπος Πόλις, καὶ τὸ ἄπειρον Ἔθνος, κἂν δοκῇ μονιμωτέρως ἐπιπολάζειν τῷ βίῳ, ἀλλ' οὖν τέλος ὑφίσταται τέως, ἢ ἀπεκδέχεται πάντως· κἂν τῷ πλήθει, ἢ τῷ μεγέθει, ἢ τῇ ἰσχύϊ δόξῃ τῶν ἄλλων ὑπεραίρειν τῶν ἐν τῇ γῇ· εἰδὲ μὴ, ποῦ Κῦρος; ποῦ Δαρεῖος; ποῦ Ἀλέξανδρος; ποῦ Καῖσαρ ὁ Αὔγουστος; ποῦ Ξέρξης ἐν βασιλεῦσιν; ἢ ποῦ οἱ τὰς πολιτικὰς δυναστείας περιβεβλημένοι; οἱ δυσμαχώτατοι ῥήτορες; οἱ τὰς πανηγύρεις διατιθέντες; οἱ λαμπροὶ ἱπποτρόφοι; οἱ στρατηγοί; ἢ ποῦ Νινευΐ, Σοῦσα, Ἐκβάτανα, Βαβυλὼν, Ἀντιόχεια, ἄλλαι μυρίαι ἐν πόλεσιν, ὧν οὐδὲ τὰ ὀνόματα οἱ πλείους ἴσμεν; ποῦ Μασσαγέται, καὶ Μῆδοι, καὶ Πάρθοι, καὶ Ἐλαμῖται, καὶ Χαλδαῖοι ἐν τοῖς ἔθνεσιν; οὐ πάντα μῦθος; οὐ πάντα κόνις; οὐ πάντα διήγημα μόνον, καὶ ὀνείρων σκιά; ὥστε μὴ καυχάσθω τις ἐν πλήθει γένους, καὶ τυράννων δυνάμει, καὶ πόλεων μεγέθει τῶν νῦν ὄντων, καὶ μετ' ὀλίγον οὐκ ἐσομένων. Εἶτα τὸ μὲν ἡμέτερον Γένος διεσπάρη μόνον οὐμὴν ὤλετο· τὰ δὲ προρρηθέντα καὶ ἄλλα γένη μυρία, πανωλεθρίαν ὑπέμεινεν.

Ἀλλ' ἴσμεν ὅτι ὃν ὁ Θεὸς ἀγαπᾷ, εὐεργετεῖ τοῦτο πᾶν ἔτι αἰτήσει, πληθύνει τοῦτον, δοξάζει, τιμᾷ· ὃν δ' ἀποστρέφεται καὶ μισεῖ, ζημιοῖ, ἐλαττοῖ, καταισχύνει, πᾶσι περιβάλλει κακοῖς· ὁρῶμεν οὖν τὸ τήμερον, ὅτι τὸ τῶν Ἰσμαηλιτῶν γένος, καὶ εἴτι ἄλλο τῷ τοῦ ψευδοπροφήτου νόμῳ στοιχεῖ, εὐπραγεῖ, εὐημερεῖ, εὐτυχεῖ· ἡμεῖς δὲ τὸ χριστώνυμον ἔθνος, πάντα πάσχομεν τἀναντία· ὅθεν ἔστι τεκμαίρεσθαι, ὅτι πλεῖον ἀρέσκειαι τοῖς ἐκείνων ὁ Θεός· διὰ τοῦτο καὶ γὰρ παρ' αὐτοῦ δοξάζεται πᾶς ὁ στοιχῶν· Σίγα μὴ πρόσῃ τὸ βλάσφημον· ὡς ἔοικε γὰρ, ἢ οὐκ οἶδας τίσι τὸ θεῖον ἀρέσκεται, καὶ τίσι πρὸς

τῶν ἀνθρώπων εὐαρεϛέμενον ἀμοιβὰς τῆς εὐαρεϛήσεως ἀποδίδωσιν, ἢ ἐπιϛάμενος τῦτο σεαυτὸν ἀπατᾷς. Καὶ τίσι τὸ θεῖον εὐαρεϛεῖται λοιπόν; ἀρεταῖς· ἀγάπῃ δηλαδὴ, καὶ πραΰτητι, καὶ εἰρήνῃ, καθαρότητι, ταπεινώσει, ϗ ταῖς ἑπομέναις αὐταῖς· ἐκ δὲ τῶν εὐπραγιῶν καὶ τῆς εὐημερίας, ὐδεμία τῶν ἀρετῶν τέτων τίκτεται· ἀλλὰ πᾶσαι γεννῶνται αἱ ἀντικείμεναι ταύταις κακίαι, ἤγυν μάχαι, θρασύτητες, ἀσέλγειαι, ἀλαζονεῖαι, καὶ ὅσα ταύταις παρέπονται· ὅθεν τὸ εὐτυχῦν καὶ εὐπραγῦν τυτὶ γένος, ἀῤῥενομανίαις, καὶ ζωοφθορίαις, ϗ πάσαις ἀκαθαρσίαις καὶ αἰσχρυργίαις, καὶ αἱμάτων ἐκχύσεσιν ἀνθρωπίνων, ὐ διαλείπει χραινόμενον· ϗ τὸ δὴ χεῖρον εἰς ἀλογίας καὶ ὠμότητος λόγον, ϗ πάσης δόξης βλασφήμυ πλέον, ὅτι ταῦτα καὶ χείρονα πράττον, ὐδὲν ἀπιθανὲς ὐδὲ παράλογον δοκεῖ πράττειν, ἀλλὰ καὶ τὸ θεῖον συνεργὸν ἔχειν εἰς ταῦτα, καὶ εὐδοκεῖν ἐν αὐτοῖς· κλέπτει γὰρ αὐτὺς ἡ κατὰ τὸν βίον ῥαϛώνη, καὶ τὸ ἑαυτῶν συνειδὸς ἀναπείθει παραλογίζεσθαι, καὶ εἰς λήθην ἰέναι τῆς οἰκείας φαυλότητος, νομίζοντας ἑαυτὺς κεχαρισμένυς εἶναι Θεῷ· ἆρ᾽ ὖν ὐχὶ φρίξαι πρὸς ταῦτα ἐϛὶ, καὶ συϛαλῆναι τὺς αἴσθησιν ἔχοντας; νενόηται τῦτο σὺν λόγῳ; ἢ ϛέργεται πρός τινος ἔχοντος νῦν, ὅτι τὺς τοιαῦτα ποιῦντας εὐεργεσίαις τὸ θεῖον ἀμείβεται; Διὰ γὰρ τῦτο φησὶ καὶ παρὰ Θεῦ δοξάζεται, πᾶς ὁ τῆς δόξης ταύτης ἐχόμενος. Ὡς ἀπώλοιτο ἡ τοιαύτη δόξα, καὶ ὁ ταύτης αἴτιος δαίμων, καὶ οἱ δοκῦντες αὐτὴν τὸν Θεὸν ἔχειν αἴτιον! αὕτη ἐϛὶν ἡ παρὰ Θεῦ, τῆς εἰς τὸν πλάνον πίϛεως ἀντάμειψις; τρυφὴ, βλακεία, μέθη, ἄνεσις, αἰσχρυργία, καὶ τὰ τύτοις ἑπόμενα; καὶ πῶς ὁρῶμεν διὰ ταῦτα Κατακλυσμῷ τὺς Γίγαντας ἀφανισθέντας, καὶ τὺς Σοδομίτας πυρὶ καὶ θείῳ κατακαυθέντας, καὶ τὺς Ἰσραηλίτας, ἐν τῇ ἐρήμῳ ὑπὸ ὄφεων κατατρωθέντας· δοξάζει Θεὸς τὺς αὐτῦ, ἀλλὰ χαρίσμασιν, ἐλλάμψεσι, θαύμασι, καὶ πρὸς τύτοις δόξῃ ἀφθάρτῳ καὶ αἰωνίῳ· αὕτη δὲ ἐϛὶ, τὸ διὰ παντὸς ἐκείνῳ συνεῖναι, καὶ κατατρυφᾷν τῆς αὐτῦ καλλονῆς καὶ λαμπρότητος, καὶ ἀπολαύειν,

νειν, ὧν ἡτοίμασεν ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν· ὡς τάγε πρόσκαιρα ταυτὶ ἀγαθὰ, φλυαρία τις ἔοικεν εἶναι, καὶ λῆρος, καὶ ὄνειρος. Οὐκοῦν ἐκείνους ἀληθῶς εὐσεβεῖς καὶ κεχαρισμένους τῷ Θεῷ νομίζομεν, οἷς ἐν δυσχερείαις καὶ θλίψεσιν ὁ παρὼν βίος ἀνύεται, καὶ μάλα· ἐπεὶ πάντως κρεῖττον, ἡμέραν μίαν τινὰ πιεσθέντα θλίψεσιν, ἐν ἀνέσει τὸν ἅπαντα βίον διαγαγεῖν, ἢ κατὰ τὸ πρόχειρον ἀνέσεως ἀπολελαυκότα, τὸ ἑξῆς ἅπαν τοῦ βίου κολάζεσθαι· καὶ ἐξέτασον ἑκάστου τῶν ἀπ' αἰῶνος τῷ Θεῷ εὐαρεστησάντων τὸν βίον, καὶ εὑρήσεις πάντας ἐν δυσχερείαις τοῦτον ἀνύσαντας. Οὕτως οἱ πρὸ τοῦ Κατακλυσμοῦ, καὶ οἱ μετὰ τὸν Κατακλυσμόν· οὕτως οἱ πρὸ τοῦ νόμου, καὶ μετὰ τὸν νόμον· καὶ ἑνὶ λόγῳ οἱ ἐξ Ἀδὰμ μέχρις ἡμῶν Πατριάρχαι, Προφῆται, Δίκαιοι, οὕτως ἔζησαν· καὶ οὐ τὸ νῦν εἶναι μόνον, οὕτω Θεὸς τὰ τῆς σωτηρίας ἡμῖν πραγματεύεται, ἀλλὰ καὶ ἐπὶ τῆς πάλαι νομοθεσίας, μυρίαις τὸ τῶν Ἑβραίων γένος (ὃ ἐπίλεκτον τηνικαῦτα ὑπῆρχε Θεῷ) ὡμίλει ταῖς περιστάσεσι· νῦν μὲν γὰρ Αἰγυπτίοις ὑπεῖκε δουλεῦον, οἳ καὶ ἀπηνέστατα προσεφέροντο τούτῳ, τῇ βαρύτητι τῶν ἔργων μέχρι καὶ αὐτοῦ τοῦ θανάτου καταπιέζοντες· νῦν δὲ εἰς Βαβυλῶνα ἀπαγόμενον, καὶ δουλείαν ὑπομένον χαλεπωτάτην· εἶτα ὑπὸ Ἀντιόχου τὰ ἀνήκεστα πάσχον δεινὰ, καὶ ὑπὸ τῶν ὁμόρων αὐτῷ βαρβάρων ἀεὶ ἐνοχλούμενον· τί οὖν; ἀποφαίνοιτ' ἄντις καὶ τοῦτο μεμισῆσθαι παρὰ Θεῷ, καὶ διὰ τοῦτο τοῖς ἀλλοφύλοις παραδίδοσθαι εἰς ἐπήρειαν, στέργεσθαι μέντοι τοὺς σεβομένους τὸν Βὴλ, καὶ τὴν Ἀστάρτην, καὶ τὸν Κροκόδειλον; ἀλλ' οὐκ ἐντεῦθεν δεῖ τεκμαίρεσθαι τὴν τοῦ Θεοῦ πρὸς ἀνθρώπους εὐμένειαν ἢ ἀπέχθειαν, οὔτε μὴν τὴν τῶν ἀνθρώπων εἰς αὐτὸν εὐσέβειαν ἢ δυσσέβειαν, οὐδ' αὖ τὴν αὐτῶν ἀρετὴν, ἢ τὴν κακίαν στοχάζεσθαι· μᾶλλον δὲ χρὴ σκοπεῖν, ὡς καὶ τηνικαῦτα γέγονε, καὶ νῦν γίνεται τὰ γινόμενα· ὅτι ὃν τρόπον καυχῶνται νῦν ἐπὶ πλήθει, καὶ πλούτῳ, καὶ δυναστείᾳ τινὲς, καὶ καθ' ἡμῶν ὁμόσε χωροῦντες μέγα ἐπὶ τούτῳ ἐναμβρύνονται καὶ βρενθύουσι, τὸν αὐτὸν τρόπον Χαναναῖοι, Αἰγύπτιοι, καὶ Χαλδαῖοι,

δαῖοι, καὶ πάντες Ἀλλόφυλοι, τȣ̀ς ἐπιλέκτȣς τῶν Ἰȣδαίων καταδȣλȣ͂ντες ἐλοιδόρȣν, ἔβαλλον σκώμμασι, τὰ ἐκείνων διέσυρον πάντα, ἐχλεύαζον, ἐκερτόμȣν, ἐτώθαζον· ἀλλ᾿ ἐκεῖνα μὲν τὰ ἄπειρα πλήθη ἐγένοντο ὡσεὶ κόπρος τῇ γῇ, τῶν δ᾿ εὐχαρίςως τὰ δεινὰ ἐκεῖνα ὑπομεινάντων, εἰς τὸν αἰῶνα ἡ μνήμη μένει.

Ἀλλ᾿ ἔςι τὸν τῷ Θεῷ ἀγαπώμενον, τῆς πρὸς αὐτὸν μόνον πίςεως μισθὸν ἀπολαύοντα, καὶ προσκαίρȣ πάσης, καὶ αἰωνίȣ ἀπηλλάχθαι κολάσεως, καὶ προσκαίρȣ πάλιν ὑπὲρ αὐτῆς μόνης, καὶ αἰωνίȣ ἀπολαύειν ἀνέσεως. Οὐκ ἔςι ταῦτα, ȣ̓κ ἔςι· πάντη ταῦτα τῶν ἀδυνάτων ἐςίν· εἰ γὰρ ἐνεδέχετο ταῦτα γίνεσθαι, ȣ̓κ ἂν ὁ πιςεύσας ἐξ ὅλης ψυχῆς εἰς τὸν Θεὸν Ἀβραάμ, (περὶ ȣ̔ φησὶν ἡ θεία Γραφή, „ ἐπίςευσε δὲ Ἀβραὰμ τῷ „ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην) τοσαύτας ἐν „ ἀλλοτρίᾳ ὑπέςη κακοπαθείας· ȣ̓κ ἂν ὁ τῷ Θεῷ ἀγαπώμενος Ἰακὼβ, (περὶ ȣ̔ αὐτὸς δι᾿ αὐτȣ͂ φησὶν ὁ Θεὸς, „ τὸν Ἰακὼβ ἠγάπησα) τοσαύτας θλίψεις ὑπέμεινεν· ȣ̓κ ἂν τοσαῦτα ἔτη ὁ Ἰὼβ ἐν τῇ κοπρίᾳ ἐκάθητο, περὶ ȣ̔ πάλιν αὐτὸς εἶπεν ὁ Θεὸς, „ ὅτι ȣ̓κ ἔςιν ἄνθρω- „ πος ὅμοιος αὐτῷ τῶν ἐπὶ γῆς, ἄνθρωπος ἄμεμπτος, „ δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηρȣ͂ πράγματος· ȣ̓κ ἂν Μωϋσῆς ὁ Θεόπτης, ἐν τε Αἰγύπτῳ καὶ ἐρήμῳ τοσȣ́τȣς ἔτλη κινδύνȣς „ ᾧ ὁ „ Θεὸς ἐλάλησεν ἐνώπιος ἐνωπίῳ, ὡς εἴτις λαλήσει πρὸς „ ἑαυτȣ͂ φίλον· ὃν καὶ πληροφορῶν ἔλεγεν „ οἶδά σε παρὰ πάντας, καὶ χάριν ἔχεις παρ᾿ ἐμοί· ȣ̓κ ἂν ὁ θεῖος Δαβὶδ τοσαύταις περιςάσεσι συνεπλάκη, περὶ ȣ̔ ἔφη αὐτὸς ὁ Θεὸς „ εὗρον Δαβὶδ τὸν τȣ͂ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν ἐμὴν καρδίαν· ȣ̓κ ἂν Ἠλίας, Ἱερεμίας, καὶ Ἠσαΐας, καὶ Δανιὴλ, καὶ οἱ ἐν Βαβυλῶνι παῖδες, τοσαύταις θλίψεσι περιέπεσον· ȣ̓κ ἂν πάντες οἱ ἅγιοι, οἱ ἀληθῶς πιςοὶ καὶ ἠγαπημένοι Θεῷ, πειραζόμενοι καὶ κινδυνεύοντες πολυτρόπως τὸν βίον τȣ͂τον διήνυσαν. Χρὴ δὲ κἀκεῖνο εἰδότας, τῷ Θεῷ ἐπὶ πᾶσιν εὐχαριςεῖν, ὅτι

ὅσων

ὅσων καλῶν τὴν στέρησιν φέρομεν εὐχαρίστως ἐνθάδε, τούτων ἡμῖν ἡ ἀπόλαυσις ἐν τῷ μέλλοντι θησαυρίζεται χρόνῳ, φθειρομένη μηδέποτε· ἢ καὶ εἰς χρέους ἁμαρτημάτων ἔκτισιν, αὕτη λογίζεται παρὰ τῷ Θεῷ· καὶ πάλιν, ὅσωνπερ, ἄλλων στερουμένων, ἐνταῦθα ἡμεῖς ἀγαθῶν ἀπολαύομεν, τούτων ἡμῖν ἡ στέρησις ἐκεῖ αἰωνίως ταμιεύεται· ὡς γὰρ ἀδύνατον ὧδε κἀκεῖσε δι' ὅλου κολάζεσθαι, οὕτως ἀμήχανον ἐνθάδε κἀκεῖ ἀναπαυθήσεσθαι.

Ταῦτα τοίνυν εἰδότες ὑμεῖς, οἱ τῆς ὀρθοδόξου πίστεως πρόβολοι, καὶ τοῦ ἁγίου ἔθνους ἐξαίρετοι, καὶ τῆς ὑπερθέου Τριάδος ὑπέρμαχοι, μήτε κατὰ τοῦ Γένους ὑμῶν αὐτῶν δυσχεραίνετε, ὅτι ὑμεῖς ἐστὲ μόνοι τῶν Ῥωμαίων τὸ ἄνθος, οἱ τῆς πρεσβυτέρας Ῥώμης ἀπόγονοι, καὶ τῆς νέας ταύτης υἱοί· μήτε κατὰ τῆς ἡμῶν πίστεως ἀγανακτεῖτε τὸ σύνολον, ὅτι οὐκ ἔστιν ἄλλη ἐν τῇ ὑπ' οὐρανὸν εὐσεβής τε καὶ ἀληθὴς, καὶ καθαρὰ, καὶ ὀρθὴ, εἰμὴ αὕτη καὶ μόνη· μήτε γογγύζετε κατὰ τοῦ Θεοῦ, ὅτι οὐ μισῶν ἡμᾶς καὶ ἀποστρεφόμενος συγχωρεῖ περιπίπτειν τοῖς πειρασμοῖς, ἀλλὰ καθαίρει δι' αὐτῶν, ἀξίους τῆς ἑαυτοῦ βασιλείας ποιούμενος· καὶ εἰ βούλεσθε, προσέχετε τοῖς Πατράσι, περὶ τούτων εἰσηγουμένοις ἡμῖν.

Ἔξεστι λέγουσι παντὶ Χριστιανῷ τῷ ὀρθῶς πιστεύοντι εἰς Θεὸν, μὴ ἀμεριμνεῖν, ἀλλὰ πάντοτε προσδοκᾶν καὶ ἐκδέχεσθαι πειρασμοὺς, ἵνα ὅταν ἔλθῃ μὴ ξενίζηται, μηδὲ ταράττηται· ἀλλ' εὐχαρίστως ὑπομένειν τὸν κόπον τῆς θλίψεως, καὶ ἐννοεῖν τί ψάλλων σὺν τῷ Προφήτῃ λέγει „ δοκίμασόν με Κύριε καὶ πείρασόν με" οὐκ εἶπον ἡ „
παιδείασου κατέστρεψέ με, ἀλλ' ἀνώρθωσέ με εἰς τέλος· „
καὶ πάλιν, πάντα ἄνθρωπον ὠφελεῖ ὁ πειρασμός· „
ἐὰν γὰρ τὸν Παῦλον ὠφελῇ, πᾶν στόμα φραγήσεται, καὶ ὑπόδικος γίνεται πᾶς ὁ κόσμος τῷ Θεῷ· οἱ ἀγωνισταὶ πειράζονται, ἵνα προσθήσωσι τῷ πλούτῳ αὐτῶν, οἱ χαῦνοι ἵνα ἐκ τῶν βλαπτόντων φυλάξωνται ἑαυτοὺς, οἱ ὑπνώττοντες, ἵνα εἰς ἐξυπνισμὸν ἑτοιμασθῶσι, καὶ οἱ μακρὰν

μακρὰν ὄντες, ἵνα προσεγγίσωσι τῷ Θεῷ· οἱ δὲ οἰκεῖοι, ἵνα ἐν παῤῥησίᾳ εἰσοικισθῶσι· καὶ αὖθις, ὅσοι βούλονται τελείως ἐξελεῖσθαι τῆς αἰωνίου γεέννης, τῆς τιμωρούσης τοὺς ἁμαρτωλοὺς, καὶ τῆς αἰωνίου βασιλείας ἐπιτυχεῖν, τὰς θλίψεις τῆς γεέννης ἐντεῦθεν, διὰ τῶν πειρασμῶν τῶν ὑπὸ τοῦ πονηροῦ ἐπαγομένων, ὑπενέγκωσιν ἀεί· καὶ ἐὰν ὑπομένωσιν ἕως τέλους τὸ ἔλεος τοῦ Κυρίου ἀπεκδεχόμενοι ἐν πίστει, καὶ τῶν πειρασμῶν καὶ τῶν θλίψεων διὰ τῆς χάριτος λυτροῦνται, καὶ τῆς κοινωνίας τοῦ ἁγίου Πνεύματος ἔνδοθεν καταξιοῦνται, καὶ τῆς αἰωνίου γεέννης ἐκεῖθεν ἐξειλοῦσι, καὶ τὴν οὐράνιον βασιλείαν κληρονομοῦσι.

Πρὸ τῶν Πατέρων δὲ καὶ οἱ θεῖοι Ἀπόστολοι πολυ-
τρόπως περὶ τούτου παραινοῦσι τοὺς τῆς Σωτηρίας ἐφιε-
,, μένους· ὁ μὲν γὰρ αὐτῶν ,, μακάριος φησὶν ἄνθρωπος,
,, ὃς ὑπομένει πειρασμόν· ὅτι δόκιμος γενόμενος λήψεται
,, τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Θεὸς τοῖς
,, ἀγαπῶσιν αὐτόν· ἀνὴρ γὰρ ἀπείραστος ἀδόκιμος· συ-
νήκατε τί φησὶν ὁ τοῦ Κυρίου ἀδελφός; ἂν ὑπομείνῃς,
λέγει, γενναίως πειρασμὸν ἐπελθόντα σοι, στεφανοῦσαι
καὶ αὐτὸς τῷ τῆς δικαιοσύνης στεφάνῳ, τῷ πᾶσι τοῖς
ἁγίοις ἐπηγγελμένῳ· τοῦτο δὲ δυνατὸν καὶ ἐν μιᾷ κα-
τορθωθῆναι ἡμέρᾳ· ὁ δὲ, δικαιωθέντες ἐκ πίστεως εἰρήνην
,, ἔχομεν πρὸς τὸν Θεόν· οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώ-
,, μεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλίψις ὑπομονὴν
,, κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπί-
,, δα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει· ὁ δὲ, εἰ δέον ἐστὶ λυπη-
,, θέντας ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον ὑμῶν
,, τῆς πίστεως, πολὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου,
,, διὰ πυρὸς δὲ δοκιμαζομένου εὑρεθῇ, εἰς ἔπαινον καὶ τι-
,, μὴν καὶ εἰς δόξαν ἐν τῇ ἀποκαλύψει Ἰησοῦ Χριστοῦ· καὶ
,, πάλιν, τοῦτο χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει
,, τις λύπας, πάσχων ἀδίκως· ποῖον γὰρ κλέος, εἰ ἁμαρ-
,, τάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγα-
,, θοποιοῦντες, καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις

παρὰ τῷ Θεῷ· εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χρι- “
στὸς ἀπέθανεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμ- “
μὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ· ὃς ἁμαρ- “
τίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐ- “
τοῦ· ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπεί- “
λει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως. “

Ἀλλ᾽ αὗται μὲν αἱ φωναὶ τῶν δούλων εἰσὶ, τοῦ δὲ
Δεσπότου παρακλήσεις ἐκεῖναι „μνημονεύετε τοῦ λόγου, “
οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ Κυρίου αὐτοῦ· “
εἰ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς διώξουσι· μακάριοι οἱ δεδιωγ- “
μένοι, ἕνεκεν δικαιοσύνης· ὅταν διώκωσιν ὑμᾶς ἀπὸ τῆς “
πόλεως ταύτης, φεύγετε εἰς τὴν ἄλλην· καὶ ὁ ὑπο- “
μείνας εἰς τέλος, οὗτος σωθήσεται. Ταῦτ᾽ οὖν ἀναλο-
γιζόμενοι, καὶ τὰ τούτων ἐχόμενα, μεθ᾽ ὑπομονῆς τρέ-
χωμεν ἡμῖν τὸν προκείμενον ἀγῶνα, καὶ τὸν δρόμον τοῦ-
δε τοῦ βίου, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ
τελειωτὴν Ἰησοῦν· ἵνα καὶ τῶν αἰωνίων ἐκείνων ἀγαθῶν,
ἐν αὐτῷ, σὺν τοῖς αὐτὸν θεραπεύσασιν ἀπολαύσωμεν,
Θεοῦ Πατρὸς εὐδοκίᾳ, καὶ παρακλήτου Πνεύματος χά-
ριτι. Γένοιτο.

# Λ Ο Γ Ο Σ

## ΤΟΥ ΑΥΤΟΥ

Ἐν τῷ Τρικλίνῳ τοῦ αὐτοῦ Παλατίου ῥηθείς. Διδασκαλικαῖς χρήσεσι, καὶ Γραφικαῖς ῥήσεσι παριστῶν, ὅτι καὶ ἡ θεία ἐνέργεια, καὶ τοῖς ἀξίοις θεωρουμένη ἔλλαμψις, καὶ ἡ ἐν τῷ Θαβωρίῳ παραδειχθεῖσα χάρις ἄκτιστος.

Ἐπειδήπερ τινὲς ἀνθρωπίνῃ ἐπαρθέντες σοφίᾳ, καὶ κατὰ πάντων μὲν θείων δογμάτων ἀναίδην ἐχώρησαν, οὐχ ἥκιστα δὲ καὶ κατὰ τῆς θείας ἐνεργείας ἀποφηνάμενοι, ὡς ἐνέργειαν ἡ θεία φύσις οὐκ ἔχει, ἀλλ᾽ αὐτὴ ἐστὶν ἐνέργεια θεωρουμένη καθ᾽ ἑαυτήν· κατά τε τῶν θείων ἐλλάμψεων, ἀπάτην εἶναι ταύτας εἰπόντες δαιμονιώδη· πρὸς δὲ, τὸ ἐν τῷ Θαβωρίῳ φανὲν φῶς, κτιστὸν εἶναι γράψαντες χειρὶ τολμηρᾷ· φέρε καὶ ἡμεῖς τοῖς τῶν θείων Πατέρων ἑπόμενοι δόγμασιν, ἔκ τε τῶν ἱερῶν λογίων, καὶ τῶν σεπτῶν Διδασκάλων, σύνοψιν ἀκριβῆ τοῖς ὀρθοδόξοις ὑμῖν διεξέλθωμεν. Οἶμαι δὲ, εἰ δύο τινῶν ὑμῖν αἵρεσις προὔκειτο, ἑνὸς μὲν, τοῦ ἀκοῦσαι τινῶν ἑπτακαίδεκα Θεολόγων, τρανώτατα περὶ τούτων διεξιόντων· δευτέρου δὲ, τοῦ πρὸς ὑμᾶς λαλοῦντος Ἰωσὴφ τούτου μόνου, τὸ πρῶτον ἂν πάντας προκρῖναι, ποιοῦντας πάνυ καλῶς· ταύτῃ τοι καὶ αὐτὸς ὑμῖν γενόμενος σύμψηφος, ὡς ἂν οἷός τε ὦ, οὐδὲν παρ᾽ ἐμαυτοῦ, ἢ ὀλίγα εἰς τὸν λόγον τοῦτον εἰσαγαγὼν, μόνα τὰ τοῖς ἐξαιρέτοις ἐκείνοις περὶ τῶν προκειμένων ῥηθέντα πρὸς πίστωσιν ὑμετέραν πειράσομαι διελθεῖν.

θεῖν. Εἰ μὲν γὰρ τῆς χρηστῆς ἐκεῖνοι, καὶ θαυμαστῆς παραινέσεως ἤθελον πυθέσθαι, τῆς, βαθύτερά σου μὴ ἐρεύνα, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε, παραινέσεως· ἃ προσετάγης σοι ταῦτα διανοοῦ, καὶ μὴ περαιτέρω χώρει, μηδὲ τὰ ἀνέφικτα δίωκε· εἰρήνην τούτων ἀγόντων, οὐδενὸς ἂν καὶ ἡμεῖς ἐδεήθημεν λόγου πρὸς τὴν ἐκείνων ἀντιπαράταξιν· ἐπεὶ δὲ πρὸς ὕψος ἐκ γῆς λαλῆσαι κατὰ τοῦ Θεοῦ ἀδικίαν ἐτόλμησαν, τοὺς οὐρανόθεν λαλοῦντας καὶ ἡμεῖς αὐτοὶ ἀντιπαρατάξασθαι ᾠήθημεν δεῖν. Εἰσὶ δὲ οἱ περὶ τῶν δογμάτων τούτων ἐξ οὐρανοῦ διηγούμενοι, ἑπτακαίδεκα οἵδε· Ἐφραὶμ ὁ Σῦρος· Μακάριος ὁ Αἰγύπτιος· Ἀνδρέας ὁ Κρήτης· Κοσμᾶς ὁ Ἁγιοπολίτης· Ἰωάννης ὁ Δαμασκηνός· Ἰουστῖνος ὁ Φιλόσοφος καὶ Μάρτυς· Ὁ μέγιστος Μάξιμος· Κύριλλος ὁ τῆς Ἀλεξάνδρου· Ὁ Νύσσης Γρηγόριος· Ὁ τὴν γλῶσσαν χρυσοῦς Ἰωάννης· Ὁ Θεολόγος Γρηγόριος· Βασίλειος ὁ οὐρανοφάντωρ· Ἀθανάσιος ὁ πολύτλας· Ὁ ἐξ Ἀρείου Πάγου Διονύσιος· Ἰωάννης ὁ ἐπιστήθιος· Ὁ θειότατος Παῦλος, καὶ Πέτρος ὁ κορυφαῖος τῶν Χριστοῦ Μαθητῶν. Καὶ οὗτοι μὲν εἰσὶν οἱ μεθ' ἡμῶν τεταγμένοι, ὡς ἐφεξῆς δηλωθήσεται. Ἐφ' ὑμῖν δὲ κεῖται λοιπὸν τίσιν ἄρα προκείσεσθε; τοῖς οὐρανίοις, ἢ τοῖς γηΐνοις; τοῖς κινδυνεύσασι κατὰ ψυχὴν Ἀκινδύνῳ καὶ Βαρλαάμ, ἢ τοῖς τοῦ κόσμου φωστῆρσι παντός; Ἀλλὰ προσέχετε συνεχῶς.

Ὅτι μὲν οὖν ἄλλο ἐστὶν οὐσία ἐπὶ Θεοῦ, καὶ ἄλλο ὑπόστασις, καὶ ἄλλο ἐνέργεια, καὶ πολλαχόθεν, κἀντεῦθεν δῆλον· αὐτίκα γὰρ ὁ Δαμασκόθεν ἀνατείλας Ἰωάννης φησὶν „ ἰστέον ὅτι ἄλλο ἐστὶν ἐνέργεια, καὶ ἄλλο ἐνεργητικόν, καὶ ἄλλο ἐνέργημα, καὶ ἄλλο ἐνεργῶν· ἐνέργεια μὲν οὖν ἐστὶν ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις· ἐνεργητικὸν δὲ ἡ φύσις, ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν· ἐνέργημα δὲ τὸ τῆς ἐνεργείας ἀποτέλεσμα· ἐνεργῶν δὲ, ὁ κεχρημένος τῇ ἐνεργείᾳ· ἤτοι ἡ ὑπόστασις. Καὶ πάλιν, χρὴ τῶν ἐπὶ Θεοῦ λεγομένων ἕκαστον, οὐ τί κατ' οὐσίαν σημαίνειν οἴεσθαι, ἀλλ' ἢ τί οὐκ ἔστι δηλοῦν, ἢ σχέσιν, ἤ τι τῶν

» παρεπομένων τῇ θείᾳ φύσει, ἢ ἐνέργειαν· τὸ γὰρ Θεὸς
» ὄνομα, ἐνεργείας ἐστὶν ὄνομα, ἐκ τοῦ θέειν, καὶ πάντα πε-
» ριέπειν, καὶ αἴθειν, ὅ ἐστι καίειν.

» Ὅγε μὴν θεῖος Μάξιμος, πάντως ἀνάγκη φησὶν
» ἐπὶ Χριστοῦ θελήσεις λέγεσθαι, καὶ ἐνεργείας· οὐδὲν γὰρ
» τῶν ὄντων, χωρὶς ἐνεργείας φυσικῆς ὑφέστηκεν· οἱ γὰρ
» ἅγιοι Πατέρες φανερῶς λέγουσι, μήτε εἶναι, μήτε γινώ-
» σκεσθαι, χωρὶς τῆς οὐσιώδους αὐτῆς ἐνεργείας τὴν οἱανδή-
» τινα φύσιν. Καὶ πάλιν, ὁ τοῖς οὖσι μὴ κατ' οὐσίαν ὑ-
» πάρχων μεθεκτὸς, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς
» δυναμένοις βουλόμενος, τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς
» οὐκ ἐξίσταται· ὁπόταν καὶ αὐτὸς ὁ τρόπος, καθ' ὃν λέ-
» γεται θέλων μετέχεται, μένει δὲ διηνεκῶς τοῖς πᾶσιν
» ἀνέκφαντος. Καὶ αὖθις, ὁ μὲν Θεὸς ἑαυτὸν γινώσκει,
» ἐκ τῆς μακαρίας οὐσίας αὐτοῦ· τὰ δὲ ὑπ' αὐτοῦ γεγονότα,
» ἐκ τῆς σοφίας αὐτοῦ, καὶ ἐκ τῆς δυνάμεως, δι' ἧς, καὶ
» ἐν ᾗ, τὰ πάντα ἐποίησε.

» Τὰ ἴσα τούτοις καὶ ὁ θεσπέσιος Κύριλλος ἐπάγει λέ-
» γων, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἅτε δὴ Θεὸς ὑπάρ-
» χων φύσει καὶ Υἱὸς, θεραπεύει ἐξουσιαστικῶς· οὐκ εὐχῆς
» ἔργον ἐπιδεικνύων, καθάπερ οἱ ἅγιοι, ἀλλ' οἰκείας ἐνερ-
» γείας ἀποτελέσματα· χορηγεῖ δὲ ὁμοίως, οἷσπερ ἂν βού-
» λοιτο τὴν ἐπὶ τούτοις χάριν, οὐκ ἀλλοτρίαν ἐπ' αὐτοὺς δύ-
» ναμιν καλῶν, ἀλλ' οἴκοθεν ἐντιθεὶς, ὥσπερ ἂν εἰ καὶ τὸ
» πῦρ τοῖς αὐτῷ πλησιάζουσιν ἐμβάλλοι τῆς αὐτοῦ φύσεως
» τὴν ἐνέργειαν. Καὶ πάλιν, εἰ τὸ γεννᾷν ταὐτὸν ἐστὶ τῷ
» ποιεῖν, ὁ γεννῶν ἔσται ποιῶν τὸ γεννώμενον, καὶ ὁ ποιῶν
» γεννῶν τὸ ποιούμενον· ἀλλὰ τὸ μὲν ποιεῖν ἐνεργείας ἐστὶ,
» φύσεως δὲ τὸ γεννᾷν· φύσις δὲ, καὶ ἐνέργεια οὐ ταυτόν·
» οὐκ ἄρα τὸ γεννᾷν τῷ ποιεῖν ταυτόν.

» Τούτοις ἐφάμιλλα καὶ ὁ Νυσσαέων πρόεδρος Γρηγό-
» ριος φησὶν, ἐνέργεια ἐστὶ φυσικὴ, ἡ δηλωτικὴ πάσης οὐσίας
» δύναμις, ἧς μόνης ἐστέρηται τὸ μὴ ὄν· τὸ γὰρ ὂν οὐσίας
» μετέχον, καὶ τῆς δηλούσης αὐτὴν φυσικῆς μεθέξει πάν-

τως

τος δυνάμεως. Καὶ πάλιν, ὁμολογοῦντες Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱὸν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, πῶς οὐ λέγομεν τρεῖς Θεοὺς, ἀλλ᾽ ἕνα Θεόν; κατὰ μὲν τὸν πρόχειρον λόγον, ἵνα μὴ πολυθείαν ἑλληνικὴν εἰσάγωμεν· κατὰ δὲ τὸν χαριέστερον, ἐπεὶ τὸ Θεὸς ὄνομα, ἐνεργείας ἐστὶ σημαντικόν· παρὰ γὰρ τὸ θέειν πανταχοῦ, ἢ θεᾶσθαι πάντα, ἢ αἴθειν τὴν μοχθηρίαν ἠτυμολόγηται· καθὸ μὲν ἕκαστον πρόσωπον ἀπηρτισμένην ἔχει τὴν τοιαύτην ἐνέργειαν, ἀπηρτισμένον ἕξει πάντως καὶ τὸ δηλωτικὸν αὐτῆς ὄνομα, καὶ κυρίως ἔσται, καὶ κληθείη Θεός· καθὸ δὲ μία καὶ ἀπαράλλακτος ἐν τοῖς τρισὶν ἡ εἰρημένη ἐνέργεια, μία καὶ ἡ Θεότης, καὶ εἷς Θεὸς ἐν τρισὶν ὑποστάσεσι.

Τούτοις συνᾴδει καὶ ὁ Φιλόσοφος Ἰουστῖνος καὶ μάρτυς λέγων, τοῦ Θεοῦ ἔχοντος οὐσίαν μὲν πρὸς ὕπαρξιν, βούλησιν δὲ πρὸς ποίησιν, ὁ ἀποῤῥίπτων οὐσίας τε καὶ βουλῆς τὴν διαφορὰν, καὶ τὴν ὕπαρξιν ἀποῤῥίπτει τοῦ Θεοῦ, καὶ τὴν ποίησιν· ὕπαρξιν μὲν τὴν αὐτοῦ, ποίησιν δὲ τῶν οὐκ ὄντων. Καὶ πάλιν, εἰ ἄλλο τὸ ὑπάρχειν, καὶ ἄλλο τὸ ἐνυπάρχειν· καὶ ὑπάρχει μὲν τοῦ Θεοῦ ἡ οὐσία, ἐνυπάρχει δὲ τῇ οὐσίᾳ ἡ βουλὴ, ἄλλη ἄρα ἡ οὐσία τοῦ Θεοῦ, καὶ ἄλλη ἡ βουλή.

Λέγει δὲ καὶ ὁ θεῖος Χρυσόστομος, εἰ τοῦ πυρὸς μετέχοντες, καὶ ταῦτα σώματος ὄντος, καὶ μερίζομεν καὶ οὐ μερίζομεν αὐτὸ, πῶς οὐκ ἂν γένοιτο τοῦτο ἐπὶ τῆς ἐνεργείας τῆς ἀσωμάτου οὐσίας; Καὶ πάλιν, τοῦ Πνεύματος τὴν χάριν ἡ Γραφὴ, ποτὲ μὲν πῦρ, ποτὲ δὲ ὕδωρ καλεῖ, δεικνῦσα ὅτι οὐκ οὐσίας ἐστὶ ταῦτα τὰ ὀνόματα, ἀλλ᾽ ἐνεργείας· οὐ γὰρ ἐκ διαφόρων οὐσιῶν συνέστηκε τὸ Πνεῦμα, ἁπλούστατον ὂν καὶ μονοειδὲς, ἀλλ᾽ ἐνεργείας περιφανῶς ἐμφάσεις εἰσί.

Σύμφωνα τούτοις καὶ ὁ θεολόγος Γρηγόριος τίθησιν· ἄλλο γεννῶν καὶ γέννησις, θέλων καὶ θέλησις, λέγων καὶ λόγος, εἰ μὴ μεθύομεν· τὸ μὲν γὰρ ὁ κινῶν, τὸ δὲ οἷον ἡ κίνησις.

Καὶ ὁ μέγας Βασίλειος „ἡ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθὸ ἐστὶ μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. Καὶ πάλιν, ἄλλο μὲν ἐστὶν οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη· ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινὸς, ἢ ἀξίας ὀνομαζομένων. Καὶ αὖθις, εἰ κατὰ τὴν οὐσίαν ἀπαραλλάκτως ἔχει ὁ Υἱὸς τῷ Πατρὶ, ἀπαραλλάκτως ἕξει καὶ κατὰ τὴν δύναμιν· ὧν δὲ ἡ δύναμις ἴση, ἴση πάντως καὶ ἡ ἐνέργεια· πίστωσις γὰρ πάσης οὐσίας ἡ κατὰ φύσιν καθέστηκε ταύτης ἐνέργεια, τὸν νοῦν ἐπὶ τὴν φύσιν ἀνάγουσα. Πρὸς δὲ, αἱ μὲν ἐνέργειαι τοῦ Θεοῦ ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ· ἡμεῖς δὲ ἐκ τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν Θεὸν, τῇ δὲ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα· αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος· καὶ οὕτω τὸ Πνεῦμα τὸ ἅγιον ἀπρόσιτον τῇ φύσει, χωρητὸν δι' ἀγαθότητα· πάντα μὲν πληροῦν τῇ δυνάμει, μόνοις δὲ μεθεκτὸν τοῖς ἀξίοις· οὐχ ἑνὶ μέτρῳ μετεχόμενον, ἀλλὰ κατὰ τὴν ἀναλογίαν τῆς πίστεως διαιροῦν τὴν ἐνέργειαν.

„Καὶ ὁ τῆς Ἀλεξάνδρου φωστὴρ Ἀθανάσιος, ἕνα φησὶ Θεὸν ἐν τρισὶν ὑποστάσεσι θεολογοῦμεν, μίαν ἔχοντα τὴν οὐσίαν, καὶ τὴν δύναμιν, καὶ τὴν ἐνέργειαν καὶ ὅσα ἄλλα περὶ τὴν οὐσίαν θεωρεῖται θεολογούμενα καὶ ὑμνούμενα. Καὶ πάλιν, ἐπὶ Θεοῦ τὸ, ὢν, καὶ τὸ, Θεὸς, καὶ τὸ ὑπερούσιος, καὶ τὸ ἄπειρος, καὶ τὰ τοιαῦτα, προσηγορίας λέγομεν τινῶν μὲν ἐκφαντικὰς τῶν θεωρουμένων περὶ αὐτὸν, οὐδενὸς δὲ τῶν κατὰ τὴν οὐσίαν αὐτοῦ καὶ φύσιν δηλωτικάς· ὅθεν ἡ μὲν ὑπερούσιος οὐσία τοῦ Θεοῦ ἀνώνυμος ἐστὶν, ὡς ἀνεκφώνητος, καὶ πᾶσαν τὴν διὰ φωνῆς σημασίαν ὑπερβαίνουσα, τῶν δὲ ἐνεργειῶν ἑκάστη κεῖται ὄνομα· διὸ καὶ κυρίων ὀνομάτων ἐπὶ τῆς ὑπερουσιότητος ἐκείνης ἀποροῦντες, ἀπὸ τῶν ἐνεργειῶν αὐτὴν ὀνομάζομεν.

Ἆρ' οὐ περιφανῶς παρίσταται διὰ τούτων, ἄλλο μὲν εἶναι τὴν θείαν οὐσίαν, ἄλλο δὲ τὴν φυσικὴν ταύτης καὶ

οὐσιώ-

ἐσιώδη ἐνέργειαν, συναΐδιον ἐσαν αὐτῇ καὶ συνάναρχον; καὶ τῦτο καὶ πάνυ Θεοπρεπῶς, καὶ μάλα εἰκότως· ὃ γὰρ ἔχει Θεὸς, ἐξ αἰδίε ἔχει, καὶ ἐκ ἐπίκτητον, κἂν ἐν χρόνῳ καὶ προσφάτως οἷς ἂν ἐθέλοι τῦτο διὰ φιλανθρωπίαν ἐνδείκνυσιν· ἐπεὶ καὶ δημιεργεῖ μὲν προσφάτως, καὶ ὅτε βέλεται, ἐξ αἰδίε μέντοι τὸ δημιεργεῖν ἔχει· εἰ γὰρ ὁ Φιλόσοφος καὶ ὁ ἰατρὸς ἔχειν θέλει, ὁ μὲν τὴν γνῶσιν τελείαν, ὁ δὲ τὴν τέχνην, κἂν μὴ ὦσιν οἱ μανθάνοντες, ἢ οἱ θεραπευόμενοι· καὶ οἱ ὁρατικοὶ δὲ ἀεὶ ὁρατικοὶ καὶ καθεύδοντες, καὶ ἐν νυκτὶ ἀνακείμενοι, κἂν μὴ παρῶσιν ἅπερ μεθ᾽ ἡμέραν ὁρῶσιν, ἐπειδὴ τέλειοι ὁρατικοὶ εἰσὶν, ἵνα ὅταν θέλωσιν ὁρᾶν παρῇ αὐτοῖς ἡ ὅρασις, καὶ ἐχὶ τότε ἐπικτήτως προέρχοιτο· πολλῷ μᾶλλον ἀνάγκη τὴν θείαν ἐνέργειαν συναΐδιον εἶναι τοῖς θείοις προσώποις ἴσην, καὶ ἐκ ἐπίκτητον, ἵνα μὴ καὶ ἀτελὴς ἡμῖν Θεὸς ἡ Τριὰς ποτὲ νομισθείη· ὡς γὰρ ἀδύνατον ἄνευ Φύσεως ἐνέργειαν εἶναι θείαν, ἕτω καὶ ἐνεργείας χωρὶς Φύσιν εἶναι ἀμήχανον· κἂν αὐθύπαρκτα, καὶ αὐθυπόστατα, καὶ αὐτοενέργειαι πρόςτινων, τὰ θεῖα πρόσωπα λέγωνται.

Εἰδέτω μὴ ἀρέσκῃ ταῦτα, ἕτος ἐξ ἑπομένε ἐνεργείας θείας ἀποτέλεσμα εἶναι ἐ βέλεται, ἀλλ᾽ ὑποστάσεως θείας, ἢ θείας ἐσίας καὶ Φύσεως· ὃν ἡδέως ἂν ἐροίμην. Τριῶν τινῶν ἐν τῇ θείᾳ Τριάδι θεωρεμένων, Φύσεως, ὑποστάσεώς τε, καὶ ἐνεργείας, τίνος, εἰπὲ, τέτων καθέστηκας ἀποτέλεσμα; τῆς Φύσεως ἆρα, τῶν ὑποστάσεων, ἢ τῆς ἐνεργείας; ἀλλ᾽ εἰ μὲν τῆς Φύσεως, μετὰ τε τολμηρὸν καὶ ψευδῆ τὸν λόγον τῦτον εἶναι, ταύτης πάντως τμῆμα, ἢ μέρος εἶναι πιστεύεις· εἰ δ᾽ ὑποστάσεως, τίνος τῶν τριῶν κατειπέμοι, ἵνα ἴδωσε τὸν Πατέρα; εἰ δὲ μήτε τῆς ἐσίας, μήτε τινὸς τῶν τριῶν ὑποστάσεων, ἀλλὰ τῆς κοινῆς αὐτῶν ἐνεργείας, τί μάτην ἐρεσχελεῖς, καὶ τοῖς θείοις Πατράσιν ἀντίκεισαι ἀρνέμενος τὸν δημιεργόν;

Πάλιν μετέχομεν Πνεύματος ἁγίε, κατὰ ἀναλογίαν τῆς πίςεως ἕκαςος, ἢ πάντη ἀμέτοχοι τέτε ἐσμέν; ναὶ πάντως, καθὸ καὶ λεγόμεθα θείας Φύσεως κοινωνοί· πότερον ἒν, Φύσις τε̃ Πνεύματος, ἢ αὐτὴ ἡ τε̃ Πνεύματος ὑπόςασις, τὸ μετεχόμενον παρ' ἡμω̃ν ἐςί; Φύσις; ἀλλ' ἡ θεία Φύσις ἀμέθεκτος πάσῃ γεννητῇ Φύσει, παρὰ πάντων ἁγίων δοξάζεται· ὑπόςασις; ἀλλὰ μόνη ἡ ἐκ τῆς ἀειπαρθένε προσληφθεῖσα σάρξ τῷ Σωτῆρι καθ' ὑπόςασιν ἥνωται· λείπεται τοίνυν θείαν ἐνέργειαν τὸ μετεχόμενον εἶναι ὁμολογεῖν, εἰμὴ πάντῃ τῆς ἀληθείας διέςημεν.

Αὖθις, τὸ θεῖον Πνευ̃μα, Πνευ̃μα λέγεται μὴ μόνον σοφίας, ἀλλὰ καὶ βελῆς, ϗ γνώσεως, καὶ ἰχύος, ϗ ὅσα τῷ θείῳ Ἡσαΐᾳ τεθεολόγηται· ἆρ' ἒν Φύσεων αὐτῷ ταυ̃τα, ἢ ὑποςάσεων σημαντικὰ εἰσὶ τὰ ὀνόματα; εἰ μὲν Φύσεων, ἢ ὑποςάσεων, ϗ ἐ Τριὰς, ἀλλὰ δεκὰς ἡμι̃ν ὁ Θεὸς, καὶ πολυθεΐα εἰσάγεται· ἀλλὰ βλάσφημα καὶ ἀμφότερα· λείπεται ἒν ἐνεργειω̃ν διαφόρων δηλωτικὰ εἶναι ταυτὶ τὰ ὀνόματα, αἰδίως προσόντα τῷ Πνεύματι.

Πρὸς δὲ, τὸ ὀφθὲν ἐν εἴδει πυρίνων γλωσσῶν Πνευ̃μα, αὐτε̃ τε̃ Πνεύματος ἦν ἡ Φύσις, ἢ ἐχ ἡ Φύσις, ἀλλ' ἡ ὑπόςασις; ἢ ἐθ' ὑπόςασις, ἐθ' ἡ Φύσις, ἀλλ' ἐνέργεια Πνεύματος ἦν τὸ Φαινόμενον ὀφθαλμοφανω̃ς; ἀλλ' ἄτοπον τὴν θείαν Φύσιν, ἢ τὴν ὑπόςασιν ὁρατὴν εἶναι λέγειν· λείπεται δὴ ἐνέργειαν εἶναι μόνην· εἰ μὲν ἒν ἐκ τῆς ἐσίας αὐτη προήχθη, προϋπῆρχεν ἐν τῇ ἐσίᾳ πάντως· εἰδὲ προϋπῆρχεν, ἐκ ἦν καιρὸς, ὅτε ἐκ ἦν ἐν ταύτῃ· εἰ δὲ τε̃το, ἄκτιςος ἡ ἐσία, ἄκτιςος ἄρα καὶ ἡ τῆς ἐσίας ἐσιώδης ἐνέργεια· εἰ δὲ μὴ προϋπῆρχεν ἐν τῇ ἐσίᾳ, ἄρτι δ' ἐκ ταύτης προήχθη, ἦν ἄρα καιρὸς ὅτε ἀνενέργητος ἦν ἡ θεία αὐτη ἐσία, νυ̃ν δὲ γέγονεν ἐνεργὸς, καὶ ἐξ ἀτελε̃ς προήχθη εἰς τελειότητα· καὶ ταυ̃τα μὲν εἰ ἐκ τῆς ἐσίας· ταυ̃τὰ δ' ἂν εἴποιμεν καὶ εἰ ἐκ τῆς τε̃ Πνεύματος ὑποςάσεως· εἰ δὲ ἔτε ἐκ τῆς ἐσίας προήχθη, ἔτε μὴν ἐκ τῆς ὑποςάσεως, ἢ ἐξ ἑαυτῆς

ταύτην ἕπεται ὑποστῆναι, ἢ ἐξ ἑτέρου Θεοῦ, ὧν τί γένοιτ' ἂν ἀσεβέστερον;

Ἐπὶ τούτοις, τὸ τὴν θεωθεῖσαν σάρκα ἐκ τῆς παναγνοῦ Παρθένου, τῷ μονογενεῖ Λόγῳ ὑποστῆσαν Πνεῦμα, ἢ τοῦ Πνεύματος φύσις, ἢ ὑπόστασις, ἢ τοῦ Πνεύματος ἐνέργεια δημιουργικὴ ταύτης ἦν· εἰ μὲν ἡ φύσις τοῦ Πνεύματος, ἐπείπερ αὕτη κοινὴ Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, τῆς κοινῆς ἄρα φύσεως τῆς ἐν τῇ μακαρίᾳ Τριάδι θεωρουμένης γέννημα, ἢ δημιούργημα ἐστὶν ἐκεῖνο τὸ πρόσλημμα· εἰ δὲ τοῦ ἁγίου Πνεύματος ὑπόστασις, δύο ἄρα Πατέρας ὁ Θεάνθρωπος κέκτηται λόγος· τὸν μὲν κατὰ τὴν Θεότητα, τὸν καὶ τοῦ Πνεύματος Προβολέα, τὸν δὲ κατὰ τὴν ἀνθρωπότητα, τὸ Πνεῦμα τὸ ἅγιον δηλαδὴ, τὸ καὶ Πρόβλημα· εἰ δὲ οὔτε ἡ φύσις, οὔτε μὴν ἡ ὑπόστασις τοῦ Πνεύματος ἦν, τὸ συστῆσαν ἐκεῖνο τὸ πανάχραντον σῶμα, ἀλλ' ἐνέργεια τοῦ θείου Πνεύματος, ὥσπερ ἄρα καὶ ἦν, εἴπερ αὕτη κτιστὴ, κτιστοῦ λοιπὸν δημιούργημα ἡ Θεοφόρος ἐκείνη σάρξ· μᾶλλον δὲ ἅπαν τὸ πρόσλημμα. Ὁρᾷς ὅτι ἃ μηδὲ Δαίμων ἀναισχυντήσας ἐρεῖ, ταῦτα δοξάζουσιν οἱ Φρενόληπτοι; συνάγεται δὴ ἄκτιστον ταύτην δοξάζειν τὴν θείαν ἐνέργειαν, ἄλλο παρὰ τὴν τῆς Θεότητος μίαν φύσιν, καὶ τὰς τρεῖς ὑποστάσεις οὖσαν, ἵνα μὴ λάθωμεν καὶ Δαιμόνων χείρονα εἰς Θεὸν βλασφημήσαντες.

Ἐπὶ πᾶσιν, ὁ λέγων τὴν τοῦ Θεοῦ οὐσίαν μόνην ἄκτιστον εἶναι, καὶ διὰ τοῦτο ἐν τὸ ἄκτιστον· καὶ πᾶν ὃ μὴ ἐστὶν οὐσία Θεοῦ, ἀλλὰ περὶ τὴν οὐσίαν τοῦ Θεοῦ, κτιστόν· οὗτος καὶ τὰ ὑποστατικὰ πάντα, οἷον τὸ ἀγέννητον, τὸ γεννητὸν, καὶ τὸ ἐκπορευτὸν, ὡς ἄκτιστα οὐσίαν εἶναι φήσει Θεοῦ· καὶ Εὐνόμιος ἐστὶν ἄντικρυς· εἰ δὲ οὐσίαν μὲν οὐ λέγει ταῦτα θείαν, ὡς δὲ περὶ τὴν οὐσίαν ὄντα κτιστὰ εἶναι ἀποφαίνεται, καὶ τὸν Εὐνόμιον τῇ δυσσεβείᾳ ὑπερέβαλεν· οὐ γὰρ τὸ μονογενὲς μόνον Φῶς, καὶ τὸ ἐκπορευτὸν, ἀλλὰ καὶ τὸ ἀγέννητον, εἰς τὴν κτίσιν κατασπᾷ· καὶ εἰκότως καθ' ἡμῶν ἀπαυταχέτως φέρεται τῶν εὐσεβῶς ἕνα τῇ οὐ-

σία σεβομένων ἄκτιστον Θεόν· ἀλλ' οὐ τῇ οὐσίᾳ μόνον ἄκτιστον, ἀλλὰ καὶ πάσαις ταῖς φυσικαῖς ἐνεργείαις, ἢ ταῖς ὑποστατικαῖς ἰδιότησιν· οὐδὲ γὰρ ἂν αἱ ὑποστάσεις εἶεν ἄκτιστοι, τῶν ὑποστατικῶν ἰδιοτήτων μὴ οὐσῶν ἀκτίστων, οὐδὲ ἡ φύσις καὶ ἡ οὐσία ἔσται ἄκτιστος, εἰ μὴ ἀκτίστους ἔχει καὶ τὰς οὐσιώδεις αὐτῆς ἐνεργείας.

Ἀλλ' ἵνα μὴ, φησὶ, διαίρεσιν ὑπομένειν τὸ Θεῖον, ὑποψίαν παράσχωμεν, αὐτοενέργειαν τοῦτο φαμέν. Ἐπίσχες· Λοιπὸν κατὰ τοὺς διαλογισμοὺς ὑμῶν, ἕπεται εἶναι τὸν Θεὸν οὐσίαν ἀνενέργητον, ἢ ἐνέργειαν ἀνούσιον, οὐ καθ' ὑπεροχὴν, ἀλλὰ κατ' ἔλλειψιν· εἰ γὰρ ἀδιάφορα παντάπασιν ἐπὶ Θεοῦ οὐσία καὶ ἐνέργεια, δυοῖν θάτερον διάκενος ἐστὶ ψόφος ὀνόματος, κατ' οὐδεμιᾶς ἰδίας ἐννοίας τὸ σημαινόμενον ἔχοντος· καὶ τοίνυν οἰκείας ἐνεργείας, οὐκ ἄντι ποτ' εἴη διῃρημένον· οὐδὲ γὰρ ἡ ἀκτὶς διὰ τὸ φωτίζειν, διῃρημένον· εἰ γοῦν ἐπὶ τῶν ἁπλῶς ὄντων τοῦτο πρόδηλον ὁσημέραι, πολλῷ μᾶλλον χρὴ, τὸν αὐτὸν διαιρετὸν καὶ ἀδιαίρετον Θεὸν εἶναι πιστεύειν, ἡνωμένον ἐν τῇ διακρίσει, καὶ ἐν τῇ ἑνώσει διακεκριμένον· ἀνεκφοίτητον ἑαυτοῦ ἐν ταῖς προόδοις, καὶ ἐν τῇ ἀκινησίᾳ ἀεικίνητον· ἀμερῶς μεριζόμενον, καὶ ὁλοχερῶς μετεχόμενον, κατὰ τὴν ἡλιακὴν ἀκτῖνα, ἧς ἡ χάρις τῷ ἀπολαύοντι ὡς μόνῳ παροῦσα, καὶ γῆν ἐπιλάμπει καὶ θάλασσαν, καὶ τῷ ἀέρι συγκέκραται. Ὅτι δὲ οὐ σύνθετον τὸ Θεῖον, οἷς ὁρᾶται ἐν αὐτῷ δύναμις καὶ ἐνέργεια, ὧδ' ἂν μάθοις· ὅτι αὐτοφυὲς, καὶ αὐθυπόστατον, καὶ αὐτοενέργεια τοῦθ' ὑπάρχον, οὔτε διὰ τὸ εἶναι αὐτοφυὲς ὑποστάσεις οὐκ ἔχει, οὔτε διὰ τὸ εἶναι αὐθυπόστατον ἕκαστον τῶν ἐν αὐτῷ προσώπων ἐνεργείας οὐ κέκτηται· (λέγω ταῦτα, ὡς αὐτοὶ λέγουσιν)· οὔτε μὴν διὰ τὸ ὑπάρχειν αὐτοενέργεια, τῆς οἰκείας ἐξίσταται φύσεως· ἄλλα γὰρ τὰ οὐσιώδη καὶ φυσικὰ, καὶ ἄλλα τὰ ὑποστατικὰ καὶ προσωπικά· εἰ δὲ οὐδέτερα θατέρου χωρὶς εἶναι ἀδύνατον· οὔτε γὰρ οὐσία ἐστὶν ἐκείνη ἀνυπόστατος, οὐδέ γε φύσις ἀνενέργητος, οὔθ' ὑπόστασις ἀνούσιος· ὅσα γὰρ περὶ Θεοῦ, εἴτε κατὰ θέσιν, εἴτε

κατ'

κατ᾽ ἀφαίρεσιν, εἴτε καθ᾽ ὑπεροχὴν καὶ ὑπέρβασιν λέγεται, οὐκ οὐσία ταῦτα, ἀλλὰ περὶ τὴν οὐσίαν ἐςὶ θεωρούμενα, εἰ καὶ οὐσιώδη πως καλεῖται ἢ φυσικά· οὐδὲ μέρη τῆς οὐσίας, ἡ Θεότης γὰρ ἀμερής. Οὕτω καὶ τῷ πυρὶ πρόσεςι τὸ κοῦφον, καὶ ἀνωφερὲς, καὶ τὸ φωτιςικὸν, καὶ καυςικὸν, δυνάμεις διάφοροι, ἀλλ᾽ οὐ σύνθετον διὰ τοῦτο τὸ πῦρ, ἀλλ᾽ ἁπλοῦν, ὅσον ἐν σώμασι φυσικοῖς τε καὶ ςοιχειώδεσι, κατὰ ἔχατον, ἵν᾽ οὕτως εἴπω, ἀπήχημα τῆς ἁπλότητος· καίτοι ἐνταῦθα οὐσιώδη ταῦτα ἐςὶ τῷ πυρὶ, ἐκεῖ δὲ τὰ μὲν περὶ τὴν οὐσίαν ἐςὶ θεωρούμενα, τὰ δὲ περὶ ἑκάςην τῶν ὑποςάσεων, ἕκαςα· διὸ πολλῷ πλέον οὐ λυμαίνεται τὸ ἁπλοῦν, οὔτε τῆς οὐσίας, οὔθ᾽ ἑκάςης τῶν ὑποςάσεων.

Ἀλλ᾽ οὐδ᾽ ἐπὶ πάντα, ἐν οἷς τις θεωρεῖται ποικιλίατε καὶ διάκρισις, ἤδη καὶ σύνθεσις παρεισάγεται· πᾶσα γὰρ οὐσία ἔχει καὶ δύναμιν, καὶ ἐνέργειαν, κἂν ἁπλῆτις εἴη, καὶ οὐ διὰ τοῦτο σύνθετον ἐροῦμεν πάντως καὶ τὴν ἁπλῆν· ἀνάγκη γὰρ, ἢ σύνθετον εἶναι τὴν ἁπλῆν, καὶ οὐδεμία ἔςαι ἁπλῆ· ἢ τὴν ἁπλῆν εἶναι χωρὶς ἐνεργείας τε καὶ δυνάμεως, ἅπερ ψεῦδος ἐςὶν ἐναργῶς· οὔτε γὰρ ἐνέργεια τῆς δυνάμεως χωρὶς ἐξ ἧς πρόεισιν, οὔτε δύναμις δίχα τῆς οὐσίας, ἀλλ᾽ οὐδὲ οὐσία χωρὶς τῆς ἐνεργεῖν δυναμένης δυνάμεως· εἰ δὲ ταῦτ᾽ ἀληθῆ, καὶ ἔςι καὶ ἡ ἁπλουςάτη ἁπλῶς οὐσία μετὰ τῆς ἐνούσης δυνάμεως ἔχουσα καὶ τὴν ἐκ τῆς δυνάμεως προϊοῦσαν ἐνέργειαν, καὶ διὰ ταῦτα σύνθεσις οὐκ ἔςι περὶ αὐτὴν, ὅτι περὶ τὸ αὐτὸ καὶ ἓν, τὴν οὐσίαν, ἄλλο μὲν ἡ δύναμις, ἄλλο δὲ ἡ ἐνέργεια· καὶ ὅτι ἓν καὶ τὸ αὐτὸ πρᾶγμα, ἐξ οὐσίας ἐςὶ καὶ δυνάμεως καὶ ἐνεργείας, εἰ οὕτω χρὴ φάναι· καὶ ὅτι τῷ λόγῳ διακέκριται, τῆς μὲν οὐσίας ἡ δύναμις, τῆς δὲ δυνάμεως ἡ ἐνέργεια· μία γὰρ καὶ οὕτως ἐςὶν ἁπλῆ οὐσία· πῶς ἄντις ἐπὶ τῆς ἁπλῆς τῷ ὄντι καὶ ἀσυνθέτου φύσεως, τολμήσῃ λέγειν, ὅτι σύνθεσις ἐκ τῶν φυσικῶν ἐνεργειῶν, ἢ ὑποςατικῶν ἰδιοτήτων εἰσάγεται; Καὶ τοῦτο εἰδὼς ὁ μέγας τῆς ἀληθείας κήρυξ, ὁ θειότατος Παῦλος, ἔγραφε

„ Κορινθίοις περὶ τῶν πνδυματικῶν „ διαιρέσεις χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν
„ εἰσὶν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων
„ εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι.
„ Καὶ πάλιν, ἑκάςῳ δίδοται ἡ φανέρωσις τȣ͂ Πνδύματος
„ πρὸς τὸ συμφέρον· ᾧ μὲν γὰρ διὰ τȣ͂ Πνδύματος δίδοται
„ λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ
„ Πνεῦμα, ἑτέρῳ δὲ πίςις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ
„ χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ Πνδύματι, ἄλλῳ δὲ
„ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ
„ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ
„ ἑρμluεία γλωσσῶν· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ
„ αὐτὸ Πνεῦμα, διαιρȣ͂ν ἰδίᾳ ἑκάςῳ καθὼς βȣ́λεται.

Καὶ ἐπὶ τῆς ἡμετέρας δὲ ψυχῆς τȣ͂το πρόδηλον· εἰ γάρ τις ἡμῶν ἐςὶν ἀςρονόμος, καὶ μȣσικὸς, ὁ δ' αὐτὸς ȣ͂τος καὶ γεωμέτρης καὶ ἀριθμητικὸς, διαλεκτικός τε πάλιν καὶ ῥήτωρ, γραμματικῆς ἔμπειρος, καὶ ἰατρικῆς, καὶ πολλῶν τινῶν ἐπιτηδδυμάτων εἰδήμων, ἆρ' ἐπειδὴ πολλὰ καὶ διάφορα τὰ θεωρήματα, ἢ νοήματα τῶν ἐπιςημῶν, καὶ τεχνῶν, καὶ μεθόδων, περὶ τlù μίαν θεωρεῖται ψυχlù, σιώθετος διὰ τȣ͂το ἡ ψυχὴ λογιθήσεται; ȣ̓͂μενȣν· ἀλλὰ ταῦτα μὲν ἔξωθεν, καὶ δι' ἐπιτηδειότητα προσγίνεσθαι πέφυκε τῇ ψυχῇ· προσέξωμεν δὲ ταῖς φυσικαῖς αὐτῆς ἐνεργείαις λοιπὸν, καὶ ὅρα, ὅτι κατὰ τlù αὐτlù καὶ μίαν ἡμέραν καὶ ὥραν, ἔςι δ' ὅτε καὶ τῆς ὥρας ῥοπlù, ἡ αὐτὴ καὶ μία ψυχὴ καὶ ὁρᾷ, καὶ ἀκȣ́ει, καὶ ὀσφραίνεται, καὶ γδύεται, καὶ ἅπτεται, καὶ νοεῖ, καὶ διανοεῖται, καὶ δοξάζει, ᾗ φαντάζεται, καὶ αἰσθάνεται, καὶ λογίζεται, καὶ ἐπιθυμεῖ, καὶ θυμȣ͂ται, καὶ θέλει, καὶ κρίνει, καὶ λαλεῖ, καὶ ὁρμᾷ· ἆρ' ȣ͂ν ἐπειδὴ τοσαῦται ἐνέργειαι περὶ τlù αὐτlù καὶ μίαν ψυχlù, καὶ ἐναργῶς ἐνεργȣ͂νται, καὶ ἀληθῶς θεωρȣ͂νται, σιώθετος διὰ ταῦτα ἔςαι, ἢ ὀρθῶς δοξαθήσεται; ἄπαγε! ὅμως ἐρωτῶ σε, σὺ δὲ ἀπόκριναί μοι· ἔχεις ψυχlù; παντίπȣ δῆλον· ἔχει ȣ̓σίαν ἡ σὴ αὐτη ψυχὴ, ἢ ἀνȣ́σιος ἐςίν;

ἔχει

ἔχει· ἔχει ἡ αὐτὴ καὶ ὑπόςασιν, ἢ ἀνυπόςατος ἐςίν; ἔχει· ἔχει τάχα ἡ αὐτὴ καὶ ἐνέργειαν, ἢ ἀνενέργητος ἐςί; ναὶ καὶ ἐνέργειαν ἔχει· ἄλλο ἐςὶν ἐνέργεια ἐν τῇ σῇ ψυχῇ, καὶ ἄλλο ὑπόςασις, καὶ ἄλλο ἐσία, ἢ ταυτὸν καὶ ὄντι ἁπλῶν, τὰ τρία ταῦτα ὑπάρχει; ἄλλο καὶ ἄλλο καὶ ἄλλο πάντως· καὶ πῶς ἐκ ἔςι σύνθετος ἡ σὴ ψυχὴ διὰ ταῦτα; ὡς οἶμαι πρὸς ταῦτα ἐδὲ δαίμων ἀναισχυντήσας ἀντείποι, εἰμήπε μαίνοιτο.

Εἰ δὲ λέγοι τις, ἄλλως ἔχει τὰ θεῖα, καὶ ἄλλως τὰ καθ᾽ ἡμᾶς, καὶ δι᾽ αὐτὸ τῦτο μάλιςα ἄπαγε τῦ πιςεύειν ἔτως εἶναι ταῦτα ἐν τῷ Θεῷ, ὅτι ἔτως εἰσὶν ἐν ἡμῖν· τὸ γὰρ μέσον Θεῦ καὶ ἀνθρώπων ἀνείκαςον· εἰ ταῦτα καὶ τὰ τοιαύτης τῆς διανοίας ἐχόμενα λέγοι, ἐννοείτω, ὅτι πρωτοτύπε καὶ εἰκόνος, Θεῦ δὲ λέγω καὶ ψυχῆς ἀνθρώπε, κατὰ τὸν τῆς ὁμοιώσεως λόγον, ἐδὲν ἐςὶν ὁμοιότερον, ἐδὲν πλησιέςερον. Ἀλλ᾽ ἵνα, ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, συνορᾶς ἐκ τέτων, ὅτι ὥσπερ ἐσίαν λέγοντες ἐν τῷ Θεῷ μίαν, ἄλλο τι ἔσαν παρὰ τὰς κατ᾽ αὐτὸν ἁγίας τρεῖς ὑποςάσεις, ἔτε σύνθεσιν, ἔτε τετράδα ποιῦμεν· περὶ γὰρ τὴν φύσιν αἱ ὑποςάσεις, ἀλλ᾽ ἐχὶ φύσις· καὶ ἐν ταῖς ὑποςάσεσιν ἡ φύσις, ἀλλ᾽ ἐχ ὑπόςασις· ἔτω καὶ ἐνέργειαν εἶναι περὶ Θεὸν, ἄλλο παρὰ τὴν φύσιν καὶ τὰς ὑποςάσεις δοξάζοντες, ἔτε σύνθετον τὸ θεῖον, ἔτε τετράδα νοῦμεν, ὅτι περὶ τὴν φύσιν αὕτη, ἀλλ᾽ ἐχὶ φύσις· καὶ ἐν ταῖς ὑποςάσεσιν ἐςὶν, ἐχ ὑπόςασις. Καὶ ταῦτα μὲν περὶ τῆς θείας ἐνεργείας νομίζω τόγε νῦν ἔχον ἀρκεῖ.

Περὶ δὲ τῆς θείας ἐλλάμψεως, φησὶν ὁ τῆς Κλίμακος Ἰωάννης „ἔλλαμψις ἐςὶν ἄῤῥητος ἐνέργεια, νοεμένη "
ἀγνώςως, καὶ ὁρωμένη ἀοράτως. "

Καὶ ὁ ἐξ Αἰγύπτε μέγας Μακάριος, ὥσπερ ὁ ἥλιος "
πάντῃ ὅμοιος ἐςὶ καὶ ὁλολαμπὴς, ἔτω καὶ ψυχὴ ἁ- "
γία ἡ καταλαμφθεῖσα καὶ φωτισθεῖσα τελείως, ἀπὸ "
τῦ ἀῤῥήτε κάλλες τῆς δόξης τῦ φωτὸς τῦ προσώπε "

Χρι-

„ Χριστοῦ, καὶ κοινωνήσασα Πνεύματος ἁγίου ὁλοτελῶς, καὶ
„ κατοικητήριον καὶ θρόνος Θεοῦ καταξιωθεῖσα γενέσθαι,
„ ὅλη ὀφθαλμὸς, ὅλη πρόσωπον, καὶ ὅλη φῶς, καὶ ὅλη
„ δόξα, καὶ ὅλη πνεῦμα γίνεται· ὃν φέρει, καὶ βαστάζει,
„ καὶ φορεῖ, οὕτως αὐτὴν κατασκευάζοντος, μᾶλλον δὲ ὁ
„ φέρων καὶ βαστάζων καὶ ἄγων αὐτήν, οὕτως εὐτρεπίζων
„ καὶ κατακοσμῶν ταύτην, τῷ τοῦ ἁγίου Πνεύματος κάλλει.

„ Καὶ Μάξιμος δὲ ὁ ἱερὸς οὕτω δίεισι „ τοῦτο ἐστὶ τὸ τοῦ
„ Θεοῦ Εὐαγγέλιον· πρεσβεία Θεοῦ, καὶ παράκλησις πρὸς
„ ἀνθρώπους, διὰ Υἱοῦ σαρκωθέντος, καὶ τῆς πρὸς τὸν Πα-
„ τέρα καταλλαγῆς, μισθὸν δωρουμένου τοῖς πειθομένοις αὐ-
„ τῷ τὴν ἀγένητον θέωσιν· ἀγένητον δὲ λέγω θέωσιν, τὴν
„ κατ' εἶδος ἐνυπόστατον ἔλλαμψιν, ἥτις οὐκ ἔχει γένεσιν,
„ ἀλλ' ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν. Καὶ πάλιν
„ τοῦ Θεολόγου Γρηγορίου ῥητὸν ἐξηγούμενος, οὕτω τίθησιν·
„ ἀψευδῆ δὲ νυκτὸς ὄψιν αὐτὸν ὑπολαμβάνω λέγειν, ἢ τὴν
„ ἐν τοῖς ὕπνοις κατὰ ψυχὴν γινομένην ἀκριβῆ τῶν πραγ-
„ μάτων κατάληψιν, ὡς ἐπὶ Ἰωσὴφ καὶ Δανιήλ· ἢ ὀπτα-
„ σίαν τινὰ θείων πραγμάτων, διὰ τὴν ἐκ τῆς πολλῆς κα-
„ θαρότητος ἄκραν ἀπάθειαν, καὶ ὀφθαλμοῖς ἁγίων
„ ὑποπίπτουσαν.

„ Συνῳδὰ τούτοις καὶ ὁ Νύσσης Γρηγόριος ὧδε φησίν,
„ ὁ μὲν τῶν πιστῶν γίνεται τόπος Θεοῦ, ὁ δὲ οἶκος, ἄλλος δὲ
„ θρόνος, καὶ ἕτερος ὑποπόδιον· ἔστι δέ τις καὶ ἅρμα γινό-
„ μενος, ἢ ἵππος εὐήνιος, δεχόμενος ἐφ' ἑαυτοῦ τὸν ἀγα-
„ θὸν ἐπιβάτην, καὶ πρὸς τὸ δοκοῦν τῷ εὐθύνοντι διανύων
„ τὸν δρόμον· γίνεται δέ τις καὶ φορεῖον αὐτῷ, ὁ κατὰ τὴν
„ ἐκείνου σοφίαν, οὐ μόνον τοῖς ἐκ τοῦ Λιβάνου κατασκευα-
„ ζόμενος ξύλοις, ἀλλὰ καὶ χρυσῷ καὶ ἀργύρῳ καὶ πορφύ-
„ ρᾳ καὶ λίθοις, καταλλήλως ἐν ἑκάστῳ μέρει καλλωπιζό-
„ μενος, δι' ὧν ἡ ἀγάπη αὐτοῦ ἐναργῶς γίνεται, οὐ πάντων
„ χωρούντων τὴν τῆς ἀγάπης ἐνέργειαν· ἀλλ' εἴ τις θυγάτηρ
„ τῆς ἄνω Ἱερουσαλὴμ τῆς ἐλευθέρας, διὰ βίου γνωρίζοιτο.
Καὶ περὶ Γρηγορίου δὲ τοῦ Θαυματουργοῦ ῥητῶς οὕτω δίεισι,
„ κατελλάμφθη τῷ φωτὶ διὰ τῆς βάτου Μωϋσῆς, ἐχομένη τι

συγγε-

συγγενὲς τῆς ὀπτασίας αὐτοῦ καὶ ἐπὶ τούτου εἰπεῖν, ὅτι “
νυκτὸς οὔσης γίνεται αὐτῷ φωτὸς ἔλλαμψις, κατὰ τὸν “
οἶκον προσευχομένῳ· ἄϋλον δέ τι τὸ φῶς ἐκεῖνο ἦν, θείᾳ “
δυνάμει καταφωτίζον τὸ οἴκημα, ὑπ᾽ οὐδενὸς πράγματος “
ὑλικοῦ ἐξαπτόμενον· καὶ ταῦτα μὲν οὗτος, “

Ὁ δὲ τῆς Ἀλεξάνδρου Κύριλλος, τὸ καλύπτεσθαί- “
φησι τῇ νεφέλῃ τὴν ἀρχαίαν σκηνὴν, οὐχ ἕτερον οἶμαι “
δηλοῦν, ἢ τὸ πεπλῆσθαι τῆς δόξης αὐτοῦ τοῦ Χριστοῦ τὴν ἀ- “
ληθεστέραν σκηνὴν, τουτέστι τὴν Ἐκκλησίαν· πεπλήρω- “
κε τοίνυν τὴν Ἐκκλησίαν ὁ Χριστὸς, καὶ τοῖς μὲν ἀμαθίᾳ “
καὶ πλάνῃ, καθάπερ ἐν νυκτὶ καὶ σκότῳ βαδίζουσι, πυ- “
ρὸς ἀναλάμπει δίκην, τὸν νοητὸν φωτισμὸν δηλονότι ἐνιείς· “
τοῖς γεμὴν ἤδη πεφωτισμένοις, καὶ ἡμέραν ἔχουσιν ἐν καρ- “
δίαις τὴν νοητὴν, τὴν παρ᾽ ἑαυτοῦ σκιάν τε καὶ σκέπην “
δωρούμενος, καὶ δρόσοις αὐτοὺς καταπιαίνων Πνευματικαῖς· “
τουτέστι ταῖς ἄνωθεν διὰ τοῦ Πνεύματος παρακλήσεσιν, “
ἀναπάυει καὶ ταῖς θείαις ἐλλάμψεσι. Καὶ πάλιν, τοῦ “
κατὰ Χριστὸν μυστηρίου προαναφώνησις ἦν τὸ καθιέσθαι τὸ “
πῦρ ἐπὶ τὰ θεῖα θυσιαστήρια, καθιέντος αὐτὸ δηλονότι, “
τοῦ πάντα ἀριστοτέχνου Θεοῦ· ὦφθαι γοῦν οὕτω φασὶν αὐτὸ “
τὸ Θεῖον τοῖς υἱοῖς Ἰσραὴλ ἐν τῷ ὄρει Σινᾶ· ἐν εἴδει γὰρ “
πυρὸς δέχεταί πως ἀεὶ τὸν Θεὸν τὸ γράμμα τὸ ἱερόν· “
ὁ αὐτὸς δ᾽ ἂν εἴη λόγος καὶ ἐπίγε τοῖς θύμασι τοῖς προ- “
τεθειμένοις δι᾽ Ἠλιοῦ ποτέ· καθίει γὰρ δὴ καὶ τότε τὸ πῦρ “
ὁ τῶν ὅλων Θεός. “

Τούτοις καὶ ὁ Χρυσορρήμων ἐπιφέρει ταυτί· οὐκ εἶ- “
πεν ἦν τὸ φῶς τῶν Ἰουδαίων, ἀλλὰ καθόλου τῶν ἀνθρώ- “
πων· κοινὸν γὰρ ἅπασι πρόκειται τοῦτο τὸ φῶς· μὴ δὴ “
τὰς θύρας ἀποκλείσῃς τῷ φωτὶ τούτῳ, καὶ πολλῆς ἀπο- “
λαύσεις τῆς τρυφῆς· παραγίνεται δὲ τοῦτο τὸ φῶς διὰ “
πίστεως, καὶ παραγενόμενον καταλάμπει τὸ λοιπὸν με- “
τὰ πολλῆς τῆς δαψιλείας τὸν ὑποδεξάμενον· κἂν βίον “
παρέχῃς καθαρὸν αὐτῷ, μένει διηνεκῶς ἐνοικοῦν ἔνδον· “
ὁ γὰρ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει, καὶ ἐγὼ καὶ “
ὁ Πατὴρ ἐλευσόμεθα, φησὶ πρὸς αὐτὸν, καὶ μονὴν παρ᾽ “
αὐτῷ

,, αὐτῷ ποιήσομεν· ὥσπερ ἡλιακῆς ἀκτῖνος ἀπολαύειν ὡς
,, χρὴ οὐκ ἔνι μὴ διανοίγοντα τοὺς ὀφθαλμοὺς, οὕτως οὐδὲ
,, ταύτης μετασχεῖν τῆς λαμπρότητος δαψιλῶς, μὴ σφό-
,, δρα ἀναπετάσαντα τὸ τῆς ψυχῆς ὄμμα, καὶ ὀξυδερ-
,, κὲς αὐτὸ πάντοθεν κατασκευάσαντα· πῶς δὲ γίνεται
,, τοῦτο; ὅταν πάντων ἐκκαθαίρωμεν τῶν παθῶν τὴν ψυ-
,, χὴν, οὕτως ἀεὶ τοῦτο ἡμᾶς δαψιλῶς φωτίζει τὸ φῶς·
,, καὶ ὥσπερ τοῦ ἡλίου ἐν μεσημβρίᾳ λάμποντος, τὸ ἐκπεμ-
,, πόμενον μὲν ἐξ αὐτοῦ φῶς, τρανῶς καθορῶμεν· αὐτὸν
,, δὲ ἐκεῖνον ποσῶς κατιδεῖν καὶ καταμαθεῖν οὐκ ἰσχύομεν, ὅ-
,, μως δὲ βλέπειν αὐτὸν ἐπ᾽ ἀληθείας λέγομεν, οὕτω καὶ οἱ
,, ἄγγελοι, τὴν ἀστράπτουσαν δόξαν καθορῶντες τοῦ Πνεύ-
,, ματος, ἐν αὐτῇ καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα ὁρῶσιν·
,, οὐχ οὕτω δὲ καὶ οἱ ἁμαρτωλοὶ, καὶ οἱ ἀκάθαρτοι· ἐκεῖνοι
,, γὰρ τυφλοῖς καὶ ἀναισθήτοις ἐοίκασιν· ὥσπερ γὰρ οἱ τυ-
,, φλοὶ τὸ φῶς τοῦ αἰσθητοῦ ἡλίου λάμπον οὐ βλέπουσιν, οὕτω
,, δὴ καὶ αὐτοὶ τὸ θεῖον φῶς ἀεὶ φαῖνον οὐ καθορῶσιν, οὔτε
,, μὴν ἐπαισθάνονται τῆς θέρμης αὐτοῦ. Καὶ πάλιν· ὁ
,, Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς
,, καρδίαις ἡμῶν· εἶδες πῶς τοῖς ζητοῦσι τὴν δόξαν ἐκείνην
,, ἰδεῖν τὴν ὑπερβάλλουσαν, τοῦ Μωσέως λέγω, δείκνυσι
,, μετὰ προσθήκης ἀστράπτουσαν, καθάπερ εἰς τὸ πρόσω-
,, πον τοῦ Μωσέως; οὕτω καὶ εἰς τὰς ἡμετέρας καρδίας ἔλαμ-
,, ψε φησίν· ἀλλὰ τότε μὲν εἶπε γενηθήτω φῶς, καὶ ἐγένετο
,, φῶς· νῦν δὲ οὐκ εἶπεν, ἀλλ᾽ αὐτὸς ἡμῖν γέγονε φῶς· οὐ
,, γὰρ λέγει καὶ νῦν ὅτι εἶπεν, ἀλλ᾽ ὅτι αὐτὸς ἔλαμψε·
,, διὰ τοῦτο οὐδὲ αἰσθητὰ πράγματα ὁρῶμεν τοῦ φωτὸς
,, ἡμᾶς περιλάμποντος τούτου, ἀλλ᾽ αὐτὸν τὸν Θεὸν διὰ τοῦ
,, Χριστοῦ. Ὁρᾷς τὸ ἀπαράλλακτον τῆς Τριάδος; περὶ μὲν
,, γὰρ τοῦ Πνεύματος φησὶν, ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμέ-
,, νῳ τῷ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν
,, αὐτὴν εἰκόνα μεταμορφούμεθα, ἀπὸ δόξης εἰς δόξαν,
,, καθάπερ ἀπὸ Κυρίου Πνεύματος· περὶ δὲ τοῦ Υἱοῦ, εἰς τὸ
,, μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς
,, δόξης τοῦ Χριστοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ· περὶ δὲ τοῦ Πατρὸς,
,, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν

ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ, ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ· ὥσπερ γὰρ εἰπὼν τοῦ Εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ἐπήγαγεν, ὅ ἐστιν εἰκὼν τοῦ Θεοῦ, δεικνὺς ὅτι καὶ τῆς ἐκείνου δόξης ἀπεστερήθησαν, οὕτως εἰπὼν τῆς γνώσεως τοῦ Θεοῦ, ἐπήγαγεν ἐν προσώπῳ Χριστοῦ, δεικνὺς ὅτι διὰ τούτου τὸν Πατέρα γινώσκομεν· ὥσπερ οὖν καὶ διὰ τοῦ Πνεύματος αὐτῷ προσαγόμεθα· ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν.

Ἐπειδὴ πολλὰ καὶ μεγάλα εἶπε περὶ τῆς ἀποῤῥήτου δόξης, ἵνα μήτις λέγῃ, καὶ πῶς τοσαύτης δόξης ἀπολαύοντες μένομεν ἐν θνητῷ σώματι; φησὶν, ὅτι τοῦτο μὲν οὖν αὐτὸ μάλιστα ἐστὶ τὸ θαυμαστὸν, καὶ δεῖγμα μέγιστον τῆς τοῦ Θεοῦ δυνάμεως, ὅτι σκεῦος ὀστράκινον τοσαύτην ἠδυνήθη λαμπρότητα ἐνεγκεῖν, καὶ τηλικοῦτον φυλάξαι θησαυρόν· ὅπερ οὖν καὶ θαυμάζων ἔλεγεν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν. Καὶ αὖθις, τὸ Πνεῦμα μὴ σβέννυτε· ἀχλύς τις παχεῖα, ζόφος καὶ νεφέλη κατακέχυται τῆς γῆς ἁπάσης· καὶ τοῦτο δηλῶν ὁ Ἀπόστολος ἔλεγεν, ἦμεν γάρ ποτε σκότος· καὶ πάλιν, ὑμεῖς ἀδελφοὶ οὐκ ἐστὲ ἐν σκότει· ἐπεὶ οὖν νὺξ ἐστὶν, ὡς εἰπεῖν, ἀσέληνος, καὶ ἐν ταύτῃ τῇ νυκτὶ βαδίζομεν, ἔδωκεν ἡμῖν λαμπάδα φαιδρὰν ὁ Θεὸς τοῦ Πνεύματος τὴν χάριν ἀνάψας ἐν ταῖς ἡμετέραις ψυχαῖς· ἀλλὰ τοῦτο τὸ φῶς, οἱ μὲν δεξάμενοι λαμπρότερον εἰργάσαντο καὶ φαιδρὸν, οἷον ὡς Παῦλος, ὡς Πέτρος, ὡς οἱ ἅγιοι πάντες ἐκεῖνοι· οἱ δὲ ἔσβεσαν, ὡς αἱ πέντε παρθένοι, ὡς ἐκεῖνοι οἱ περὶ τὴν πίστιν ναυαγήσαντες· διὰ τοῦτο ὁ Παῦλος καὶ νῦν λέγει, τὸ Πνεῦμα μὴ σβέννυτε· τουτέστι τὸ χάρισμα· οὕτω γὰρ αὐτὸ καλεῖν ἔθος τὸ χάρισμα τοῦ Πνεύματος· σβέννυσι δὲ αὐτὸ βίος ἀκάθαρτος· καὶ καθάπερ ἡ πηγὴ ἡ βρύουσα ἀπαύστως τὰ ῥεῖθρα τὰ καθαρὰ, οὐδέποτε κωλύει τὸν ποθοῦντα δαψιλῶς ἀπολαύειν αὐτῶν, οὕτως ἡ θεία χάρις ἥπλωται τοῖς ἅπασιν, ἀπολαύειν ἕκαστον, καθ' ὅ,τι δ' ἂν βούληται.

Τέτρις

Τούτοις συνᾴδων καὶ Γρηγόριος ὁ θεολόγος οὕτω φησὶν, „ ἐξελθόντα δὲ αὐτὸν ἐκ τοῦ ὕδατος, φῶς περιαστράπτει καὶ δόξα τῆς διαθέσεως ἀξία, μεθ' ἧς προσῆλθε τῷ χρίσματι τῆς πίστεως, ἔστι μὲν οἷς καὶ τῶν ἄλλων ἐπίδηλος, οἳ τότε μὲν σιωπῇ τὸ θαῦμα κατεῖχον, ἐξειπεῖν οὐ θαῤῥήσαντες· καὶ γὰρ αὐτοῦ μόνου τὴν ὄψιν εἶναι ταύτην ἕκαστος ᾤετο, μικρὸν δ' ὕστερον ἀλλήλοις διέδωκαν· τῷ δὲ βαπτιστῇ καὶ τελειωτῇ τοσοῦτον ἐναργής τε καὶ γνώριμος, ὡς μήτε κατασχεῖν τὸ μυστήριον, ἀλλὰ καὶ δημοσίαν ῥῆξαι φωνὴν, ὅτι τὸν ἑαυτοῦ διάδοχον τὸ Πνεῦμα χρίσειεν· ἀλλὰ τοῦτο μὲν ἰδίως περὶ τοῦ ἰδίου λέγει πατρὸς, ἐκεῖνο δὲ κοινὸν λόγον περὶ πάντων φησὶν „ ᾧτινι μὲν οὖν ἐξεγένετο διασχόντι τὴν ὕλην, καὶ τὸ σαρκικὸν τοῦτο, εἴτε νέφος χρὴ καλεῖν, εἴτε προκάλυμμα, Θεῷ συγγενέσθαι, καὶ τῷ ἀκραιφνεστάτῳ φωτὶ κραθῆναι, καθ' ὅσον ἐφικτὸν ἀνθρωπίνῃ φύσει, μακάριος οὗτος, τῆς τε ἐντεῦθεν ἀναβάσεως, καὶ τῆς ἐκεῖθεν θεώσεως, ἣν τὸ γνησίως φιλοσοφῆσαι χαρίζεται, καὶ τὸ ὑπὲρ τὴν ὑλικὴν δυάδα γενέσθαι, διὰ τὴν ἐν τῇ Τριάδι νοουμένην ἑνότητα.

Καὶ ἡ Βασίλειος δὲ τῆς Ἐκκλησίας φωνὴ, ὁ οὐρανοφάντωρ, παραπλησίως τούτοις διέξεισιν „ ἄῤῥητοι παντελῶς καὶ ἀνεκδιήγητοι τοῦ θείου κάλλους αἱ ἀστραπαί· οὐ παρίστησι λόγος, οὐ δέχεται ἀκοή· κἂν Ἑωσφόρου αὐγὰς εἴπῃς, κἂν σελήνης λαμπρότητα, κἂν ἡλίου φῶς, πάντα ἄτιμα πρὸς εἰκασίαν τῆς δόξης, καὶ πλέον ἀπολειπόμενα πρὸς τὴν τοῦ ἀληθινοῦ φωτὸς σύγκρισιν, ἢ καθ' ὅσον βαθεῖα νὺξ, καὶ συγνὴ σκοτόμαινα μεσημβρίας καθαρωτάτης. Καὶ πάλιν, κάλλος ἀληθινὸν καὶ ἐρασμιώτατον, μόνῳ τῷ τὸν νοῦν κεκαθαρμένῳ θεωρητὸν, τὸ περὶ τὴν θείαν καὶ μακαρίαν φύσιν ἐστὶν, οὗ ἐνατενίσας ταῖς μαρμαρυγαῖς καὶ ταῖς χάρισι μεταλαμβάνει τὶ ἀπ' αὐτοῦ, ὥσπερ ἀπό τινος βαφῆς, αἴγλην τινὰ ἀνθηρὰν εἰς τὴν οἰκείαν ὄψιν ἀναχρωννύμενος· ὅθεν καὶ Μωϋσῆς τῷ μετειληφέναι τοῦ κάλλους ἐκείνου, ἐν τῷ ὁμιλεῖν Θεῷ ἐδοξάσθη τὸ πρόσωπον.

Καὶ

„Καὶ αὖθις, διὰ καθαρότητος ἐστι μόνως προσεγγίσαι τῷ Παρακλήτῳ· ὁ δὲ, ὥσπερ ἥλιος καθαρὸν ὄμμα παραλαβὼν, δείξει σοι ἐν ἑαυτῷ τὴν εἰκόνα τοῦ ἀοράτου· ἐν δὲ τῷ μακαρίῳ τῆς εἰκόνος θεάματι, τὸ ἄρρητον ὄψῃ τοῦ ἀρχετύπου κάλλος· διὰ τούτου καρδιῶν ἀναβάσεις, χειραγωγία τῶν ἀσθενούντων, τῶν προκοπτόντων τελείωσις· τοῦτο τοῖς ἀπὸ πάσης κηλῖδος κεκαθαρμένοις ἐλλάμπον, τῇ πρὸς αὐτὸ κοινωνίᾳ, πνευματικοὺς ἀποδείκνυσι· καὶ ὥσπερ τὰ διαφανῆ καὶ λαμπρὰ τῶν σωμάτων, ἀκτῖνος αὐτοῖς ἐπιπεσούσης, αὐτὰ γίνεται περιλαμπῆ, καὶ ἑτέραν αὐγὴν ἀφ' ἑαυτῶν ἀποστίλβει, οὕτως αἱ πνευματοφόροι ψυχαὶ, ἐλλαμφθεῖσαι παρὰ τοῦ Πνεύματος, αὐταί τε ἀποτελοῦνται πνευματικαὶ, καὶ εἰς ἑτέρας τὴν χάριν ἐξαποστέλλουσιν· ἐντεῦθεν μελλόντων πρόγνωσις, μυστηρίων σύνεσις, κεκρυμμένων κατάληψις, χαρισμάτων διανομὴ, τὸ οὐράνιον πολίτευμα, ἡ μετ' ἀγγέλων χορεία, ἡ ἀτελεύτητος εὐφροσύνη, τὸ ἀκρότατον τῶν ὀρεκτῶν· Θεὸν γενέσθαι μετὰ τὴν ἔνθεον διαγωγὴν, καὶ τὴν πρὸς Θεὸν ὁμοίωσιν· καὶ ὥσπερ τὸ αἰσθητὸν τοῦτο φῶς, οὐ πᾶσιν ὁμοίως ἀνατέλλει, ἀλλὰ τοῖς ἔχουσι τοὺς ὀφθαλμοὺς καὶ ἐγρηγορόσι, καὶ ὑπ' οὐδενὸς κωλύματος ἀπολαύειν δυναμένοις τῆς τοῦ ἡλίου ἐπιδημίας, οὕτω καὶ ὁ τῆς δικαιοσύνης ἥλιος, τὸ ἀληθινὸν φῶς, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, οὐ πᾶσι τὴν ἑαυτοῦ φαιδρότητα χαρίζεται, ἀλλὰ τοῖς ἀξίως αὐτοῦ πολιτευομένοις· φῶς γὰρ φησὶν ἀνέτειλεν, οὐχὶ τῷ ἁμαρτωλῷ, ἀλλὰ τῷ δικαίῳ· ὡς γὰρ ἀνατέλλει μὲν ὁ ἥλιος, ἀλλ' οὐχὶ ταῖς νυκτερίσιν, ἢ τοῖς ἄλλοις ζώοις τοῖς νυκτινόμοις, οὕτω καὶ τὸ νοητὸν φῶς τῇ μὲν αὐτοῦ φύσει λαμπρὸν ἐστὶ καὶ φαιδρυντικὸν, οὐ πάντες δὲ αὐτοῦ τῆς λαμπηδόνος μεταλαμβάνουσιν· ὅτι τὴν μὲν παρ' ἡμῖν πρωΐαν ὁ αἰσθητὸς ἥλιος ποιεῖ, ἐπειδὰν τὸν καθ' ἡμᾶς ὁρίζοντα ὑπερκύψῃ· τὴν δὲ ἐν τῇ ψυχῇ πρωΐαν ὁ τῆς δικαιοσύνης ἥλιος ἀποτελεῖ, τῇ ἀνατολῇ τοῦ φωτὸς τοῦ νοητοῦ, ποιῶν ἡμέραν ἐν τῷ παραδεξαμένῳ αὐτόν· ἐν νυκτὶ γὰρ ἐσμὲν, παρὰ τὸν καιρὸν τῆς ἀγνωσίας οἱ ἄν-

„ θρωποι· ἐπειδὰν οὖν ἀναπετάσαντες ἑαυτῶν τὸ ἡγεμονικόν, ὑποδεξώμεθα τὸ ἀπαύγασμα τῆς δόξης, καὶ περιλαμφθῶμεν τῷ φωτὶ τῷ ἀϊδίῳ, καὶ γενώμεθα τέκνα φωτός, καὶ ἡ νὺξ μὲν ἡμῖν προκόψῃ, ἡ δὲ ἡμέρα ἐγγίσῃ, τότε ἄξιοι τῆς τοῦ Θεοῦ βοηθείας γινόμεθα· καὶ ὥσπερ τὰ τοῖς ἀνθηροῖς χρώμασι παρακείμενα, ἐκ τῆς παρεούσης αὐγῆς καὶ αὐτὰ καταχρώννυνται, οὕτως ὁ ἐναργῶς ἐνατενίσας τῷ Πνεύματι, ἐκ τῆς ἐκείνου δόξης, μεταμορφοῦταί πως πρὸς τὸ φανερώτερον, οἷον τινὶ μορφῇ, τῇ ἐκ τοῦ Πνεύματος ἀληθείᾳ τὴν καρδίαν καταλαμπόμενος· καὶ τοῦτο ἐστί, τὸ μεταμορφοῦσθαι ἀπὸ τῆς δόξης τοῦ Πνεύματος, εἰς τὴν οἰκείαν δόξαν, οὐ μικρολόγως, οὐδὲ ἀμυδρῶς, ἀλλ' ἐπὶ τοσοῦτον, ἐφ' ὅσον ἐστὶν εἰκὸς τὸν ὑπὸ τοῦ Πνεύματος φωτιζόμενον· ὀφθαλμὸς δὲ ἀσθενὴς φῶς ἡλιακῆς ἀκτῖνος, οἷον νοῦς ἐμπαθὴς τὴν τοῦ Πνεύματος χάριν οὐχ ὑποδέχεται.

„ Καὶ αὖθις, τοῦτο καὶ τοῖς Ἀποστόλοις ἐνήργησεν, ἡνίκα ἐλάλουν πυρίναις γλώσσαις, ὃ καὶ Παῦλον περιλάμψαν, τὴν μὲν αἴσθησιν τῆς ὄψεως αὐτοῦ ἠμαύρωσε, τοὺς δὲ ὀφθαλμοὺς τῆς καρδίας ἐφώτισεν· οὐ γὰρ χωρεῖ σαρκὸς ὅρασις ἐκείνου τοῦ φωτὸς τὴν δύναμιν· τοῦτο τὸ πῦρ ὤφθη Μωϋσῇ ἐν τῇ βάτῳ· τοῦτο ἐν εἴδει σχήματος τὸν Ἡλίαν ἐκ τῆς γῆς ἀνήρπασε· τούτου τοῦ πυρὸς τὴν ἐνέργειαν ζητῶν ὁ μακάριος Δαυὶδ ἔλεγε, δοκίμασόν με Κύριε· πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου· τοῦτο τὸ πῦρ τὴν καρδίαν τοῦ Κλεώπα, καὶ τοῦ σὺν αὐτῷ ἐθέρμανε, λαλοῦντος τοῦ Σωτῆρος αὐτοῖς· καὶ οἱ Ἄγγελοι δέ, καὶ τὰ λειτουργικὰ πνεύματα, τούτου τοῦ πυρὸς μετέχουσι κατὰ τὸ γεγραμμένον, ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· τοῦτο τὸ πῦρ τὴν ἐν τῷ ὀφθαλμῷ δοκὸν κατακαῖον, καθαρὸν τὸν νοῦν ἀποκαθίστησιν, ἵνα τὸ κατὰ φύσιν ἀπολαβὼν διορατικόν, μὴ τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ κάρφος ὁρᾷ, ἀλλὰ διηνεκῶς τὰ τοῦ Θεοῦ θαυμάσια, κατὰ τὸν λέγοντα, ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατα-

νοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου· τοῦτο τὸ πῦρ δαιμό- “
νων ἐςὶ φυγαδευτήριον, καὶ κακίας πάσης ἀναλωτικὸν, “
ἁμαρτίας ἀναιρετικὸν, ἀναςάσεως δύναμις, καὶ ἀθα- “
νασίας ἐνέργεια, ψυχῶν ἁγίων φωτισμὸς, καὶ λογικῶν “
δυνάμεων σύςασις· τοῦτο καὶ ἡμεῖς εὐξώμεθα φθάσαι “
καὶ εἰς ἡμᾶς, ἵνα πάντες ἐν τῷ φωτὶ περιπατοῦντες, “
μηδέποτε κἂν πρὸς βραχὺ προσκόψωμεν· καὶ γὰρ ἆθ- “
λον ἀρετῆς, γενέσθαι Θεὸν, καὶ τῷ ἀκραιφνεςάτῳ φω- “
τὶ καταςράπτεσθαι, τῆς ἡμέρας ἐκείνης Υἱὸν γενόμενον, “
ἣ μὴ διακόπτεται ζόφῳ· ἄλλος γὰρ ταύτην ποιεῖ ἥλιος, “
ὁ τὸ ἀληθινὸν φῶς ἀπαςράπτων· ὃς ἐπειδὰν ἅπαξ ἐπι- “
φαύσῃ ἡμῖν, οὐκέτι ἐν δυσμαῖς κρύπτεται, ἀλλὰ πάντα “
τῇ φωτιςικῇ αὐτοῦ δυνάμει περιπτυξάμενος, διηνεκὲς, “
καὶ ἀδιάδοχον τὸ φῶς τοῖς ἀξίοις ἐμποιεῖ, καὶ αὐτοὺς “
τοὺς μετέχοντας τοῦ φωτὸς ἐκείνου, ἄλλους ἡλίους ἀπερ- “
γαζόμενος. “

Ὅ γε μὴν τῆς ἀθανασίας φερώνυμος, ὁ Ἀλεξανδρείας,
τοιάδε φησὶν „ ἀνθ᾽ ἡλίου ὁ Θεὸς ἀνατέλλει καταυγάζων τῇ “
ἑκάςου ψυχῇ· διὰ τοῦτο καὶ ἐν αὐτῷ τῷ σωτηρίῳ πάθει “
οὐκ ἔφανεν ὁ ἥλιος, σημαίνων τέλος μὲν τῆς προτέρας “
κτίσεως, ἀρχὴν δὲ ἑτέρας, τὴν ἐκ τοῦ Σωτῆρος ἀνατέλ- “
λουσαν· ἣν ἑωρακὼς ὁ Προφήτης φησὶν, ἰδοὺ ἀνὴρ, ἀνα- “
τολὴ ὄνομα αὐτῷ· ἡμῖν γὰρ τοῖς φοβουμένοις αὐτὸν “
ἀνατέλλει ἥλιος δικαιοσύνης· οὐ πάντων δὲ ἡ ἡμέρα αὕτη, “
ἀλλὰ τῶν ἀποθανόντων τῇ ἁμαρτίᾳ, ζώντων δὲ τῷ Κυ- “
ρίῳ· ὥσπερ δὲ ὁ ἐπιμύσας τοὺς ὀφθαλμοὺς οἰκεῖον ἔχει τὸ “
σκότος, οὕτως ὁ ἀναχωρήσας τοῦ Πνεύματος, ἔξω γενό- “
μενος τοῦ φωτίζοντος, ὑπὸ τῆς κατὰ ψυχὴν ἀορασίας “
συγκέχυται· καὶ ὥσπερ ἐνεργεῖ τὸ ἀπαύγασμα τοῦ ἡλίου “
τούτου ταῖς σαρκικαῖς ὄψεσιν, οὕτως ἐνεργεῖ ἡ δόξα τοῦ “
ἁγίου Πνεύματος, τοῖς κατὰ τὸν ἔσω ἄνθρωπον καθα- “
ροῖς ὄμμασι. Καὶ πάλιν, ἀναβλέψας ὁ Ἀντώνιος, εἶδε “
τὴν ςέγην, ὥσπερ διανοιγομένην, καὶ ἀκτῖνα φωτός τι- “
νὰ κατερχομένην πρὸς αὐτόν· καὶ οἱ μὲν δαίμονες ἐξαί- “
φνης ἄφαντοι γεγόνασιν, ὁ πόνος δὲ τοῦ σώματος εὐθὺς “

„ ἐπέπαυτο, καὶ ὁ οἶκος ἦν πάλιν ὁλόκληρος· ὁ δὲ Ἀν-
„ τώνιος αἰσθόμενος τῆς ἀντιλήψεως, καὶ πλέον ἀναπνεύ-
„ σας, κουφισθείς τε τῶν πόνων, ἐδεῖτο τῆς φανείσης
„ ὀπτασίας, λέγων, ποῦ ἦς; διατὶ μὴ ἐξ ἀρχῆς ἐφάνης,
„ ἵνα μου τὰς ὀδύνας παύσῃς; καὶ φωνὴ ἐγένετο πρὸς
„ αὐτὸν, Ἀντώνιε ὧδε ἤμην, ἀλλὰ περιέμενον ἰδεῖν τὸν
„ σὸν ἀγωνισμόν.

Σὺν τούτοις καὶ ὁ ἐξ Ἀρείου Πάγου Διονύσιος, ὁ πο-
„ λὺς τὰ θεῖα φησὶ, σκοπὸς ἱεραρχίας ἐστὶν, ἡ πρὸς Θεὸν,
„ ὡς ἐφικτὸν, ἀφομοίωσίς τε καὶ ἕνωσις, τοὺς ἑαυτοῦ θια-
„ σώτας ἀγάλματα θεῖα τελῶν, ἔσοπτρα διειδέστατα καὶ
„ ἀκηλίδωτα, δεκτικὰ τῆς ἀρχιφώτου καὶ θεαρχικῆς ἀκτῖ-
„ νος. Καὶ πάλιν, συγχαίρειν λέγονται τῷ Θεῷ, αἱ οὐρά-
„ νιαι δυνάμεις, τῇ τῶν ἀπολωλότων εὑρέσει, κατὰ τὴν
„ θεοειδῆ ῥᾳστώνην, καὶ τὴν ἐπὶ τῇ προνοίᾳ καὶ σω-
„ τηρίᾳ τῶν ἐπὶ Θεὸν ἐπιστρεφομένων, θεοειδῆ καὶ ἄφ-
„ θονον εὐφροσύνην, καὶ τὴν εὐπάθειαν ἐκείνην τὴν
„ ἄῤῥητον, ἧς ἐν μεθέξει πολλάκις γεγόνασι καὶ ἄν-
„ δρες ἱεροὶ, κατὰ τὰς θεουργοὺς τῶν θείων ἐλλάμψεων
„ ἐπιφοιτήσεις.

Ἀκούεις πῶς ὁ μὲν τῶν ἁγίων, ὅτι σβεννῦσιν αὐτὸ βίος ἀκάθαρτος ἀποφαίνεται· ὁ δὲ, νοῦς ἐμπαθὴς τὴν τοῦ Πνεύματος χάριν οὐχ ὑποδέχεται· ἄλλος, οὐ πάντων δὲ ἡ ἡμέρα αὕτη, ἀλλὰ τῶν ἀποθανόντων τῇ ἁμαρτίᾳ· καὶ ἕτερος, ὅτι οἱ ἁμαρτωλοὶ καὶ ἀκάθαρτοι τυφλοῖς καὶ ἀναισθήτοις ἐοίκασιν; οὐκοῦν μηδ' ὅτι καὶ αὐτὸς, ἅτε ἀνάξιος, οὐχ ὁρᾷς αὐτὸ, ἐντεῦθεν μήθ' ὑπάρχειν λοιπὸν, μήτε μετέχεσθαι πρός τινος ὑπολάμβανε· ὡς εἴ τις τῶν ἐκ γενετῆς τυφλῶν, ἐπεὶ μὴ βλέπει τὸ φῶς, μήτε ἥλιον ὅλως εἶναι, μήθ' ὑπό του ὁρᾶσθαι διϊσχυρίζοιτο· ἀλλὰ καὶ βίον ἄξιον τούτου ἐπίδειξαι, καὶ φῶς ὁρᾶσθαι δικαίοις διὰ παντὸς πίστευε· ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πᾶσι τὸ φῶς ἐδωρήσατο· ἀλλ' οἱ μὴ πειθόμενοι τούτῳ ἑαυτοὺς σκοτίζουσι, καὶ ὅσα τὸ τῆς διανοίας καθαρὸν ἐπιθολοῦσι, τῷ καθαρωτάτῳ φωτὶ οὐκ ἐπιτρέπει τὴν εἴσοδον·

καὶ

καὶ εἰκότως· ὄτε γὰρ κατόπτρῳ ῥυπῶντι δυνατὸν τῶν εἰκόνων δέξασθαι τὰς ἐμφάσεις, ὄτε ψυχὴν ταῖς βιωτικαῖς περιειλημμένην φροντίσι, καὶ τοῖς ἐκ τοῦ φρονήματος τῆς σαρκὸς ἐπισκοτουμένην πάθεσι, δυνατὸν ὑποδέξασθαι τοῦ ἁγίου Πνεύματος τὰς ἐλλάμψεις· χρυσοῦς γάρ τις ἦν ὁ εἰπὼν, ἀγαθοῦ μετέχειν τινὸς οὐ θέμις τὰς ἀνοσίους ψυχάς. Ἀλλὰ περὶ μὲν θείας ἐλλάμψεως, ἱκανὰ ταῦτα πρὸς τὸ παρόν.

Περὶ δὲ τοῦ θείου καὶ ἀκτίστου φωτὸς, τοῦ ἐν τῷ Θαβωρίῳ, ὅτι ἄκτιστον, ὅτι θεῖον, ὅτι τῆς θεότητος ἀΐδιος ἀστραπὴ, ὁ μὲν μέγας ἐν θεοσόφοις πατράσιν Ἐφραὶμ ὁ Σύρος οὕτω φησὶν „ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ " ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένοντο λευκὰ ὡς τὸ φῶς· " ἔδειξεν ὅτι ἐξ ὅλου τοῦ σώματος αὐτοῦ ἔβρυεν ἡ δόξα τῆς " θεότητος αὐτοῦ, καὶ ἐξ ὅλων τῶν μελῶν αὐτοῦ ἔλαμψε τὸ φῶς αὐτοῦ· οὐ γὰρ ὡς Μωσέως ἔξωθεν ἡ σὰρξ αὐτοῦ ἔλαμψεν ἐν εὐπρεπείᾳ, ἀλλ' ἐξ ἑαυτοῦ ἔβρυεν ἡ δόξα " τῆς θεότητος αὐτοῦ· καὶ οὐχ ὅλην τὴν ἄβυσσον τῆς δόξης αὐτοῦ παρέδειξεν, ἀλλ' ὅσον ἐχώρησε τὸ μέτρον τῶν " κορῶν τῶν ὀφθαλμῶν αὐτῶν. Καὶ πάλιν, ἐχάρησαν οἱ " Προφῆται ἰδόντες τοῦ Λόγου τὴν ἀνθρωπότητα· ἐχάρησαν οἱ Ἀπόστολοι ἰδόντες τοῦ Ἰησοῦ τὴν θεότητα, μᾶλλον δὲ τὴν τῆς θεότητος δόξαν. Καὶ αὖθις, ἀνήγαγεν " αὐτοὺς εἰς τὸ ὄρος, καὶ δείκνυσιν αὐτοῖς τὴν δόξαν τῆς " θεότητος αὐτοῦ πρὸ τῆς ἀναστάσεως, ἵνα ὅταν ἀναστῇ " ἐκ νεκρῶν, ἐν τῇ δόξῃ τῆς φύσεως τῆς θεότητος αὐτοῦ, " γνώσωνται ὅτι οὐχ ὑπὲρ τοῦ κόπου αὐτοῦ ἔλαβε τὴν δόξαν αὐτοῦ ὡς ἐνδεὴς, ἀλλ' ἦν αὐτοῦ προαιώνιος, σὺν τῷ " Πατρὶ, καὶ μετὰ τοῦ Πνεύματος, καθὼς εἶπεν ἐρχόμενος ἐπὶ τὸ ἑκούσιον πάθος· Πάτερ δόξασόν με τῇ δόξῃ ᾗ " εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί· ταύτην οὖν " τὴν δόξαν τῆς θεότητος αὐτοῦ, ἄδηλον οὖσαν καὶ κεκρυμμένην ἐν τῇ ἀνθρωπότητι, ἐπέδειξε τοῖς Ἀποστόλοις ἐν " τῷ ὄρει· καὶ τὸν Πατέρα εἶχε συμφωνοῦντα καὶ λέγοντα, οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα. "

Σὺν τούτῳ καὶ Ἰωάννης ὁ Δαμασκηνὸς πανηγυρίζων
,, οὕτω φησὶ, σήμερον φωτὸς ἀπροσίτου ἄβυσσος· σήμερον
,, αἴγλης θείας χύσις ἀπεριόριστος, ἐν Θαβὼρ τῷ ὄρει τοῖς
,, Ἀποστόλοις αὐγάζεται· νῦν ὡράθη τὰ τοῖς ἀνθρωπίνοις
,, ἀθέατα ὄμμασι· σῶμα γήϊνον θείαν ἀπαυγάζει λαμ-
,, πρότητα· σῶμα θνητὸν δόξαν πηγάζει θεότητος· ὁ Λό-
,, γος σὰρξ, ἡ δὲ σὰρξ Λόγος ἐγένετο, εἰ καὶ μὴ τῆς οἰ-
,, κείας ἐξέστη ἑκάτερα φύσεως· ὢ τοῦ θαύματος! οὐκ ἔξω-
,, θεν ἡ δόξα τῷ σώματι προσεγένετο, ἀλλ' ἔνδοθεν ἐκ τῆς
,, ἀῤῥήτῳ λόγῳ ἡνωμένης αὐτῷ καθ' ὑπόστασιν τοῦ Θεοῦ λό-
,, γου ὑπερθέου θεότητος· ὧ γὰρ ἐν ἐκείνῳ οἱ Ἄγγελοι
,, ἀκλινὲς ἐρείδειν τὸ ὄμμα οὐ σθένουσιν, ἐν τούτῳ τῶν Ἀποστό-
,, λων οἱ πρόκριτοι, τῇ δόξῃ τῆς αὐτοῦ βασιλείας ὁρῶσιν
,, ἐκλάμποντα· ἐντεῦθεν τοὺς κορυφαίους τῶν Ἀποστόλων
,, προσλαμβάνεται μάρτυρας τῆς οἰκείας δόξης τε καὶ θεό-
,, τητος· Ἀποκαλύπτει δὲ αὐτοῖς τὴν οἰκείαν θεότητα· τε-
,, λείους δὲ εἶναι τοὺς τὴν θείαν δόξαν εἰκὸς κατοπτεύοντας,
,, τὴν ἁπάντων ἐπέκεινα, τὴν μόνην καὶ ὑπερτελῆ καὶ
,, προτέλειον. Ὁ θεῖος γὰρ ὄντως καὶ θεηγόρος Διονύσιος,
,, οὕτως ὁ δεσπότης, φησὶν, ὀφθήσεται τοῖς ἑαυτοῦ τελείοις
,, θεράπουσιν, ὃν τρόπον Θαβὼρ ἐν ὄρει τοῖς Ἀποστόλοις
,, ὀπτάνεται· Ἰωάννην παραλαμβάνει, ὡς τῆς θεολογίας
,, παρθένον καὶ καθαρώτατον ὄργανον, ὅπως τὴν ἄχρονον
,, δόξαν τοῦ Υἱοῦ θεασάμενος, ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λό-
,, γος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος βροντήσειεν·
,, ἔμπροσθεν τῶν μαθητῶν μορφοῦται, ὁ ἀεὶ ὡσαύτως δεδοξασ-
,, μένος, καὶ λάμπων ἀστραπῇ θεότητος· ἀνάρχως μὲν γὰρ
,, ἐκ Πατρὸς γεννηθεὶς, τὴν φυσικὴν ἀκτῖνα ἄναρχον κέ-
,, κτηται τῆς θεότητος· καὶ ἡ τῆς θεότητος δόξα, καὶ
,, δόξα τοῦ σώματος γίνεται· ἀλλ' ἀφανὴς ἡ δόξα ὑπάρ-
,, χουσα ἐν τῷ φαινομένῳ σώματι, τοῖς μὴ χωροῦσι τὰ καὶ
,, Ἀγγέλοις ἀθέατα, τοῖς σαρκὸς δεσμίοις ἀόρατος ἐχρη-
,, μάτιζε· μεταμορφοῦται τοίνυν, οὐχ ὃ οὐκ ἦν προσλαβό-
,, μενος, ἀλλ' ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς ἐκφαινόμε-
,, νος· διανοίγων τούτων τὰ ὄμματα, καὶ ἐκ τυφλῶν ἀπερ-
,, γαζόμενος βλέποντας· καὶ τοῦτο ἐστὶ τὸ μετεμορφώθη

,, ἔμπρο-

ἔμπροσθεν αὐτῶν· μόνων γὰρ αὐτὸς ἐν ταυτότητι ὡς τὸ πρὶν ἐφαίνετο, ἕτερος νῦν τοῖς μαθηταῖς ἑωρᾶτο φαινόμενος· καὶ ἔλαμψε φησὶν ὡς ὁ ἥλιος· οὐχ ὅτι μὴ τοῦ ἡλίου λαμπρότερος· ἀμήχανον γὰρ ἀπαραλείπτως ἐν τῇ κτίσει τὸ ἄκτιστον εἰκονίζεσθαι· ἀλλ' ὅσον ἐχώρουν καθορᾶν οἱ βλέποντες· Θεὸν μὲν γὰρ οὐδεὶς ἑώρακε πώποτε, καθὸ πέφυκε φύσεως· καὶ ὃ δὲ ἑώρακεν, ἐν Πνεύματι τοῦτο τεθέαται. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου· ταῦτα ἐστὶν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη πώποτε· οὕτως ἐν τῷ αἰῶνι τῷ μέλλοντι πάντοτε σὺν Κυρίῳ ἐσόμεθα, Χριστὸν ὁρῶντες τῷ φωτὶ ἀστράπτοντα τῆς θεότητος· τοῦτο τὸ φῶς κατὰ πάσης φύσεως ἔχει τὰ νικητήρια· αὕτη ἡ ζωὴ ἡ τὸν κόσμον νικήσασα. Ἀλλ' ὁ Πέτρος, καλὸν ἐστὶν ἡμᾶς ὧδε εἶναι φησὶ, καὶ ἐντεῦθεν νεφέλη, οὐ γνόφου, ἀλλὰ φωτὸς ἐπεσκίασε· τὸ κεκρυμμένον γὰρ ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ τῶν γενεῶν μυστήριον ἀποκαλύπτεται· καὶ φωνὴ τοῦ Πατρὸς ἐκ νεφέλης τοῦ Πνεύματος γέγονε, καὶ δόξα διηνεκὴς καὶ διαιωνίζουσα δείκνυται.

Ὁ δὲ τῆς περιφήμου Κρήτης Ἀνδρέας οὑτωσὶ δίεισιν· ἐπὶ τὸ ὄρος ἀνάγει τὸ ὑψηλὸν τοὺς μαθητὰς ὁ Σωτήρ· τί ποιήσων; ἢ τί διδάξων; τὴν ὑπεραστράπτουσαν παραδείξων τῆς οἰκείας θεότητος δόξαν τε καὶ λαμπρότητα, εἰς ἣν μετεστοιχείωσε τὴν ἀκούσασαν φύσιν, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. Ὅθεν κατὰ τὴν ἀψευδῆ τῶν θεολόγων μυσταγωγίαν, ὥσπερ ἔκ τινος ἀενάου πηγῆς, κατὰ ἀπειρόδωρον χάριν τῆς ἀκηράτου θεώσεως, τὸ μέγα κάτεισι δῶρον. Τοῦτο τοίνυν ἑορτάζομεν σήμερον· τὴν τῆς φύσεως θέωσιν, τὴν εἰς τὸ κρεῖττον ἀλλοίωσιν, τὴν ἐπὶ τὰ ὑπὲρ φύσιν ἔκστασιν καὶ ἀνάβασιν, καθ' ἣν καὶ τοῦ κρείττονος ἡ ἐνοίκησις, ἢ τόγε κυριώτερον εἰπεῖν, ἡ ἀνεκλάλητος θέωσις· τοῦτο θαυμάζουσιν Ἄγγελοι, τοῦτο δοξολογοῦσιν Ἀρχάγγελοι, τοῦτο πᾶσα τῶν ὑπερκοσμίων ἡ νοητὴ διακόσμησις ἀΰλως ἑστιωμένη, τεκμήριον ἐναργέστατόν τε καὶ ἀψευδέστατον τίθεται τῆς περὶ ἡμᾶς τοῦ Λό-

„ γου φιλανθρωπίας· οὐκ ἔστι τῶν ἐν τῇ κτίσει θεωρουμένων, ὃ χωρήσει τούτου τὴν ὑπερβολὴν τῆς λαμπρότητος· ὁ γὰρ ὑπερούσιος εἰς οὐσίαν ἀληθῶς ἐλθὼν, καὶ ὑπὲρ οὐσίαν οὐσιωθεὶς, διὰ σαρκὸς ἡμῖν πεπολίτευται· ὃς δὴ καὶ ὑπερβαλλόντως ἐπὶ τοῦ ὄρους ἐξήστραψεν, οὐ τότε γενόμενος ἑαυτοῦ διαυγέστερος, ἢ ὑψηλότερος· ἄπαγε! ἀλλ' ὅπερ καὶ πρότερον, τοῖς τελουμένοις τῶν μαθητῶν, καὶ μυουμένοις τὰ ὑψηλότερα, κατὰ τὴν ἀλήθειαν θεωρούμενος· ἔξω γὰρ σαρκὸς καὶ κόσμου γενόμενοι, καθ' ὅσον ἐφικτὸν ἐνταῦθα, τῆς μελλούσης καταστάσεως, ἤδη ἐξ ὧν ἐπειράθησαν ἐδιδάχθησαν· εἰ γὰρ καὶ μηδενὶ τῶν ἁπάντων, ἀκοινώνητόν ἐστι καθ' ὅλου τὸ ἀγαθὸν, ἀλλ' οὐχὶ ὅλον ὅ,τι ποτὲ ἐστὶν, ἀλλ' ὅσον, καὶ ὅπως τοῖς μετέχουσιν ἐφικτὸν, χωρητὸν γίνεται, καὶ τοῦτο δι' ἄκραν ἀγαθότητα, ταῖς ἀπειροδώροις ἐλλάμψεσιν ὁδεῦον ἐπὶ πάντα καὶ προχεόμενον. Ἀπόδειξις δὲ τῶν λεγομένων αὐτὸ ἂν εἴη τὸ μακάριον πάθος καὶ πολυύμνητον, ὅπερ ἐπὶ τοῦ ὄρους πεπόνθασιν οἱ Ἀπόστολοι, ἡνίκα τὸ ἀπρόσιτον καὶ ἄχρονον φῶς τὴν οἰκείαν σάρκα μεταμορφῶσαν, τῷ ὑπερβάλλοντι τῆς οἰκείας φωτοβολουσίας, ὑπερουσίως ἐλάμπρυνεν· ὢ τοῦ θαύματος! κατ' ἔκστασιν τελειοτάτην τῆς φύσεως πίπτουσιν, ὕπνῳ βαρεῖ καὶ φόβῳ κρατούμενοι, μύσαντες τὰς αἰσθήσεις, πᾶσαν νοερὰν κίνησιν καὶ ἀντίληψιν παντελῶς ἑαυτῶν ἀποσπάσαντες, οὕτω κατὰ τὸν θεῖον ἐκεῖνον ὑπέρφωτον καὶ ἀόρατον γνόφον τῷ Θεῷ συνεγένοντο, τῷ μηδόλως ὁρᾶν τὸ ὄντως ὁρᾶν εἰσδεχόμενοι, καὶ τῷ πάσχειν ἀγνώστως τὴν καθ' ὑπεροχὴν ἀγνωσίαν πορίζομενοι, καὶ τὴν πάσης νοερᾶς ἐπιστασίας ὑψηλοτέραν ἐγρήγορσιν ὕπνῳ μυσταγωγούμενοι, ἔξω πάντων ἐγένοντο τῶν ὁρωμένων τε καὶ νοουμένων, ἔτι δὲ καὶ ἑαυτῶν, ἵνα τὸ πάσης θέσεώς τε καὶ ἀφαιρέσεως ἐκβεβηκὸς καθ' ὑπεροχὴν ὑπερούσιον, τῇ ἐκφάνσει τοῦ Λόγου, καὶ τῇ ἐπισκιάσει τοῦ Πνεύματος, καὶ τῇ ἄνωθεν ἐκφερομένῃ τοῦ γεννήτορος φωνῇ, δι' ἀγνωσίας καὶ ἀβλεψίας παιδευθῶσι μυστήριον.

„ Καὶ

Καὶ ὁ μελουργὸς δὲ Κοσμᾶς, νῦν μὲν τῷ Χριστῷ οὑτωσὶ μελῳδεῖ „τὸ ἄσχετον τῆς σῆς φωτοχυσίας, καὶ ἀπρόσιτον τῆς θεότητος θεασάμενοι τῶν Ἀποστόλων οἱ πρόκριτοι, ἐπὶ τοῦ ὄρους τῆς μεταμορφώσεως ἄναρχε Χριστὲ, τὴν θείαν ἠλλοιώθησαν ἔκστασιν· νῦν δὲ τῆς θεότητός σου Σωτὴρ ἀμυδρὰν αὐγὴν παραγυμνώσας τοῖς συναναβᾶσί σοι ἐπὶ τοῦ ὄρους, τῆς ὑπερκοσμίου σου δόξης ἐποίησας ἐραστάς· νῦν δὲ, ἐκ σαρκός σου βολίδες θεότητος ἐξεπορεύοντο.

Καὶ ὁ θεῖος δὲ Μάξιμος οὕτω τίθησιν „οὐ πᾶσιν ἀεὶ μετὰ δόξης ὁ Κύριος ἐπιφαίνεται τοῖς περὶ αὐτὸν ἱσταμένοις, ἀλλὰ τοῖς μὲν εἰσαγομένοις ἐν δούλου μορφῇ παραγίνεται, τοῖς δὲ δυναμένοις ἀκολουθῆσαι αὐτῷ, ἐπὶ τὸ ὑψηλὸν ἀναβαίνοντι τῆς αὐτοῦ μεταμορφώσεως ὄρος, ἐν μορφῇ Θεοῦ ἐπιφαίνεται, ἐν ᾗ ὑπῆρχε πρὸ τοῦ τὸν κόσμον εἶναι.

Καὶ ὁ τῆς Ἀλεξάνδρου δὲ Κύριλλος λέγει „πεπρᾶχθαι γοῦν φαμὲν τὴν μεταμόρφωσιν, οὐχὶ δήπου τὸ σχῆμα τὸ ἀνθρώπινον μεταβαλόντος τοῦ σώματος, ἀλλὰ δόξης θείας φωτοειδοῦς περιστελλούσης αὐτὸ, πηγαζούσης ἔνδοθεν ἐκ τῆς θείας φύσεως· μείναντος γὰρ τοῦ σώματος ἐπὶ σχήματος, ἐπὶ τὸ ἐνδοξότερον οἱ χαρακτῆρες, διὰ τοῦ φωτοειδοῦς χρώματος διεχρώννυντο.

Γράφει δὲ καὶ ὁ τὴν γλῶτταν χρυσοῦς „τοῦτο δὲ καὶ ἀπὸ τῶν ἀποστόλων φανερόν· ἀνέβη γάρ φησιν εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· τί ἐστι μετεμορφώθη; παρήνοιξε, λέγει, ὁ Λόγος τῆς θεότητος, καὶ ἔδειξεν αὐτοῖς τὸν ἐνοικοῦντα Θεόν. Καὶ πάλιν, εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τῶν οὐρανῶν· ἐνταῦθα οὐ περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας τῆς ἐνδόξου λέγει, ἀλλὰ περὶ τῆς ἐν τῷ ὄρει μεταμορφώσεως· καὶ γὰρ μεταμορφωθεὶς ὁ Σωτὴρ ἐν τῷ ὄρει, μικρῶς πως, ὡς δεσπότης, ἔδειξε τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τὴν δόξαν· τουτέστι μικρὸν παρήνοιξε

τὴν θεότητα, καὶ οὐ τελείως· τὸ μὲν πληροφορῶν, τὸ δὲ φειδόμενος· πληροφορῶν μὲν γὰρ ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τὴν θεϊκὴν δόξαν, οὐχ ὅση τις ἦν, ἀλλ' ὅσον ἠδύναντο φέρειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες· φειδόμενος δὲ, καὶ οὐχὶ φθονῶν, οὐκ ἔδειξεν αὐτοῖς τὴν πᾶσαν δόξαν, ἀλλ' ἵνα μὴ σὺν τῇ ὁράσει καὶ τὸ ζῆν ἀπολέσωσι. Καὶ αὖθις, βουλόμενος δὲ τὴν ὄψιν αὐτῶν πληροφορῆσαι, καὶ δεῖξαι τίς ποτε ἐστὶν ἡ δόξα ἐκείνη μεθ' ἧς μέλλει παραγίνεσθαι, ὡς ἐγχωροῦν ἦν αὐτοῖς μαθεῖν, καὶ κατὰ τὸν παρόντα βίον, δείκνυσιν αὐτοῖς καὶ ἀποκαλύπτει ταύτην, καὶ περὶ γεέννης καὶ βασιλείας διαλεχθεὶς, τὴν μὲν βασιλείαν τῇ ὄψει δείκνυσι, τὴν δὲ γέενναν οὐκέτι. Ὅτι δὲ τοῦ ὑποδείγματος μεῖζον ἦν ἐκεῖνο τὸ φῶς, ἔδειξαν οἱ Ἀπόστολοι πεσόντες· εἰ δὲ μὴ ἄκρατον ἦν τὸ φῶς, ἀλλὰ τῷ ἡλίῳ σύμμετρον, οὐκ ἂν ἔπεσον, ἀλλ' εὐκόλως ἤνεγκαν ἄν· ἀλλ' ἐπειδὴ ὑπὲρ τὸν ἥλιον ἔλαμψε, μὴ φέροντες τὴν λαμπηδόνα κατέπεσον.

Καὶ ὁ Θεολόγος Γρηγόριος „ Φῶς, φησὶν, ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς, μικροῦ στερροτέρα καὶ ὄψεως. Καὶ πάλιν, ἥξει μὲν μετὰ τοῦ σώματος, ὡς ἐμὸς λόγος, τοιοῦτος δὲ, οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ ὄρει, ἢ παρεδείχθη, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος,

Ὁ δὲ μέγας Βασίλειος „ ὁ Θεὸς φῶς οἰκῶν ἀπρόσιτον, λέγει· τὸ γὰρ ἀπρόσιτον, πάντως καὶ ἀληθινόν· καὶ τὸ ἀληθινὸν ἀπρόσιτον· ὁπότε καὶ τῇ δόξῃ τοῦ φωτὸς τοῦ Υἱοῦ, μὴ δυνηθέντες ἀτενίσαι πεπτώκασιν οἱ Ἀπόστολοι, διὰ τὸ εἶναι αὐτὸν ἀπρόσιτον φῶς. Καὶ πάλιν, προοίμιον τῆς ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Χριστοῦ δόξης, τὸ ἐν τῷ Θαβωρίῳ λάμψαν ἐν τῇ μεταμορφώσει τοῦ Κυρίου φῶς, ὃ καὶ διεφαίνετο οἷον φῶς θεῖον, διὰ ὑελίνων ὑμένων, τουτέστι διὰ τῆς ἐξ ἡμῶν σαρκὸς τοῦ Κυρίου, ἡ θεία δύναμις αὐτοῦ ἐναυγάζουσα, τοῖς ἔχουσι τοὺς ὀφθαλμοὺς τῆς καρδίας κεκαθαρμένους.

Καὶ

Καὶ Ἀθανάσιος δὲ ὁ πολύτλας ἀποφαίνεται γράφων, ὅτι ἐδεὶς ἀνθρώπων δύναται Θεῦ ἐσίαν γυμνὴν ἰδεῖν ἐδαμῦ· ὅθεν πρόδηλον, ὅτι ἐ τὴν ἐσίαν τῦ Ἰησῦ Θεῦ ἔβλεπον οἱ ἅγιοι, ἀλλὰ τὴν δόξαν, ὡς καὶ περὶ τῶν Ἀποςόλων γέγραπται, ὅτι διαγρηγορήσαντες ὅ, τε Πέτρος καὶ οἱ σὺν αὐτῷ, εἶδον τὴν δόξαν τῦ Θεῦ. Καὶ πάλιν, ἀπαθὴς καὶ ἐν τοῖς παθήμασι τῆς σαρκὸς ὁ Χριςὸς, ὡς Θεὸς νικήσας θάνατον, καὶ ἀναςὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθὼν εἰς τὸν ἐρανὸν, ἐν δόξῃ φυσικῇ, καὶ ἐκ ἐν χάριτι ἐρχόμενος, ἐκλάμπων ἐκ τῦ ἐκ Μαρίας σώματος αὐτῦ τῦ ἁγίε, τὴν δόξαν τὴν ἀπόῤῥητον, ὡς καὶ ἐπὶ τῦ ὄρες ἔδειξεν ἀπὸ μέρες, διδάσκων ἡμᾶς ὅτι καὶ πρότερον, καὶ νῦν ὁ αὐτὸς ἐςίν· ἀναλλοίωτος ὢν ἀεὶ, καὶ μεταβολὴν ἐδεμίαν ἔχων περὶ τὴν θεότητα. "

Καὶ ὁ τὰ θεῖα πολὺς Διονύσιος, ὁ ἐξ Ἀρείε Πάγε „ ὅταν ἄφθαρτοι καὶ ἀθάνατοι γενώμεθα φησὶ, καὶ τῆς χριςοειδῦς καὶ μακαριωτάτης ἐφικώμεθα λήξεως, πάντοτε σὺν Κυρίῳ, κατὰ τὸ λόγιον, ἐσόμεθα· τῆς μὲν ὁρατῆς αὐτῦ θεοφανείας, ἐν πανάγνοις θεωρίαις ἀποπληρέμενοι, φανωτάταις ἡμᾶς μαρμαρυγαῖς περιαυγαζέσαις, ὡς τὲς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μορφώσει, τῆς δὲ νοητῆς αὐτῦ φωτοδοσίας ἐν ἀπαθεῖ καὶ αὔλῳ τῷ νῷ μετέχοντες, καὶ τῆς ὑπὲρ νῦν ἑνώσεως τῶν ὑπερφανῶν ἀκτίνων, ἀγνώςοις καὶ μακαρίαις ἐπιβολαῖς, ἐν θειοτέρᾳ μιμήσει τῶν ὑπερερανίων. "

Καὶ πρό γε πάντων τῶν εἰρημένων τέτων εἰσηγητῶν ὁ κορυφαῖος τῶν Ἀποςόλων Πέτρος, πάσῃ τῇ οἰκεμένῃ ἐκήρυξεν, ἕτωσὶ γράφων „ ἐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολεθήσαντες, ἐγνωρίσαμεν ὑμῖν τὴν τῦ Κυρίε ἡμῶν Ἰησῦ Χριςῦ δύναμιν καὶ παρεσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνε μεγαλειότητος. "

Ἀλλὰ πρὸς ταῦτα, πῶς φησὶ δυνατὸν ἔλλαμψιν θείαν ἰδεῖν, ἀχώριςον ἔσαν τῆς θείας ἐσίας, καὶ μὴ ἅμα ταύτῃ καὶ τὴν ἐσίαν ὀφθῆναι; Ὑπὲρ τὸ πῶς· τὸ γὰρ πῶς, ἐν πᾶσι τοῖς θείοις δόγμασι, χώραν ὅλως ἐκ ἔχει· ὑπὲρ-

ὑπέρκειται γὰρ πάντα, τοῦ πῶς, καὶ διατὶ, καὶ τῶν τοιούτων ζητήσεων· εἰ μὲν γὰρ ἀνθρωπίνῃ δυνάμει, ἢ γνώσει, ἢ ὀπτικῇ ἐνεργείᾳ τὸν Θεὸν ὁρᾶσθαι φαμὲν, κατηγορίας ἄξιοι καὶ μάλα δικαίως εἴημεν ἄν· νῦν δὲ τῇ τοῦ παντοδυνάμου Θεοῦ ἰσχύϊ καὶ χάριτι μόνῃ, τὰς ἐκεῖθεν ἐλλάμψεις ὁρᾶσθαι πιστεύομεν· ἅπαντα δὲ τὰ ὑπὸ τοῦ Θεοῦ ἐνεργούμενα ὑπὲρ φύσιν εἰσὶ, καὶ λόγον, καὶ ἔννοιαν· καὶ ὅπου Θεὸς ἐνεργεῖ, τῆς φύσεως ἡ ἀκόλουθος τάξις ἀζήτητος· οὐδεὶς γὰρ ἑρμηνεῦσαι θαῦμα Θεοῦ ἐστὶν ἱκανὸς, ἔξω βαίνειν πάσης φυσικῆς ἀκολουθίας πάντῃ πεφυκὸς, καὶ νικᾶν τὰς πιθανὰς τῶν σοφισμάτων εὑρεσιλογίας εἰωθός. Πάλιν, εἰ λέγοιμεν τὴν θείαν φύσιν, ἢ τὰς αὐτῆς ὑποστάσεις ὁρατὰς εἶναι, εἰκότως ἂν ἐγκαλοίμεθα· εἰ δὲ τὴν τοῦ Θεοῦ ἐνέργειαν μόνην, καὶ ταύτην μόνῃ τῇ τούτου δυνάμει, τίς ἂν δικαίως ἡμᾶς ἐγκαλέσειε; τούτων οὖν οὕτως ἐχόντων, καὶ τοῖς στέργουσι ταῦτα, καὶ σὺν Θεῷ ἱσταμένοις, καὶ τοῖς ἀπειθοῦσι πρὸς ταῦτα, θερμῶς ἡμεῖς ἐπευξώμεθα· τοῖς μὲν, ἐπὶ τῷ καλῷ ἵδρυσιν, τοῖς δὲ, τὴν ἀπὸ τοῦ κακοῦ ἔκκλισιν· ἵνα καὶ πάντες τοῦ ἀνεσπέρου φωτὸς ἐκεῖσε, καὶ θεαταὶ, καὶ κληρονόμοι γενώμεθα· οὗ γένοιτο πάντας τυχεῖν, τοὺς ὀρθοδόξως πιστεύοντας ἐν Χριστῷ, ᾧ ἡ δόξα, σὺν τῷ Πατρὶ αὐτοῦ, καὶ τῷ ζωοποιῷ Πνεύματι· Ἀμήν.

ΤΟΥ

## ΤΟΥ̓ ΑΥ̓ΤΟΥ̃

# ΛΟΓΟΣ Β.

## ΕΙΣ ΤΟΝ ΕΥ̓ΑΓΓΕΛΙΣΜΟΝ.

Ῥηθεὶς ἐν τῷ αὐτῷ Παλατίῳ, πρὸ τῶν ἑσπερινῶν ὕμνων, μετὰ ἐνιαυτὸν ἕνα τῆς τοῦ πρώτου ἐκφωνήσεως.

Θεὸς ὁ τὰ πάντα πρὶν γενέσεως αὐτῶν οὕτω σαφῶς ἐπιστάμενος ὡσανεὶ ταῦτα παρῆν, Θεὸς ὁ νεύματι μόνῳ ἐκ τοῦ μὴ ὄντος τὰ πάντα εἰς τὸ εἶναι παραγαγὼν, Θεὸς ὁ πάντα μετασκευάζων ἐπὶ τὸ κρεῖττον, καὶ ταῦτα πρὸς τὸ συμφέρον οἰκονομῶν, οὗτος ἐξ ἀρχῆς καὶ πρὸ πάντων αἰώνων, πρὸ τοῦ οὐρανὸν ἐκτεῖναι, καὶ τὴν γῆν ἑδράσαι, καὶ τὰς ἀβύσσους συστήσασθαι, ἀνενδεὴς ὢν καὶ πλήρης, καὶ μηδενὸς τὸ παράπαν δεόμενος, ὃν ἄρα τρόπον καὶ νῦν, καὶ ἀεί ποτε· ἄκρᾳ δὲ βουληθεὶς ἀγαθότητι μόνῃ τοῦ πλαστουργῆσαι τὸν ἄνθρωπον, τοιαύτην τινὰ βουλὴν ἐν ἑαυτῷ φιλανθρώπως διετυπώσατο· ἐν ἑαυτῷ δὲ λέγω, ὅτι πρὸς τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα θεοπρεπῶς ὁ Πατὴρ, καὶ ὑπὲρ πάντα λόγον ἀνθρώπινον, ὥσπερ συμβούλοις χρώμενος εἴρηκε, γεννηθήτωσαν αἰῶνες, παραχθήτωσαν Ἄγγελοι, οὐρανὸς συστήτω καὶ γῆ, καὶ τὰ ἐν αὐτοῖς ἅπαντα· καὶ ἐπὶ πᾶσι τούτοις, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν· καὶ κατ᾽ εἰκόνα μὲν, εἰς ἐμοῦ τοῦ Πατρὸς χαρακτῆρα, νοῦν παράσχωμεν αὐτῷ· λόγον δὲ εἰς τύπον σοῦ τοῦ Υἱοῦ· πνεῦμα δὲ, εἰς εἰκόνα σοῦ τοῦ Παρακλήτου Πνεύματος· καὶ τοῦτο μὲν τὸ κατ᾽ εἰκόνα ἡμετέραν ἔσται, τῷ πρὸς ἡμῶν πλαθη-

πλασθησομένῳ ἀνθρώπῳ· καθ᾽ ὁμοίωσιν δὲ, ἵν᾽ αὐτεξούσιος ᾖ, καὶ ἀρχῃ πάντων τῶν αἰσθητῶν, καὶ θέσει ἔχῃ τὸ εἶναι Θεὸς τοῖς ἐν γῇ· παρέξωμεν δὲ τούτῳ, καὶ τόπον εἰς ἐνδιαίτημα, ὃν δὴ καὶ παράδεισον ὀνομάσωμεν· καὶ ἐντολὴν δὲ αὐτῷ δώσωμεν, ἵνα γνωρίζῃ τὸν πλάσαντα, καὶ μέμνηται αὐτοῦ ὡς Δεσπότου, καὶ μὴ πάντων Θεὸν ἑαυτὸν ὑπολάβῃ· κἂν μὲν φυλάξῃ ταύτην, θεωθήσεται κατὰ μικρὸν, τῇ τε ἡμῶν χάριτι, καὶ τῇ τῆς ἐντολῆς ἐργασίᾳ· ἂν δὲ τῇ ἑαυτοῦ, ἢ καὶ ἑτέρου καθυπαχθεὶς συμβουλίᾳ ταύτης ἐκπέσῃ, παιδεύσαντες αὐτὸν ἐπί τινα χρόνον (ἐπεὶ σωθῆναι ἄλλως αὐτὸν οὐκ ἐνδεχόμενον ἐστί·) οἰκοδομήσωμεν ἐκλεξάμενοι Παρθένον τὴν ἀσυγκρίτως καθαρωτέραν τοῦ ἀνθρωπείου γένους, καὶ πάσης τῆς κτίσεως, καὶ σαρκωθήσῃ σὺ ὁ Υἱὸς ἐξ αὐτῆς ἀπορρήτως τῇ ἐμῇ εὐδοκίᾳ, καὶ τῇ συνεργίᾳ τοῦ Πνεύματος, καὶ γεννηθήσῃ τὸ κατὰ σάρκα, καὶ ἁπλῶς γενόμενος ἄνθρωπος ἀναμάρτητος, σώσεις τὸν προαμαρτήσαντα ὅλον.

Αὕτη καὶ τοιαύτη περὶ τῆς τοῦ ἀνθρώπου παραγωγῆς, τῆς ἀφ᾽ ἑαυτοῦ γενησομένης ἐκπτώσεως, καὶ τῆς θεόθεν αὐτοῦ ἀνακλήσεως, βουλὴ τῆς Τριάδος ἡ προαιώνιος γέγονε, καὶ τοῦτ᾽ ἐστὶ τὸ πρὸ αἰώνων μυστήριον, τὸ ποτὲ καὶ Ἀγγέλοις ἀπόκρυφον, ὅπερ ἤδη εἰς ἔργον προβὰν, καὶ ἐνεργείᾳ προδήλως καθορᾳθὲν, ἐθεασάμεθα καὶ ἄνθρωποι ἐναργῶς, ἐκ τοῦ τέλους ἐπιγνόντες τὰ τῆς ἀρχῆς, καὶ ἐκ τῶν ἐν ὑστέροις τοῖς χρόνοις πραχθέντων, τὰ συμβουλευθέντα πρὸ πάντων αἰώνων γνωρίσαντες. Αὐτοὶ δέ μοι μεγαλόφρονες ὄντες, πάντα θεοπρεπῶς καὶ μεγαλοφρόνως νοεῖτε τὰ εἰρημένα, καὶ σκοπεῖτε πῶς τὰ παρὰ τοῦ Θεοῦ γινόμενα πάντα, ἐν παντὶ τῷ αἰῶνι, πρός τι χρηστὸν ἀποβλέπει τέλος, καὶ οὐδὲν ἁπλῶς παράγεται καὶ εἰκῇ· κἄν τι πρός τινος γένηται ἐμποδὼν, καὶ ἀπᾷδον τοῦ ἐξ ἀρχῆθεν σκοποῦ, ἀλλά γε τὸ θεῖον βούλημα πάντως ἵσταται ἀδιάπτωτον· ἐπεὶ πᾶν πρῶτον διὰ τὸ μετ᾽ αὐτὸ τεταγμένον, καὶ τοῦτο δι᾽ ἄλλο,

κἀκεῖνο δι' ἕτερον, ἕως ἂν εἰς ἀγαθόν τι καὶ λυσιτελὲς ταῦτα πέρας, τὸ δι' ὃ πάντα γίνεται καταντήσῃ, καὶ τῆς ἐπ' αὐτὸ κινήσεως παύσηται· καὶ ὃν τρόπον ἐν τοῖς φυτοῖς, ἡ ῥίζα διὰ τὸ στέλεχος, τὸ δὲ, διὰ τοὺς κλάδους, οἱ δὲ διὰ τοὺς βλαστοὺς, οἱ δὲ διὰ τὰ φύλλα, τὰ δὲ διὰ τὰ ἄνθη, ταῦτα δὲ διὰ τοὺς καρποὺς· καὶ ἐπὶ πάντων δὲ τῶν φύσει γινομένων ὡσαύτως· καὶ γὰρ ἕνεκά του πάντα, καὶ οὐδὲν οὔτε γέγονεν, οὔτε γίνεται, οὔτε γενήσεται μάτην, οὐδὲ περίεργον· τὸ δὲ οὗ ἕνεκα βέλτιστον· οὕτως ἄρα καὶ ἐπὶ τῆς ἀνθρωπότητος καὶ μετὰ τὴν παράβασιν, καὶ πρό γε ταύτης, τὸ προορισθὲν κατὰ λόγον ἄνωθεν ᾠκονόμηται.

Ὁ γὰρ ἀρχιπάτωρ Ἀδὰμ ζῆν ἀφέθη μετὰ τὴν πλῶσιν, ἵνα τοὺς πρὸ τοῦ κατακλυσμοῦ γεννήσῃ πάλαι προπάτορας· ἐκεῖνοι, ἵνα τοὺς μετὰ τὸν κατακλυσμὸν δικαίους· ὡς οἱ μικρὸν πρὸ τῆς Χριστοῦ παρουσίας, ἵνα τοὺς Ἀποστόλους, καὶ τοὺς δι' αὐτῶν πεπιστευκότας εἰς τὸν Χριστόν. Οἱ μετὰ τὸν κατακλυσμὸν πάλιν, ἵνα τοὺς περὶ τὸν Ἀβραὰμ Πατριάρχας ἀπογεννήσωσι, παρήχθησαν εἰς τὸν βίον· ὡς ἄραγε καὶ οἱ νῦν Ἑβραῖοι, ἵνα τοὺς ἐπὶ συντελείᾳ δι' Ἐνὼχ καὶ Ἡλίᾳ μέλλοντας πιστεύειν ἐπὶ τὸν Κύριον. Οἱ μέν τοι περὶ Ἀβραὰμ αὖθις, ἵνα στρατηγοὺς τοὺς περὶ τὸν Μωσέα· οἱ δὲ, ἵνα τοὺς περὶ τὸν θεῖον Δαυὶδ Προφήτας καὶ Βασιλεῖς· ἐκεῖνοι, ἵνα τοὺς Θεοπάτορας Ἰωακεὶμ καὶ τὴν Ἄνναν· οἱ δὲ, ἵνα τὴν Θεοτόκον Μαρίαν· αὕτη δὲ, ἵνα τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Λόγου ἀποκυήσῃ ἡμῖν, καὶ προώρισται, καὶ γεγέννηται· καὶ ἵνα συνελὼν εἴπω τὸ πᾶν τοῦ σκοποῦ, καὶ παντὸς τοῦδε τοῦ κόσμου, καὶ πάσης τῆς κτίσεως, πάντων στοιχείων, καὶ πασῶν τῶν γενεῶν, παντὸς δὲ γένους ἡμῶν, καὶ πάσης ἀνθρώπων φυλῆς, ἁπάντων αἰώνων, καὶ πασῶν τῶν ὡρῶν, τὸ ἄνθος μὲν ἡ Δέσποινα Θεοτόκος, ὁ ὡραιότατος δὲ καρπὸς, (λέγω δὲ κατὰ τὸ ἀνθρώπινον) ὁ Υἱὸς ἐστὶν αὐτῆς ὁ μονογενής.

Ἐπεὶ

Ἐπεὶ γὰρ ἐν ὀφθαλμοῖς τοῦ παντεπόπτου Θεοῦ, τὰ μεταγενέστερα πάντα ὡς ἐνεστῶτα λογίζεται, καὶ τὰ πορρωτάτω ὡς ἔγγιστα, καὶ τοῦτο αὐτίκα μάλα προεῖδε τοῖς ἀλαθήτοις αὐτοῦ ὀφθαλμοῖς, ὅτι κἂν οὐρανὸν δι' ἑαυτοῦ στερεώσῃ, καὶ σκηνὴν πήξηται διὰ Μωσέως, καὶ διὰ Σολομῶντος ναὸν ἐγείρῃ, ὡς ἂν δι' αὐτῶν τοὺς ἀνθρώπους εἰς θεογνωσίαν ἀνάγῃ, οἱ δὲ καὶ οὕτως ἀναισθητήσουσι, καὶ ἐπιλήσονται τοῦ ἑαυτῶν ποιητοῦ· εὐδόκησε λοιπὸν ἅτε φιλάνθρωπος ὤν, λογικὸν οὐρανὸν, καὶ σκηνὴν ἀληθινὴν, καὶ ναόν ἀχειροποίητον ἔμψυχον, καὶ προώρισεν ἡνίκα ἔδει προελθεῖν εἰς τὸν κόσμον, καὶ ἐξ ὧν ἐχρῆν γεννηθῆναι τὴν ἀειπάρθενον, ὡς ἂν ἐν αὐτῇ κατοικήσας ὁ εἷς αὐτῆς τῆς Τριάδος, ὃν τρόπον ἔφθην εἰπὼν, καὶ ἐξ αὐτῆς ἀνατείλας ὡς οἶδε, τὸ σκότος λύσῃ τῆς πλάνης, καὶ πάντας εἰς μίαν πίστιν συναγαγὼν, οὕτω πανσόφως εἰς τὸν ἐξ ἀρχῆς αὐτοῦ σκοπὸν, καὶ τὴν θείαν ἐκείνην βουλὴν ἐπαναγάγῃ τοὺς ἅπαντας. Εἰ γὰρ ἐς ὕστερον σεσάρκωται, καὶ ἐπ' ἐσχάτων ἦλθε τῶν χρόνων, ἀλλ' οὐκ ἄνευ προγνώσεως, οὐδ' ἁπλῶς σκοποῦ δίχα καὶ μεγάλης βουλῆς, ἀλλὰ πρὸ τῆς τοῦ παντὸς κόσμου παραγωγῆς εἰς τὸ εἶναι, οὕτω γενέσθαι τὸ τῆς οἰκονομίας μυστήριον βουλῇ ἀρρήτῳ προώρισε· καὶ τοῦτο πάνυ καὶ ἀκολούθως, καὶ φιλανθρώπως, καὶ λίαν θεοπρεπῶς.

Ὡς γὰρ οἰκοδόμου σκοπὸς ἀπ' ἀρχῆς, καὶ ναυπηγοῦ, καὶ ζωγράφου, ἵστασθαι μὲν ἀδιάφθορα τὰ παρ' αὐτῶν νεουργούμενα, εἰ δέ τι τούτων διαφθαρῇ, ἑτοίμως αὐτὸ διορθοῦν, καὶ μὴ ἐάσαι τέλεον ἀφανισθῆναι, καὶ προχωρῆσαι εἰς τὸ μὴ ὄν· καὶ οὐδὲ εἷς τῶν τι πραττόντων ἐστὶν, ὃς μὴ πρός τι τέλος μόνιμον ἐν τῷ κόσμῳ, τοῦτ' ἐργαζόμενος ἀφορᾷ, οὕτω, καὶ πολλῷ καθ' ὑπέρτερον καὶ θειότατον λόγον, τοῦ τῆς φύσεως ἡμῶν, καὶ τοῦ παντὸς ποιητοῦ καὶ προνοητοῦ, σκοπὸς ἄνωθεν ἦν ἀπαράγραπτος, μένειν μὲν τὸ ἑαυτοῦ πλαστούργημα εἰς τὸ διηνεκὲς ἀπαράτρεπτον· εἰ δέπου καὶ φθάσει παρατραπὲν τῆς χάριτος, ἧς χάριν συνέστη, πάλιν αὐτὸς ἀνακτήσηται τοῦτο,

ὃ ἐκ

ὁ ἐκ μὴ ὄντων αὐτὸ συςησάμενος. Ὁρῶμεν δ' ὅτι καὶ πλαςεργὸς, τὸ ἀρτίπλαςον σκεῦος κατεαγὸν παρὰ προσδοκίαν καὶ συντριβὲν, εὐθὺς ἀναπλάττει ἐπιμελῶς· καὶ κύριος δοῦλον γνήσιον ἀπολωλεκὼς, ἐχθροῦ τινος ἐπηρείᾳ, ζητεῖ· καὶ ἡ ἐπιπόλαιος τραυματισθεῖσα σὰρξ φύσει συνέλωσιν ἀπεργάζεται· καὶ δένδρον τὸ μὴ κατὰ βάθος σιδήρῳ πληγὲν, νεοφυεῖ φλοιῷ κυκλόθεν σπεύδει ὡς οἷόν τε τὴν πληγὴν ἐξιάσασθαι· καὶ ἁπλῶς ἅπαντα πρὸς τὴν ἕνεκά του ἑκάςου καὶ ἄνωθεν πρόθεσιν ἀφορᾷ.

Ἵνα οὖν ἐπανέλθῃ τὰ πάντα πρὸς τὴν προαιώνιον βουλὴν ἐκείνην, καὶ τὸν ἀρχῆθεν σκοπὸν, διὰ τοῦτο γεννᾶται παρθένος πρωτότοκος, ἡ τεξομένη τὸν πρωτότοκον πάσης κτίσεως· ἵν' ὡς ἐκ παρθένου γῆς ὁ πρῶτος Ἀδὰμ διεπλάσθη τὸ κατ' ἀρχὰς, οὕτω καὶ διὰ παρθένου μήτρας πραγματευθῇ πάλιν αὐτῷ ἡ ἀνάπλασις· ἐπεὶ γὰρ, ὡς λόγος, ἡ τῶν ἀνθρώπων πρώτη διάπλασις ἐκ γῆς παρθένου δεδημιούργηται, ἠφάνιτε δὲ τὸ προσφυὲς ἀξίωμα ἡ ἁμαρτία ἐπεισελθοῦσα, καὶ συντριβὴν ἐσχάτην εἰργάσατο περὶ τὸ ἐκ παρθένου τοῦτο πλαςούργημα, εὐδόκησε πάλιν ὁ τῶν ὅλων Θεὸς τὴν ἀνάπλασιν πάντων ἐκ παρθένου σοφῶς ἐπιδείξασθαι, ἵνα νέος Ἀδὰμ γεγονὼς ἐξ αὐτῆς, τὸν παλαιὸν Ἀδὰμ ἀνασώσηται· οὗ δήπου χάριν μόνη γυναικῶν ἐξελέγη ἡ τοῦ Θεοῦ Μητρόπολις, ἡ καλλονὴ τοῦ Ἰακὼβ, ἡ ἀειπάρθενος Μαριάμ· τῇ παρθενικῇ γὰρ ταύτης θελχθεὶς ὡραιότητι ὁ βασιλεὺς τῆς δόξης καὶ πάντων δημιουργὸς, καὶ ἐν τῷ θελήματι αὐτοῦ τὸ κάλλος ταύτῃ παρασχόμενος ἄφραςον, ὡς ἄμωμον νύμφην ταύτην ἡρμόσατο ἑαυτῷ.

Ἀλλὰ μὴ συχνῶς πρὸς πάντας ὑμᾶς ἐπιςρεφομένῳ μοι, ἐγκαλείτω μηδείς· ἐπεὶ καὶ ῥόδον παντοίων ἀνθέων μέσον ἀνθοῦν τὸ καλὸν, καὶ πυρσὸς μέσον λύχνων αἰρόμενος, καὶ λίθων ὁ καλούμενος ἄνθραξ, μαργάρων μέσον φαινόμενος, καὶ μέσον ἄςρων ἀπείρων λάμπων φανώτατος ἥλιος, καὶ Αὐτοκράτωρ σὺν τούτοις ἀρχόντων μέσος ὁρώμενος, πρὸς ἑαυτὸν τοὺς ὁρῶν-

τας ἀῤῥήτῳ βίᾳ ἐφέλκεται βλέπειν, καὶ οὐ ῥᾳδίως ἐᾷ πρὸς τοὺς πέριξ συνηγμένους ὁρᾷν. Ὅτι δ' ἀλήθεια ταῦτα καὶ οὐ σκιὴ, μάρτυρες πάντες ὑμεῖς οἱ πράττοντες ταῦτα σχεδὸν ὁσημέραι, καὶ πάσχοντες· ἡνίκα γὰρ τύχοι τὶς ὑμῶν, ἐνώπιον τῷ Αὐτοκράτορι παρεστὼς, ἐκεῖσε, ἢ ὧδε στρέφειν τὰς ὄψεις συνεχῶς οὐ τολμᾷ, εἰμήτι σφόδρα βιάζηται· οὐδεῖ δὲ καὶ σταθηρῷ καὶ ἀτρέπτῳ τῷ ὄμματι πρὸς τὸν κρατοῦντα ὁρᾷ, ὀλίγα καὶ ἑαυτοῦ καὶ τῶν ἄλλων φροντίζων, ἢ οὐδαμῶς.

Αὕτη τοίνυν ἡ βασιλὶς καὶ δέσποινα καὶ κυρία ἡ Θεοτόκος, εἰ καὶ δεδόξασται παρὰ τοῦ Θεοῦ, ὑμνεῖται παρὰ τῶν Ἀγγέλων, δοξολογεῖται παρ' ἀνθρώπων, προσκυνεῖται παρὰ τῆς κτίσεως, ἀλλ' οὐφημείσθω καὶ παρ' ἡμῶν οὐχ ἵνα προσθήκην τῆς αὐτῆς δόξης λάβῃ, ἀλλ' ἵνα χάριτος ἡμῖν χαρίσηται ῥανίδας, τὸν πρὸς αὐτὴν πόθον καὶ τὴν στοργὴν, θερμῶς ἀφοσιουμένοις. Ὅτι καὶ πάντας μὲν τοὺς ἁγίους τιμᾷν καὶ δίκαιον ἐστὶ, καὶ σωτηριῶδες, ἀλλ' ὡς φίλους Θεοῦ καὶ γνησίους θεράποντας· ἐξαιρέτως δὲ ταύτην τὴν τῶν ἁγίων ἁγίαν, κατ' ἐξοχὴν ἰδιαιτάτην, ὡς κυρίαν τοῦ κόσμου καὶ δέσποιναν, ἐπεὶ καὶ κοινὴν ἀπαιτεῖ τὴν πρὸς ταύτην διάθεσιν πάντων, τὸ τῆς εὐεργεσίας ταύτης ὁλικὸν καὶ παγκόσμιον· διὰ γὰρ ταύτης ὅ,τε ἁγιασμὸς προσγέγονε τοῖς ἁγίοις, τοῖς Ἀγγέλοις ἡ ἀτρεψία, καὶ ἡμῖν τὰ τῆς σωτηρίας ἐλπίζεται. Καὶ ἵνα γνῶμεν ἐκ μέρους, ὅσον τὸ μέσον ταύτης πρὸς πᾶσαν τὴν κτίσιν, καὶ τὸ πρὸς τοὺς ἁγίους ἅπαντας ὑπερέχον, πᾶσαν, εἰ δοκεῖ, ἐν συγκρίσει τῷ λόγῳ διελθόντες τὴν κτίσιν, σκοπήσωμεν καὶ τὴν πρὸς ἄλληλα τῶν ὄντων, καὶ τὴν ταύτης πρὸς πάντα, ἐν συνόψει, ὑπεροχήν.

Τῆς τῶν ὄντων γοῦν ὑπεροχῆς τὸν τρόπον, οἶμαι, τοιόνδ' εἶναι, ὅτι ὑπερέχει γῆ λίθων, τῇ στοιχειώδει αἰτίᾳ· καὶ ὕδωρ γῆς, τῇ ὑγρότητι καὶ διαφανείᾳ· καὶ ἀὴρ ὕδατος, τῇ λεπτότητι καὶ τῇ ἐλαφρείᾳ· καὶ πῦρ ἀέρος, τῇ διαυγείᾳ, τῇ ἀνωφερείᾳ, καὶ δυνάμει τῇ καυστικῇ· καὶ ἥλιος σελήνης μεγέθει, καὶ τάχει, καὶ

φαιδρό-

φαιδρότητι· καὶ αἰθὴρ πυρὸς, τῷ πολυχαράκτῳ μορφώματι, καὶ κυκλώματι τῷ ἑπταπλανεῖ· καὶ οὐρανὸς αἰθέρος, τῇ τῶν κτισμάτων περιοχῇ· καὶ ἄλλο ἄλλο ὄντος ὂν, ὑπερέχει κατάτι, ὃ καὶ διαφορὰ τῶν ὄντων πρὸς ἄλληλα λέγεται. Πάλιν, ὑπερέχει γῆ λίθου, τῷ ζωογονεῖν οἴκοθεν· καὶ φυτὸν γῆς, τῷ ἐμψύχῳ· καὶ ζωόφυτον φυτοῦ, τῷ αἰσθάνεσθαι· καὶ ζῶον ζωοφύτου, τῷ μεταβαίνειν· καὶ ὁ ἁπλῶς ἄνθρωπος ἀλόγου ζώου, τῷ λογικεύεσθαι· καὶ ἅγιος ἀνὴρ ἀνθρώπου ἄλλως ἀτημελήτου, τῷ λυμαινούσης ὕλης καθαίρεσθαι· καὶ Ἄγγελος ἁγίου, τῇ ἀϋλίᾳ· καὶ Ἀρχάγγελος Ἀγγέλου, τῇ ἀρχῇ· καὶ Ἀρχὴ Ἀρχαγγέλου, τῷ ἄρχειν ὑπέρ· καὶ Κυριότης Ἀρχῆς, τῷ κυριεύειν· καὶ Ἐξουσία Κυριότητος, τῷ ἐξουσιάζειν· καὶ Δύναμις Ἐξουσίας, τῷ πλεῖστα δύνασθαι· καὶ Χερουβεὶμ Δυνάμεως, τῷ πολυόπτῳ· καὶ Σεραφεὶμ τοῦ Χερουβεὶμ, τῇ ταχύτητι· καὶ Θρόνος τοῦ Σεραφεὶμ, τῇ τοῦ θείου ἐγγυτέρω καὶ προκείτω ἐπαναπαύσει· ταῦτα δὲ τοῖς μὲν κατὰ φύσιν, τοῖς δὲ κατὰ τάξιν προσεῖναι φαμὲν, ἐκ τῆς τῶν ὀνομάτων αὐτῶν ἐνεργητικῆς σημασίας τοὺς λόγους συνάγοντες. Τούτων δ' ἁπάντων ἡ Θεοτόκος Μαρία ἐξοχώτατα ὑπερέχει, καὶ ἀσυγκρίτως ὑπέρκειται, ὡς οὐδεὶς ἂν τῆς ὑπεροχῆς ταύτης ἐφικέσθαι ἰσχύσοι λόγος· ὅθεν πλατυτέρα τῆς γῆς, λαμπροτέρα τοῦ ἡλίου, ὑψηλοτέρα τῶν οὐρανῶν, ἁγιωτέρα τῶν ἁγίων, τιμιωτέρα τῶν Ἀγγέλων, ἐνδοξοτέρα τῶν Ἀρχαγγέλων, ἀρχικωτέρα τῶν Ἀρχῶν, τῶν Κυριοτήτων κυριωτέρα, τῶν Ἐξουσιῶν ἐξουσιαστικωτέρα, καὶ τῶν Δυνάμεων ἀνωτέρα· ἡ αὐτὴ δὲ καθαρωτέρα τῶν Χερουβὶμ, θειοτέρα τῶν Σεραφὶμ, ὑπερτέρα τῶν ὑπερτάτων Θρόνων, καὶ ἐγγυτέρα Θεοῦ, καθ' ὑπεροχὴν ἄπειρον, καὶ λέγεται, καὶ πιστεύεται, καὶ ἔστιν ἀληθέστατος, οὐ κατὰ τὴν φύσιν· ἐπεὶ ἄνθρωπος αὕτη, οὐκ Ἄγγελος· ἀλλὰ κατὰ τὰς ἄνωθεν ταύτῃ μόνῃ δοθείσας ἀρετὰς καὶ ἀξίας καὶ χάριτας· ᾧ γὰρ, αἱ ἀνώτεραι τοῦδε τοῦ κόσμου πᾶσαι δυνάμεις ἐκεῖναι, πόῤῥωτέρω μετὰ φόβου παρίστανται, τοῦτον αὐτὴ καθ' ὑπόστασιν σαρκωθέντα καὶ ἐκύησε, καὶ ἐγέννησε,

καὶ ἀνέθρεψεν· ἀμέλει καὶ οὐχ ὡς δούλη μακρὰν, ἢ καὶ κατωτέρω, ἀλλ᾽ ὡς Μήτηρ ἀληθεστάτη καὶ Βασιλὶς, ἐκ δεξιῶν αὐτοῦ καὶ ἀμέσως σὺν πολλῇ παῤῥησίᾳ, ἐν ἱματισμῷ διαχρύσῳ παρίσταται.

Καὶ ταῦτα διῆλθον οὐχ ἵνα φιλοτιμήσωμαί τι, καὶ τοῖς λόγοις ἐπάρω ταύτης τὰς χάριτας, ἔμενον· οὐ γὰρ τοσαύτη τῶν ἐμῶν λόγων ἡ δύναμις, ὥστε σεμνύνειν τὰ ὑπερμέγιστα· τοὐναντίον δὲ μᾶλλον καὶ ἀμαυροῦν τῇ περὶ τὴν διήγησιν οὐθενότητι· ἀλλ᾽ ἵνα ὡς οἷόν τε δείξω, τὸ ὑπέρτατον ταύτης πρὸς τὰ λοιπὰ πάντα τῶν τοῦ Θεοῦ δημιουργημάτων ὕψος ἅμα καὶ μέγεθος, οὐχ οἷον καὶ ὅσον ἐστὶν, ἄπαγε! τοῦτο καὶ γὰρ πάσῃ φύσει ἀνθρώπων, καὶ πάσαις μεθόδοις καὶ τέχναις ἀδύνατον· ἀλλ᾽ ὅσον εἰπεῖν, ὅ, τε λέγων αὐτὸς, τόγε νῦν ἔχον, ἰσχύω, καὶ ὑμεῖς οἱ ἀκούοντες εὐσεβῶς συνιέναι περὶ αὐτοῦ δύνασθε· καίγε οὐ δέδοικα τὰ μεγαλεῖα ταύτης διεξιὼν, ἀλλὰ θαῤῥῶν ἐγχειρῶ καὶ τοῖς ὑπὲρ δύναμιν· οὐκ ἄπο λόγου τοῦτο ποιῶν· ἀλλ᾽ ὡς τῷ ταύτης Υἱῷ, καὶ τῷ ἐκείνου Πατρὶ, καὶ τῷ Πνεύματι, καθ᾽ ἑκάστην προσάγειν δοξολογίας τολμῶ, πολλὰς μὲν οἴκοθεν, τὰς πλείους δὲ καὶ πρὸς τῶν ἁγίων ἐρανιζόμενος, οὕτω καὶ ταύτῃ ἐκ τῶν αὐτῆς λαμβάνων, κατ᾽ ὀφειλὴν ἀπαραίτητον, τῇ τῆς σωτηρίας μοι αἰτίᾳ προσάγω πάντως τὸ κατὰ δύναμιν· εἰ γὰρ καὶ τοῦ κατ᾽ ἀξίαν ἐκπίπτομεν πάντες οἱ πειρώμενοι ταύτην τιμᾶν, τῇ γε μὴν προθυμίᾳ τὸ πλέον, ἄλλος ἄλλου μὴ ἡττᾶσθαι σπεύδαζομεν, οὐ θράσους ἀλαζονείᾳ, ἀλλὰ πόθου περιουσίᾳ, τοῦτο τολμᾶν βιαζόμενοι· ἐπεὶ καὶ Θεῷ φίλον τὸ κατὰ δύναμιν· καὶ κοινὴ παρὰ πάντων ἀπαιτεῖται τιμὴ, τῇ προξένῳ τοῖς πᾶσι παντὸς ἀγαθοῦ· πλὴν εἰ καὶ τῆς ἀξίας ἀνάγκη πᾶσα κατόπιν ἐλθεῖν, διὰ τὸ ἀνέκφρασον τοῦ μυστηρίου καὶ δυσθεώρητον, δι᾽ αὐτὸ τοῦτο μᾶλλον ἐπιχειρητέον τὸν λόγον, καὶ μὴ τὸ πρὸς δύναμιν τιμᾶν τῷ λόγῳ, τὴν ὑπὲρ λόγον τὸν Λόγον κυήσασαν ἡμῖν ἀπαγορευτέον. Ἐπεὶ καὶ τοῦτο δεῖξαι τῇ ἐμῇ ψυχῇ πρόθεσις, καὶ τῷδε τῷ λόγῳ σκοπὸς, ὑπὲρ λόγον εἶναι τῆς

πανυμ-

πανυμνήτου τὰ μεγαλεῖα, καὶ τοῦ ἀνεκφράστου τοῦ περὶ αὐτὴν μυστηρίου, τὸ ὑπερέχον αὐτῆς ἀποδείξασθαι. Χρὴ δὲ σὺν τούτοις κἀκεῖνο σκοπεῖν, ὅτι ὥσπερ ὁ ἀμύνασθαι ἐπιθυμῶν μὲν, ἀδυνατῶν δὲ, τόγε εἰς αὐτὸν ἧκον ἠμύνατο, οὕτω καὶ ὁ ἀμείψασθαι βουλόμενος μὲν, μὴ δυνάμενος δὲ, ἠμείψατο· ἐπειδὴ γὰρ οὐ πάντως τῇ βουλήσει ἡ δύναμις ἕπεται, ἀπὸ τῶν ἐπιχειρημάτων, οὐκ ἐκ τῶν ἀποτελεσμάτων τὰ πράγματα κρίνεται· ἀπὸ τῆς γνώμης, οὐκ ἀπὸ τοῦ τέλους οἱ στέφανοι πλέκονται· ἀπὸ τῆς προαιρέσεως, οὐκ ἀπὸ τῆς ἐκβάσεως οἱ λόγοι ἐτάζονται· ὥστε τὴν πρόθεσιν πᾶσαν ὁ λόγος τὴν ἑαυτοῦ τῇ πρὸς τὴν ὑμνουμένην συγκρίσει δεικνὺς, τὸ ζητούμενον πάντως ἑκατέρωθεν ἕξει· καὶ φθάσας τοὺς ὅρους πρὸς οὓς ἀφορᾷ, καὶ ὑπολειφθεὶς τῆς βουλήσεως.

Περὶ ἧς τοίνυν δεῦρο ἀφίγμεθα ἑορτῆς ῥητέον ὡς ἐν συνόψει τὸ κατὰ δύναμιν, καὶ τὴν πρόθεσιν πᾶσαν προσακτέον, τῇ τοῦ Θεοῦ Λόγου κατὰ σάρκα Μητρί. Ὅτι τοῖς λυπουμένοις τὸ εὐαγγέλιον ἐστὶ καὶ ἡ χαρὰ, τοῖς ἀτυχοῦσιν ἡ εὐτυχία, τοῖς ἀτιμασθεῖσιν ἡ δόξα, τοῖς νοσοῦσιν ἡ θεραπεία, τοῖς ἀπεγνωσμένοις ἡ σωτηρία, τοῖς τεθνεῶσιν ἡ ἀνάστασις, τοῖς φθαρεῖσιν ἡ ἀφθαρσία, καὶ ἁπλῶς τοῖς πάσχουσί τι δεινὸν, ἡ τοῦ λυποῦντος ἀπαλλαγὴ, καὶ ἐπιτυχία τοῦ ἐφετοῦ. Πάντα οὖν ταῦτα διὰ τῆς Θεοτόκου τοῖς ἀνθρώποις προσγέγονε σήμερον· ὁ γὰρ πρὸς ταύτην γενόμενος παρὰ τοῦ Ἀγγέλου εὐαγγελισμὸς, καὶ χαρὰν, καὶ εὐτυχίαν, καὶ δόξαν, καὶ θεραπείαν, καὶ σωτηρίαν, καὶ ἀνάστασιν, καὶ ἀφθαρσίαν ἡμῖν παρεισήγαγεν. Ἀλλὰ πῶς τοῦτο γέγονε τὸ θαυμαστὸν καὶ παράδοξον;

Ὠργίζετο ἡμῖν ὁ Θεὸς· ἀπεστρεφόμεθα ἡμεῖς τὸν ἀγαθώτατον Κύριον· ἐλθὼν ὁ τοῦ Θεοῦ Λόγος δι᾽ ἑαυτοῦ, τὴν ἔχθραν ταύτην διέλυσε, συνάψας τὰ μέρη ἑκάτερα εἰς ἕν. Αὐτὸς δὲ Λόγου Θεοῦ παρουσίαν ἀκούων, καὶ σύλληψιν, μήτε τοπικὴν φαντάζου μετάβασιν, μήτε

προσωπικὴν λογίζε ἀλλοίωσιν, ἀλλὰ καὶ ἀτρέπτως ἐκ παρθένε συλληφθῆναι, καὶ ἀμεταβάτως παραγενέσθαι πρὸς ἡμᾶς τῦτον πίστευε· ἐπεὶ κατάγε τὸν ταύτης λόγον ἡ σύλληψις δηλοῖ, ἄνθρωπον ἐξ ἀνθρώπε, ἢ ἀρξάμενον εἶναι ὅς τις πρότερον ἐκ ἦν, ἢ ἀρξάμενόν τι κινεῖν ἐν ἑαυτῷ κατὰ φύσιν, εἰς τὸ ἀποτελέσαι τὶ τοιῦτον, οἷον ἦν, ἢ ἐςὶ, τὸ ἐξ ὅ συνεκρίθη· ἃ καὶ ἀμφότερα, τινὰ σημαίνει ἀλλοίωσιν· ὁ δὲ τῶν ὅλων Θεὸς, ὥσπερ ἐ μετὰ τὸ μὴ εἶναι ὅλως ἔχει τὸ εἶναι, ἕτως ἐδὲ μετὰ τὸ εἶναι, ἔχει τὸ μὴ εἶναι τὸ σύνολον· ὅθεν ἡ τοιαύτη σύλληψις μόνη, δίχα τροπῆς τινὸς γέγονεν· ὅπε γὰρ ἐ νυμφίος, ἐ θέλγητρον, ἐχ ἡδονὴ, ἐχ ἡ ταύτῃ συνεζευγμένη ὀδύνη, ἐ πάθος, ἐ σπέρμα ἡγήσατο, πῶς ἐπινοηθήσεται τῷ συλληφθέντι προσώπῳ ἐντεῦθεν ἀλλοίωσις;

Εἰ δέ τινα θορυβεῖ, τὸ, ὁ ὢν γίνεται, καὶ ὁ ἄναρχος ἄρχεται, καὶ τὰ τοιαῦτα, ἕτος ἴςω κἀκεῖνο, ὡς ὅτε τὸ γινόμενον τὴν τῦ ὄντος ὀντότητα, ὅτε τὸ ἀρχόμενον ἀλλοιοῖ τῦ ἀνάρχε τὸ ἄναρχον. Ὡσαύτως δὲ καὶ ἡ τινὸς παρεσία, καὶ ἄρξασθαι μὴ εἶναι ὅπε πρότερον ἦν σημαίνει τὸν ἐρχόμενον, καὶ ἄρξασθαι εἶναι ὅπε πρότερον ἐκ ἦν· ὁ δὲ τῦ Θεῦ Λόγος τὰ πάντα πληρῶν, ὥσπερ ἐκ ἤρξατο εἶναι ὅπε πρότερον ἐκ ἦν, ἕτως ἐδ' ἐπαύσατο εἶναι ὅπε πρότερον ἦν· ὅθεν ἡ τοιαύτη μετάβασις μόνη, καὶ παρεσία, δίχα τινὸς ἀπεσίας καὶ διαςάσεως γέγονε· καὶ ἵνα τὸ τῦ Ἰὼβ φθέγξωμαι, ἴσως τὰ ἴχνη τῦ Θεῦ καταλήψῃ, καὶ τὸν παντοκράτορα ὑβρίσεις τελείως; ὑψηλότερος ἐςὶ τῦ ἐρανῦ, τῦ ᾅδε βαθύτερος, μακρότερον τῆς γῆς τὸ μέτρον αὐτῦ, καὶ τῆς θαλάσσης πλατύτερον.

Ὡσαύτως μέντοι Θεότητός τε καὶ ἀνθρωπότητος ἕνωσιν ἐπακέων, ὑπὲρ πᾶσαν γενέσθαι ταύτην ἕνωσιν πίστευε· γίνεται δὲ ἡ ἕνωσις, ὅσα ἐμὲ εἰδέναι, δωδεκαχῶς· ἤτοι κατὰ σωρείαν, κατὰ κρᾶσιν, κατὰ φύρσιν, κατὰ ἀνάμιξιν, κατὰ σύγχυσιν· κατὰ ἁρμονίαν, κατὰ παράθεσιν, κατὰ συναλοιφὴν, κατὰ κόλλησιν, κατ' ἐσίαν,

ἐσίαν, κατὰ χέσιν, καὶ κατὰ σιωύθεσιν· κατὰ σωρείαν μὲν, ὡς ἐπὶ διαφόρων ξηρῶν, οἷον σίτε, κριθῆς, κέγχρε, καὶ τῶν τοιέτων· κατὰ κρᾶσιν, ὡς ἐπὶ δύο ὑγρῶν, ἢ πλειόνων, οἷον ὕδατος, οἴνε, καὶ τῶν ὁμοίων· κατὰ φύρσιν, ὡς ἐπὶ ξηρε καὶ ὑγρε, οἷον ἀλεύρε καὶ ὕδατος· κατὰ ἀνάμιξιν, ὡς ἐπὶ διαφόρων ἀλεύρων· κατὰ σύγχυσιν, ὡς ἐπὶ τηκτῶν, οἷον χρυσε καὶ ἀργύρε· κατὰ ἁρμονίαν, ὡς ἐπὶ λίθων· κατὰ παράθεσιν, ὡς ἐπὶ σανίδων· κατὰ συναλοιφὴν, ὡς ἐπὶ λαμπάδος ἐκ πυρὸς προερχομένης, καὶ αὖθις αὐτῷ ἑνεμένης· κατὰ κόλλησιν, ὡς ἐπὶ χαλκε καὶ μολύβδε· κατ' ἐσίαν, ὡς ἐπὶ ἀτόμων· κατὰ χέσιν, ὡς ἐπὶ φίλων καὶ γνωρίμων, εἰς ἓν θέλημα σιωερχομένων· καὶ κατὰ σιωύθεσιν, ὡς ἐπὶ ψυχῆς καὶ σώματος. Ἡ δέγε καθ' ὑπόςασιν ἕνωσις, ἐπὶ μόνης λέγεται τῆς ἐν Χριςῷ Θεότητός τε καὶ ἀνθρωπότητος. Ἐξῃρημένης ἂν καὶ ἀτρέπτε καὶ Θεοπρεπες ταύτης τῆς ἑνώσεως ἔσης, καὶ μηδεμίαν κοινωνίαν, ἢ ὁμοιότητα κεκτημένης πρὸς τὰς λοιπὰς, μὴ ἐνδοίαζε ταύτην ὁμολογεῖν, εἴπερ σοι μέλει, καθ' ὅσον βροτοῖς ἐφικτὸν ἑνωθῆναι Θεῷ.

Εἰδ' ἐπὶ τέτοις ἐξίςασαι λογιζόμενος, πῶς ὁ ἀπερίγραπτος φύσει, τῷ φύσει περιγραπτῷ συγκραθεὶς, τὸ ἀπερίγραπτον ἐκ ἠλλοίωσε; καὶ τὸ δὴ ξένον, ὅτι ἐ Προφήτης, ἐδ' Ἀπόςολος, ἀλλὰ Θεὸς ὁ ἄνθρωπος ἐκεῖνος, ἦγεν τὸ πρόσλημμα ὅλον, καὶ λέγεται καὶ πιςεύεται παρ' ἡμῶν; νόμιζε εὐσεβέςατα, ὅτι τὰ τῆς ἡμῶν πίςεως μυςήρια, ὑπὲρ ἀπόδειξιν πέφυκεν ἅπασαν· πλιὼ τιὼ ἀπορίαν ταύτιω μετὰ πολλῶν, καὶ τὸ πρωτόκτιςον φῶς ἐπιλύει, τῷ δεκτικῷ τέτε δίσκῳ ἑνέμενον· ὡς γὰρ ἐκεῖ τὸ φῶς, καθ' αὑτὸ μένον πρότερον, τῷ ἐπιγεγονότι δίσκῳ ὅλον ὅλῳ συγκραθὲν, ἔπειτα καὶ ἐν αὐτῷ δοκεῖ περιγράφεσθαι, καὶ πανταχε κέχυται, μηδὲν ἐκ τε περιγραπτε τέτε δίσκε ἐμποδιζόμενον· ἀλλαμιὼ καὶ ὁ δίσκος φῶς καὶ λέγεται καὶ ἐςὶ, διὰ τιὼ πρὸς τὸ φῶς τέτο ἕνωσιν· ἔτω κἀνταῦθα, καὶ πολλῷ ἀληθέςερον, (ὑπερέχει

ρέχει γὰρ ἐν πᾶσι τῶν κτισμάτων ὑπὲρ λόγον ὁ τέτων δημιεργὸς) ὁ ἀπερίγραπτος Λόγος τῦ Θεῦ καὶ Θεὸς, ὅλος ὅλῃ τῇ περιγραπτῇ ἡμῶν καρκὶ ἑνωθεὶς καθ᾽ ὑπόςασιν, ἐδὲν ἧττον ἀπερίγραπτος ἔμεινε, τῇ πρὸς τὸ περιγραπτὸν ἑνώσει, μηδὲν λυμανθείσης αὐτῦ τῆς ἀπεριγράπτυ Θεότητος. Ἀλλὰ δὴ καὶ ὁ ἄνθρωπος, ἤτοι ἅπαν τὸ πρόσλημμα, Θεὸς λέγεται καὶ πιςεύεται, ὅτι γέγονε τῦτο, ἐκ τῆς πρὸς αὐτὸν τῦ Θεῦ Λόγυ ἀκρας καὶ ἀχωρίςυ ἑνώσεως· καὶ μάλα εἰκότως· ὡς γὰρ φωτοδόχον ὁ ἡλιακὸς δίσκος ἐξ ἀρχῆς κατεσκεύαςο, ὕτως εὐθὺς θεοδόχον ἐπλάσθη ἅπαν ἐκεῖνο τὸ πρόσλημμα· καὶ ὡς μετὰ τὴν τῦ φωτὸς ὑποδοχὴν, φῶς καὶ ὁ δίσκος ἐκεῖνος ὠνόμαςαι, ὕτω Θεὸς τῦτο, μετὰ τὴν τῦ Θεῦ πρὸς αὐτὸ ἄῤῥητον ἕνωσιν, καὶ λέγεται ἀληθῶς, καὶ πιςεύεται ὀρθῶς· ὅμως ὔτε Θεὸς γυμνὸς, ὔτε ἄνθρωπος ψιλὸς, ἀλλὰ τὸ συναμφότερον, ἤτοι Θεάνθρωπος ἐςὶν ὁ Χριςός· ὥσπερ ὐδ᾽ ἐκεῖ ψιλὸς δίσκος ὁ δίσκος μετὰ τὴν ὑποδοχὴν τῦ φωτὸς, ὐδὲ φῶς μόνον τὸ φῶς, ἀλλὰ τὸ συναμφότερον ἥλιος.

Ἀλλὰ μικρὸν ἀνωτέρω τῦ λόγυ ἀψώμεθα. Τίνος χάριν ὐκ ἄλλη τις γέγονε τῦ Λόγυ Μήτηρ φησί; τίνα δὲ ἀρετὴν πασῶν εἶχε μείζονα, δι᾽ ἣν πασῶν προτετίμηται; Ἄλλη μὲν ταύτης ὐ προτετίμηται, ὅτι πάσας ὁ Θεὸς προγινώσκων, τὴν τῶν λοιπῶν ἐσομένην ἀξιωτέραν ἐκ μήτρας ἡγίασε ςείρας· ἀπεβάλετο δὲ τὰς εἰς τῦτ᾽ ἀναξίας ὥσπερ εἰκός· ἀρετῶν δὲ πασῶν ὑπερτέραν ἐκέκτητο, τὸ προκαθαρθῆναι τῷ Πνεύματι, καὶ δοχεῖον ἑτοιμασθῆναι δεκτικὸν τῆς ἀπροσίτυ Θεότητος. Καὶ ὅρα μοι κἀνταῦθα, καθὼς καὶ ἐπὶ πάντων τῶν παρὰ τῦ Θεῦ γινομένων, θαυμαςήν τινα καὶ ξένην οἰκονομίαν! ἐπεὶ γὰρ ἔμελλε χρονικῶς ἐκ παρθένυ γεννᾶσθαι ὁ παναίτιος Λόγος, τῦτο δὲ τέως τῶν ἀδυνάτων ἐδόκει, πιςύμενος λοιπὸν τὺς ἀπιςεῖν τῦτο μέλλοντας, ἐκ ῥίζης ἀκάρπυ, καὶ ςείρας ἀγόνυ, καὶ πέτρας, ὡς εἰπεῖν, ςερεᾶς, εὐδόκησε τὴν ἑαυτῦ Μητέρα προγεννηθῆναι, ὃ καὶ πρόδρομον

μον τοῦ δευτέρου, καὶ κομιδῇ παράδοξον ἰδῶ· τὸ γὰρ ἄγονον μήτραν στείρας καρπογονῆσαι, ἤδη πρεσβεβηκείας, καὶ τῶν φυσικῶν αὐτῆς νεκρωθέντων ὀργάνων, ἐγγὺς εἶναι δοκεῖ τοῦ παρθένου τεκεῖν. Πρὸς δὲ, καὶ ἵνα δείξῃ, ὅτι τὰ παλαιὰ ἦλθεν ἀνακαινίσαι, καὶ τὴν φύσιν ἡμῶν στεῖραν οὖσαν πρὸ τοῦ, καρποφόρον ἐργάσασθαι, τόντε γεγηρακότα κόσμον, καὶ σὺν αὐτῷ τὸν παλαιωθέντα προπάτορα, διὰ τῆς καινῆς ταύτης ἀναπλάσαι συλλήψεως. Αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῆς αὐτῷ προδεχθείσης φωνῆς τοῦ Προδρόμου πεποίηκεν, ὡς ἂν πάντως θαύματα πλείω καὶ συγγενῆ ἐγγυτάτω προτρέχῃ, τὸ τῶν θαυμάτων μέγιστον θαῦμα τοῦτο πιστούμενα· τὸ γὰρ εἰς τὴν Ἄνναν συμβὰν τὴν τοῦ Κανᾶ, καὶ τὴν τοῦ Ἀβραὰμ ὁμόζυγον Σάῤῥαν, πρόπαλαι ἤδη διαπραχθέντα, τοῖς πολλοῖς ἐπελέληστο· ἀμέλει καὶ ὁ προστάγματι πάλαι τὴν ἄνυδρον πέτραν ὑδροτόκον ποιήσας, αὐτὸς καὶ ταύτας ἐς ὕστερον τὰς στείρας, τὴν Ἄνναν φημὶ, καὶ τὴν Ἐλισάβετ, παρ᾽ ἐλπίδα πᾶσαν ἀναδειχθῆναι μητέρας ηὐδόκησε· καὶ ὃ νεότητος ἀκμὴ, καὶ φύσεως οὐκ ἴσχυσε δύναμις, τοῦτο γῆρας ῥωσθὲν τῷ Σωτῆρι, ὑπὲρ φύσιν εἰργάσατο· οὐκ ἀδυνατεῖ γὰρ πᾶν ῥῆμα παρὰ τῷ Θεῷ· πάντα δὲ δουλεύει καὶ εἴκει τῷ θείῳ προστάγματι, καὶ οὐκ ἂν εἴη θεῖα τὰ πράγματα, εἰ μὴ παράδοξα φαίνεται καὶ ὑπερφυῆ.

Ἐκ τοῦ τῶν Ἑβραίων δὲ γένους, καὶ ἐξ ὀσφύος τοῦ Ἰωακεὶμ, καὶ τῶν τῆς Ἄννης λαγόνων ἐξ ἐπαγγελίας προελθεῖν, τὴν ἑαυτοῦ Μητέρα ὁ Υἱὸς τοῦ Θεοῦ ἠρετίσατο, ὅτι πάντων τῶν ἐθνῶν μόνοι θεοσεβεῖς οἱ Ἑβραῖοι τηνικαῦτα ὑπῆρχον· πασῶν δὲ τῶν Ἑβραϊκῶν φυλῶν μόνη βασιλικὴ ἡ τοῦ Ἰούδα ἐτύγχανεν· ἐπεὶ τοίνυν ὁ μέλλων ἐκ ταύτης σαρκοῦσθαι δεσπότης, αὐτὸς μόνος καὶ ἦν καὶ ἔστι καὶ ἔσται Βασιλεὺς, καὶ βασιλέων αἰώνιος, εἷλκε δὲ τὸ γένος ὁ Θεῖος Ἰωακεὶμ ἐκ τῆς τοῦ Ἰούδα φυλῆς, καὶ πάντας τοὺς ἐν ταῖς γενεαῖς αὐτοῦ, τῇ περιουσίᾳ τῆς ἀρετῆς ὑπερεῖχε σὺν τῇ συζύγῳ, τούτου χάριν ἐξ αὐτῶν,

τε ἐυσεβες δηλαδὴ γένες, καὶ βασιλικε, καὶ ἁγίε, ταύτιω γεννηθῆναι θεοπρεπῶς ᾠκονόμησεν· ἐχρίω γὰρ ὥσπερ ἐκ σωφροσύνης τιὼ παρθενίαν βλαςῆσαι, ἢ μᾶλλον ἐκ σωφρόνων, τῶν παρθένων τὸ καύχημα, ἔκ τε Προφητῶν τιὼ Προφῆτιν, καὶ ἐκ πιςῶν τιὼ τῆς πίςεως πρόξενον· οὕτω καὶ ἐξ αἵματος βασιλείε τιὼ Βασιλίδα, καὶ ζεύγες ἁγίε, τιὼ ὑπεραγίαν καὶ ἄζυγον προελθεῖν. Αὖθις, ἐπεὶ τὸ μὲν Ἰωακεὶμ ὄνομα, Θεὸς ἰατρὸς, τὸ δὲ Ἄννα χάρις, τὸ δὲ Μαρία, Κυρία σημαίνει, κατὰ τιὼ πάτριον τέτων διάλεκτον· τὸ δὲ τῶν ἀνθρώπων γένος νενοσηκὸς ὁ τῶν ὅλων Κύριος ἰατρεῦσαι χάριτι παρεγένετο διὰ τῆς Κυρίας, ἐκ τε Θεὸς ἰατρὸς καλεμένε, καὶ τῆς αὐτε συζύγε τῆς χάριτος, ταύτιω τιὼ τῶν ἁπάντων Κυρίαν παρήγαγεν· ὡς δὲ καὶ μέλλεσαν μόνιω αὐτιὼ ῥύεσθαι ἴε ἅπαντας τε μισοκάλε, Μαριὰμ, ἐχ ἑτέρως κληθῆναι, πάντως προπαρεσκεύασεν.

Εἰς δὲ τὰ τῶν Ἁγίων Ἅγια κέκριται ταύτιω ἀναγραφῆναι, ὅτι τῶν ἀνὰ τιὼ οἰκεμένιω ἐπαρχιῶν, γῆ τῆς ἐπαγγελίας, γῆ ἀγαθὴ καὶ καλὴ, γῆ ῥέεσα μέλι καὶ γάλα, ἡ Παλαιςίνη ἐκλήθη παρὰ Θεε· ταύτης δὲ πάσης ἔξοχος τόπος τὸ Σιὼν ὄρος ἰῶ, ὄρος τετυρωμένον, ὄρος πῖον, ὄρος Θεε· παντὸς δὲ τέτε ἔκκριτον μέρος ἡ Μητρόπολις Ἱερεσαλὴμ, περὶ ἧς δεδοξασμένα λελάληται, καὶ ἀξιάκεςα ἤκεσαι· πάσης δὲ ταύτης Θεε ἐξαίρετον ἐνδιαίτημα ὁ Ναός· τέτε δὲ πάλιν κατ' ἐκλογιὼ ἐξῃρημένη μερὶς, τὰ τῶν Ἁγίων Ἅγια ἰῶ· ἐκεῖ γὰρ ἡ τε μαρτυρίε Σκιωὴ ἰῶ, ἡ Κιβωτὸς τῆς διαθήκης Κυρίε, ἡ χρυσῆ Στάμνος, ἡ τὸ Μάννα φέρεσα, αἱ θεοχάρακτοι Πλάκες, ἡ βλαςήσασα Ῥάβδος, Θυμιατήριον τὸ χρυσεν, τὰ Χερεβὶμ, τὸ Ἱλαςήριον, ἡ Τράπεζα, ἡ Λυχνία, ἡ Λαβὶς, καὶ ἑνὶ λόγῳ, πάντα τὰ εἰκονίζοντα ταύτιω κειμήλια ἐκεῖ ἰῶ· ὅπε τοίνυν τὰ σύμβολα ταύτης ἐτεθησαύριςο, ἐνταῦθα καὶ ταύτιω ἐχρῆν ἀναςρέφεσθαι, καθὰ καὶ ὁ ταύτης προπάτωρ

τωρ Δαβὶδ, προφητικῶς ἄνωθεν τὰ κατ᾽ αὐτὴν ὁρῶν, ἔλεγεν „ἀπενεχθήσονται τῷ Βασιλεῖ παρθένοι " ὀπίσω αὐτῆς· αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται ἐν " εὐφροσύνῃ καὶ ἀγαλλιάσει· ἀχθήσονται εἰς Ναὸν " Βασιλέως.

Ἐπιτηδεύματα δὲ ταύτης ἀνατρεφομένης ἐκεῖσε, προσευχὴ, ψαλμῳδία, ἀνάγνωσις, ἀκρόασις θείων λογίων, ἡσυχία, προσοχὴ, ἀγρυπνία, θεωρία, μελέτη, πρᾳότης, ἐγκράτεια· ὑπηρέται δὲ ταύτης, ἐκ μὲν τῶν ἀνθρώπων Ζαχαρίας ὁ μέγας Ἀρχιερεὺς, ἐκ δὲ τῶν Ἀγγέλων ὁ ἀρχιστράτηγος Γαβριήλ· τοιούτους καὶ γὰρ θαλαμηπόλους ἔχρην παρεστάναι τῇ Δεσποίνῃ τῆς κτίσεως· ἐκ δὲ τῶν ἁγίων, ὁ ἅγιος ταύτην μνηστεύεται Ἰωσὴφ, ἡ προσθήκη τοῦ ἁγιάσματος· καὶ Ναζαρὲτ αὐτὴν καλῶς ὑποδέχεται, ὅπερ σημαίνει, ἁγιασμὸς, ἐν ᾗ διατρίβουσα αὕτη ἡ τῶν ἁγίων ἁγία, τὸν τῶν ἁγίων ἁγιώτατον Λόγον, διὰ λόγου ἁγίου Ἀγγέλου, ὑπὲρ λόγον συνέλαβε.

Τὸν θεῖον δὲ Γαβριὴλ τὸ τοῦ Εὐαγγελισμοῦ μυστήριον ἔκρινεν ὁ Θεὸς ὑπουργῆσαι, διὰ τὸ δηλοῦν τὸ Γαβριὴλ τουτὶ ὄνομα, μεθερμηνευόμενον ἐκ τῆς Ἑβραΐων φωνῆς εἰς τὴν Ἑλλάδα, ἄνθρωπος Θεός· ἤγουν ἐπεὶ ἄνθρωπος ὁ Θεὸς ἐβουλήθη γενέσθαι, ἢ μᾶλλον Θεάνθρωπος, διὰ τοῦ τὴν προσηγορίαν ταύτην πλουτοῦντος Ἀγγέλου, τὸ μυστήριον τοῦτο πρώτως ἀγγελθῆναι διέκρινεν· οὗτος ἐστὶν ὁ ἐν τῇ γεννήσει Χριστοῦ, καὶ τῇ ἀναστάσει ἐπὶ νεφελῶν, ὡς ἀνὴρ μέσος ἀπείρων Ἀγγέλων, κατὰ ἀνατολὰς ἐπάρας τὴν χεῖρα, καὶ ὑψώσας τὴν φωνὴν αὐτοῦ ὑπὲρ σάλπιγγος, καὶ βοήσας τῇ κτίσει, σήμερον σωτηρία τῷ κόσμῳ, ὅσος τε ὁρατὸς καὶ ὅσος ἀόρατος· ὁ καὶ τὴν Θεοτόκον αὐτὴν πρὸ τοῦ συλληφθῆναι, τῷ θείῳ Ἰωακεὶμ εὐαγγελισάμενος, καὶ τῇ Ἄννῃ καὶ τῷ Ἀρχιερεῖ Ζαχαρίᾳ, τὸν Πρόδρομον· ὁ καὶ τὴν οὐράνιον τροφὴν ταύτῃ τῇ τῶν ἁγίων ἁγίᾳ, ἐφ᾽ ὅλοις ἐννέα ἔτεσιν, οὐρανόθεν κομίζων ἐν τῷ Ναῷ· τὸν Ἰωσὴφ οὗτος ἐκώλυσε τὴν παρθένον ἐκβαλεῖν,

καὶ

καὶ τοὺς ποιμένας οὗτος περιαστράψας, χαρὰν μεγάλην εὐηγγελίσατο· ὁ καὶ εἰς Βηθλεὲμ ἐκ Περσίδος ἐν σχήματι ἀστέρος ὁδηγήσας τοὺς Μάγους, καὶ δι' ἄλλης ὁδοῦ εἰς τὴν χώραν αὐτῶν ὑποστρέψαι χρηματίσας αὐτοῖς· οὗτος καὶ εἰς τὴν Αἴγυπτον ἔπεισε κατελθεῖν τὸν Ἰωσὴφ, μετὰ τοῦ θείου βρέφους, καὶ τῆς παρθένου, κἀκεῖθεν ἀναχθῆναι πάλιν εἰς γῆν Ἰσραὴλ, κἀντεῦθεν μεταναστεῦσαι εἰς Ναζαρὲτ· καὶ ἵνα συνελὼν τὸ περὶ τούτου ἐρῶ, ἄρχων μὲν τοῦ Ἑβραίων λαοῦ ἐν τῇ παλαιᾷ διαθήκῃ, ὁ ἀρχιστράτηγος Μιχαὴλ ἐκρίθη εἶναι παρὰ Θεοῦ, ὑπουργὸς δὲ τῆς θείας οἰκονομίας, καὶ τοῦ κατ' αὐτὴν μυστηρίου, ἐξαίρετος ἐξελέγη ὁ Γαβριήλ. Οὗτος ἀπεστάλη παρὰ τοῦ Θεοῦ, κατὰ μὲν τὴν τρίτην καὶ εἰκοστὴν τοῦ μηνὸς Σεπτεμβρίου πρὸς τὸν ἱερὸν Ζαχαρίαν ἐν τῷ Ναῷ, κατὰ δὲ τὴν πέμπτην καὶ εἰκοστὴν τοῦ Μαρτίου, πρὸς τὴν Μαριὰμ ἐν τῇ Ναζαρὲτ, καὶ εἰσελθὼν πρὸς αὐτὴν, εἶπε „χαῖρε κεχαριτωμένη, ὁ „Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί· καὶ ταῦτα μὲν εἶπεν αὐτὸς, καθὼς παρὰ Θεοῦ προσετέτακτο· ἡ δὲ μετὰ τὸ ταραχθῆναι τῷ ἀσυνήθει τοῦ ἀσπασμοῦ, καὶ πυθέσθαι τὸν τρόπον, καὶ μαθεῖν ἀκριβῶς, ψυχὴν ἅμα καὶ κεφαλὴν τῷ Θεῷ ὑποκλίνασα, καὶ ἰδοὺ „ἡ δούλη Κυρίου, εἰποῦσα, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου, εὐθὺς συνέλαβεν ὑπὲρ λόγον τὸν Υἱὸν τοῦ Θεοῦ· ἣν δήπου σύλληψιν ἑορτάζομεν σήμερον, Εὐαγγελισμὸν τὴν πανήγυριν ὀνομάζοντες.

Ἀλλὰ τὸν μὲν λόγον ἐνταῦθα καταπαῦσαι σπουδάζων, ἀρχόμενον ἄρτι καὶ οὐχὶ λήγοντα τοῦτον ὁρῶ, αὐξανόμενον μᾶλλον ἢ δαπανώμενον, πληθυνόμενον πλέον οὐκ ἐλαττούμενον. Ἰδοὺ γὰρ ἐπὶ δυσὶ τοῦτον διιὼν ὥραις, ἡνίκα δῆθεν ἐδόκουν τὰς ὑμῶν διανοίας κορέσαι, εὑρέθην οὔπω τῆς διηγήσεως ἐναρξάμενος· διὸ εἰς τὸ ἐπιὸν ἔτος ταμιευσάμενος ταύτην, τῆς πρὸς ὑμᾶς παραινέσεως ἅψομαι.

Καὶ

Καὶ δὴ, τιμήσωμεν ἔργῳ καὶ αὐτοὶ τὴν ἡμέραν· μηδὲν παραλείψωμεν τῶν εἰκότων· γενώμεθα ὑπόθεσις ἑορτῆς, μᾶλλον δὲ ἕκαστος ἡμῶν καθ' ἑαυτὸν ἑορτὴ, καὶ ἀποδῶμεν ἅγε ἡ σήμερον πανήγυρις ἀπαιτεῖ· ἔσαι δὲ τοῦτο πῶς; ψυχὴ ἦθα σεῖρα καὶ ἄκαρπος, καὶ μηδὲν τέκνον γεννῶσα ζωῆς ἄξιον, καὶ φωτός; ἀπάρτι ἐν γαστρὶ εὐθέως τὸν φόβον τὸν δεσποτικὸν ἐγκολπώθητι, καὶ Πνεῦμα σωτηρίας σεαυτῷ ἀπογέννησον, καὶ θρέψον τὸ τέκνον, καὶ αὔξησιν τῇ τῆς θείας Τριάδος ὀρθοδοξίᾳ. ἔντε πράξει καὶ θεωρίᾳ τοῦ Πνεύματος, καὶ τοῦτο ἀπόδος τῷ Κυρίῳ ἀνάθημα· καὶ παρ' Ἀγγέλου τοῦ τῆς μεγάλης βουλῆς πρωταγγέλου εὐαγγελίσθητι καὶ αὐτὸς τὰ παράδοξα καὶ θεῖα μυσήρια· κλῖνον τὸ οὖς σου, καὶ πρόσχες, καὶ ἄκουσον θείαν βουλὴν καὶ σωτήριον· ἐπίσησον, ἴδε, κατάμαθε, ὅτι πάντα τὰ ἐν τῷ κόσμῳ παρὰ τῆς πάντων προνοίας γεγεννημένα καρποφορεῖ, τὰ μὲν τῷ Θεῷ, τὰ δὲ τῷ ἀνθρώπῳ, τὰ δ' ἄλλοις κτίσμασι· πότερον οὖν ὀφείλει τινὰ καρπὸν τῷ Θεῷ προσάγειν καὶ ἄνθρωπος, ἢ ἄκαρπος εἶναι, καὶ μάτην γέγονε μόνον; ἀλλὰ τὸ μὲν δεύτερον ἄτοπον, ἵνα μὴ βλάσφημον λέγω· ἀληθὲς ἄρα τὸ πρῶτον, ὅτι καρποφορεῖν ἀεὶ χρεωσεῖ ὡς καὶ τὰ ἄλλα, ἢ μᾶλλον ὑπὲρ πάντα, καὶ διὰ πάντα, ἅτε πάντων ὑπέρτερος τῶν ὁρωμένων αὐτὸς καὶ σοφώτερος, καὶ δι' αὐτὸν εἰς τὸ εἶναι τῶν λοιπῶν παρηγμένων· πρὸς δὲ, διὰ τὸ καρποῦσθαι, καὶ τοὺς τῶν πάντων καρπούς.

Ἔσι δὲ καὶ εἰσφορὰ ἰδία καὶ πρώτη πρὸς Θεὸν τοῦ ἀνθρώπου, ἡ πάντοτε καὶ πρὸς πάντα τὰ θεῖα ἐντάλματα ἑτοίμη ὑπακοή· εἰ γὰρ ἀγαθὸν ἐσὶν οὗ πάντα ἐφίεται, καὶ οὐδεὶς ἀντιλέγει, ἅπαντα δ' ὡς ὁρῶμεν δωροφορεῖ τῷ ἀνθρώπῳ, ὁ οὐρανὸς σκέπει, ὁ ἥλιος φωτίζει τε καὶ θερμαίνει, ὁ ἀὴρ πνοὴν δίδωσι τούτῳ, καὶ χώραν εἰς μετάβασιν ἡ γῆ, καὶ βασάζει, καὶ παρέχει τροφὰς, τὸ ὕδωρ ποτίζει καὶ πλύνει καὶ ψύχει, τὰ

φυτὰ καὶ τὰ ζῶα, τὰ μὲν τρέφει, ἢ ἐξιᾶται, ἢ τέρπει, τὰ δὲ παντοίως ὑπηρετεῖ· ταῦτα δὲ πάντα πρὸς τῆς προνοίας οἰκονομεῖται, ἵνα καὶ ἡμεῖς τὸν ἡμῶν ἐπιςάτην γνωρίσωμεν, καὶ ᾧ δωροφορεῖν ὁσημέραι ὀφείλομεν· τίνα λοιπὸν ἐν ἡμέρᾳ τῆς δίκης ἀπολογίαν εὑρήσομεν, καὶ αὐτῶν τῶν ἀναισθήτων ςοιχείων κατηγορούντων ἡμῶν; ὅτι ἐκεῖνα μὲν τῷ ᾧ ὑποτέτακται, ἐν τοσαύταις ἐτῶν περιόδοις εὐτάκτως πάνυ καὶ ἀπταίςως δεδούλευκεν, ἡμεῖς δὲ καὶ τούτων ἀναισθητότεροι ὤφθημεν, καὶ ἐν ἀκαρπίᾳ πάντα τὸν τῆς ζωῆς ἡμῶν χρόνον ἠνύσαμεν;

Χρὴ μέντοι κἀκεῖνο συνιέναι φιλευσεβῶς, ὅτι ἑνὶ ἑκάςῳ τῶν φυτῶν δέδωκε χάριν, ἰδίως ἕνα μόνον ποιεῖν καρπὸν, καὶ τοῦτον ἅπαξ φέρειν τοῦ ἐνιαυτοῦ, ὁ τῶν καλῶν χορηγός· οἷον τῇ συκῇ σῦκα μόνον, οὐ μὴν καὶ βότρυας· καὶ τῇ ἀμπέλῳ ςαφυλὰς, οὐ μὴν καὶ μῆλα· καὶ ταῦτα κατὰ μίαν τοῦ ἔτους ὥραν, καὶ οὐχὶ πάντοτε, οὐδ᾽ ἀεί· τῷ δὲ βασιλεῖ τῶν φυτῶν, δηλαδὴ τῷ ἀνθρώπῳ, καὶ διαφόρους τοὺς καρποὺς, καὶ καθ᾽ ἑκάςην, ὡς εἰπεῖν, χρονιαίαν ῥοπὴν μυρίους προβάλλεσθαι, κατά τε τὸ σῶμα καὶ κατ᾽ αὐτὴν ἐχαρίσατο τὴν ψυχήν· καὶ γὰρ κατὰ διάπλασιν τοῦ σώματος ἄνθρωπος πρωτότυπον ἐςὶ τῶν φυτῶν, εἰς τὸ τοῦ παντὸς ἄνω, καὶ κατὰ φύσιν, τὸ τοῦ σώματος ἔχων ἄνω, οὐκ εἰς τὸ πλάγιον ὡς τὰ ἄλογα, οὐδ᾽ εἰς τὸ κάτω καθάπερ τὰ φυτά· τούτου ῥίζας μοὶ νόει τὰς τρίχας· ὁλόῤῥιζον ῥίζαν τὴν κεφαλήν· παραφυάδας πολυκάρπους, τὰ ἐν αὐτῇ αἰσθητήρια· ςέλεχος, πᾶν σὺν τῷ τραχήλῳ, τὸ κύτος αὐτό· κλῶνας, καρποὺς καὶ μηρούς· καὶ κλάδους, βραχίονας, καὶ κνήμας· κλαδίσκους, τὰ θέναρα, καὶ πάντας δακτύλους· καὶ φύλλα, τοὺς ὄνυχας. Καὶ δὴ σκόπει ἐν αὐτῷ καὶ τοὺς καρποὺς θεωρῶν, πῶς ὄψιν μὲν δι᾽ ὀμμάτων, ἀκοὴν διὰ τῶν ὤτων, ὄσφρησιν διὰ τῆς ῥινὸς, γεῦσιν διὰ τοῦ ςόματος, καὶ ἁφὴν διὰ τῶν

χειρῶν, καὶ δι' ἄλλων μερῶν τοῦ σώματος ἕτερα, ὥσπερ διά τινων κλάδων ἀναγκαῖα καὶ χρήσιμα καρποφορεῖν χάριν κέκτηται· καὶ σιγῶ λέγειν, γλώττης, καὶ πνεύμονος, καὶ καρδίας, καὶ τῶν ἄλλων μελῶν τὴν καρποφοράν· καὶ παρίημι τὸν τῶν ἀρετῶν κύκλον τῶν ψυχικῶν, ἃς ὥσπερ τινὰ πανσπερμίαν, ἢ ὁλοκάρπωσιν, εἰ προσέχοι, ὁσημέραι προσάγει τῷ πάντων Θεῷ, καὶ σὺν αὐταῖς τὰς ἐκ τῶν ἐντὸς αἰσθήσεων ἀποτελουμένας δυνάμεις τοῦ πνεύματος.

Ὅτι δὲ φυτῷ καρποφόρῳ παρεικάζεται ἄνθρωπος, καὶ ὁ Προφήτης, καὶ ὁ Ἀπόστολος, καὶ ὁ Κύριος μαρτυρεῖ· ὁ μὲν λέγων περὶ τοῦ μακαρίου ἀνθρώπου, „καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν „ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ „τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, καὶ πάντα ὅσα ἂν „ποιῇ κατευοδωθήσεται· ὁ δὲ, ὁ καρπὸς τοῦ Πνεύματος „ἐστὶν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, „ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια· ὁ δὲ, ἀπὸ „τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· μήτι συλλέγουσιν „ἀπὸ ἀκανθῶν σταφυλήν; ἢ ἀπὸ τριβόλων σῦκα; „οὕτω πᾶν δένδρον ἀγαθὸν, καρποὺς καλοὺς ποιεῖ, τὸ δὲ „σαπρὸν δένδρον, καρποὺς πονηροὺς ποιεῖ· οὐ δύναται δένδρον „ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν, „καρποὺς καλοὺς ποιεῖ· πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν „ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται· ἄραγε ἀπὸ „τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· ὥστε κατὰ τρόπον „πολύκαρπον δένδρον τῷ ὄντι ὁ ἄνθρωπος. Ἀλλὰ τοῦτο τὸ μέγα καὶ πάμφορον δένδρον, ὅταν ἀποσπασθῇ ὅθεν ἔχει τὸ εἶναι, Θεοῦ τοῦ φυτουργήσαντος αὐτὸ δηλαδὴ, οὐ ξηραίνεται μόνον καθάπερ τὰ φύσει φυτὰ, ἀλλὰ καὶ εἰς πῦρ ἐμβάλλεται ἄσβεστον, ὡς ἀντὶ μὲν νεύσεως δικαίας περίεργον βλέμμα βλαστῆσαν, καὶ παρακοὴν ἀνθ' ὑπακοῆς ἤδη καρποφορῆσαν· τῇ τε ὀσφρήσει θελχθὲν, καὶ τῇ γεύσει μιανθὲν, καὶ τῇ

ἀφῇ

ἀφῇ μαλακισθὲν, ψεῦδος ἀντ' ἀληθείας, ἁρπαγὴν ἀντ' ἐλεημοσύνης, καὶ ἀντὶ σωφροσύνης ὁρμὰς ἀκολάστους προσενεγκόν· οὕς τινας δὴ καρποὺς, μᾶλλον δὲ σαπρίας, πάσῃ δυνάμει ἀποβαλώμεθα, οἱ θέλοντες τὴν γέενναν ἐκφυγεῖν· ἀντὶ δὲ τούτων, ταπείνωσιν, δακρύων ἐκχύσεις, θείων λογίων ἀκροάσεις, πραότητα, ἐγκράτειαν, ἐλεημοσύνην καὶ ἁγνίαν καρποφορήσωμεν, ἵνα δι' αὐτῶν καὶ τῆς οὐρανῶν βασιλείας κληρονόμοι γενώμεθα· ἧς γένοιτο πάντας ἡμᾶς τυχεῖν ταῖς τῆς Θεοτόκου λιταῖς. Ἀμήν.

# ΛΟΓΟΣ Β.

## ΕΙΣ ΤΗΝ ΣΤΑΥΡΩΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

Εἴρηται δὲ τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ, ἐν τῷ Παλατίῳ τῆς βασιλίδος τῶν πόλεων, συνελθόντων ἀπείρων, καὶ διὰ τοῦτο λαληθεὶς τεχνικώτερον.

Τάδε ἔνεστιν ἐν τούτῳ τῷ εἰς τὴν ΣΤΑΥΡΩΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΛΟΓΩ.

ΚΕΦ. Α΄. Ὅτι φρικωδεστέρα ἐστὶ πασῶν τῶν ἀπ᾽ ἀρχῆς καὶ ἕως αἰῶνος ἡμερῶν, ἡ ἁγία καὶ μεγάλη Παρασκευή.

ΚΕΦ. Β΄. Ὅτι ἔπλατινα ἐχρῆν προηγήσασθαι, πρὸς πίστωσιν τῆς τοῦ Θεοῦ Λόγου ἐνσάρκου οἰκονομίας.

ΚΕΦ. Γ΄. Ὅτι καὶ δι᾽ ἔπλα τινὰς αἰτίας ἀπαραιτήτους σάρκα εἴληφε, καὶ πάθος ἐν ταύτῃ ὑπέστη ὁ ἀπαθής.

ΚΕΦ. Δ΄. Ὅτι ἐδόξασε μᾶλλον τὸ πάθος καὶ ἐμεγάλυνε τοῦτον, οὐ μὴν ἐσμίκρυνε καὶ καθύβρισε.

ΚΕΦ. Ε΄. Ὅτι οὐδεμιᾷ ἀνάγκῃ τυραννηθεὶς ἐνηνθρώπησε καὶ πέπονθε, μόνῃ δὲ τῇ οἴκοθεν ἀγαθότητι.

ΚΕΦ. Ϛ΄. Ὅτι ἐχρῆν αὐτὸν μὴ μεθ᾽ ἑτέρων, μετὰ δὲ τοιούτων καὶ τοσούτων παθῶν θεραπεῦσαι τὸν ἄνθρωπον.

ΚΕΦ. Ζ΄. Ὅτι οὐκ ἂν ἐπιστεύθη τέλειος ἄνθρωπος εἶναι καὶ Θεὸς ἀληθινὸς, εἰ μὴ οὕτω τὰ περὶ τὸ αὐτοῦ πάθος πέπρακτο.

ΗΘΙΚΟΝ, περὶ τοῦ ὅτι δεῖ ἀνεξικακεῖν, καὶ μᾶλλον τοῖς ὑπὸ χεῖρα, μεμνημένους ἡμᾶς τῆς ἐπιτελευταίου τοῦ Δεσπότου φωνῆς.

---

Θεὸν ψυχὴ ἔχουσα καὶ ποιητὴν καὶ λυτρωτὴν καὶ σωτῆρα, ψυχὴ χριστιανικὴ, ψυχὴ τοῦ βαρέως ἀναστᾶθεῖσα θανάτου, ψυχὴ τῆς κακοδαίμονος λυτρωθεῖσα δουλείας, ψυχὴ τῶν τῇδε πάντων ξένη, ψυχὴ τιμίῳ αἵματι ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ ἐξαγορασθεῖσα, ψυχὴ ὑπὲρ ἧς τὴν ἑαυτοῦ ψυχὴν ἔθηκεν ὁ ποιμὴν ὁ καλὸς, ἔπαρόν σου τὸ ὄμμα εἰς τὸν ποιήσαντα, ἀνάνηψον, ἴδε τὸν σὸν λυτρωτὴν, ἐπίγνωθι τὸν ῥυσάμενον, ἀγάπησον τὸν Σωτῆρα, κτῆσαι συνείδησιν ἀκατάγνωστον, ἀπόνιψαι τὴν ἀγνωμοσύνην, ἀπόθου τὴν πώρωσιν, φύγε τὴν λήθην, ἀπόδυσαι τὴν ἀχαριστίαν, ἐλθὲ εἰς συναίσθησιν τοῦ Δεσπότου, σύνες τὸν κτίσαντα, τὸν εὐεργέτην αἰδέσθητι, ἄμειψαι τὸν πλουσιοδότην, καὶ τὸν σὲ δοξάσαντα δόξασον. Τί τοῖς μὴ οὖσι προστέτηκας; τί ἐπτόησαι περὶ τὰ φθειρόμενα; τί χαίρεις ἐπὶ τοῖς ματαίοις; τί ἀσχολῇ πρὸς τὰ ῥέοντα; τίσε συναρπάζουσιν αἱ φαντασίαι; τί ἐπαγάλλῃ εἰς ἃ μέλλεις ὅσον οὔπω καταλιπεῖν, καὶ ὧν τῆς θέας στερηθήσῃ εἰς τοὺς αἰῶνας; ἕως πότε ὀφθαλμῶν ἐξαπάτη, ἡδονῶν θέλγητρα, φροντίδες εἰκαῖαι, ἔννοιαι οὐ καλαὶ, καὶ διάκενοι δόξαι, τῆς θεωρίας τοῦ ἀκροτάτου τῶν ἐφετῶν διϊστῶσί σε; ἀλλ᾽ ἄγε δὴ δεῦρο, ἕως νῦν ἔχεις καὶ λόγον καὶ ἰσχὺν, κατανοοῦσα τίς ἦσθα πρὸ τοῦ, τίς νῦν ὑπάρχεις, τί μετ᾽ ὀλίγον ἔσῃ, πόθεν καὶ παρὰ τίνος εἰς τόνδε τὸν κόσμον ἦλθες, πῶς εἰς τοῦτον διάγεις τὸν βίον, καὶ πῇ καταντήσει τὰ κατὰ σὲ, διάγγελε τὰ τοῦ Κυρίου θαυμάσια, τὴν περὶ σὲ τοῦ κτίσου φιλανθρωπίαν ἐκδιηγοῦ,

καὶ

καὶ κήρυττε πᾶσιν ἀναφανδὸν τὰ πλούσια τούτου ἐλέη, ὅσα σοι πάλαι πεποίηκε, καὶ εἰσέτι ποιεῖ, καὶ οὔποτε παύσεται ποιῶν.

Ἦν ὅτε ἤμην οὐδέν· τοῦ δὲ μηδενὸς τί ἂν εἴη μηδαμηνέστερον; εἶτα κονιορτοῦ ληφθέντος ἐκ γῆς, τὸ πήλινόν μοι τόδε σαρκίον διήρθρωται πρὸς τοῦ πλαστουργοῦ, ὅπως ὕλην χοῦν τὴν Μητέρα, καὶ πηλὸν τὸν Πατέρα, καὶ τὸν προπάτορα χοῦν, φρονῶ ταπεινά, καὶ μὴ μάτην ἐπαίρωμαι· ὡς ἂν δὲ μὴ γήϊνος μόνον, ἀλλὰ καὶ οὐράνιος ὤν, ἐκ τοῦ κυριωτέρου καὶ κρείττονος μέρους, Θεοῦ ἐφίεμαι, Θεῷ ἐγγίζω, καὶ Θεὸν ὁρῶν Θεὸς μεθέξει γίνωμαι, καὶ ψυχὴν ἔλαβον νοεράν, καὶ τῆς τρυφῆς τὸ χωρίον εἰς ἐνδιαίτημα ἔλαχον· ἀλλ᾽ ὁ βάσκανος ὄφις ἠπάτησέ με δολίως, ἰσοθείας δελέατι· ἡψάμην πρὸ τῆς ὥρας τοῦ τῆς γνώσεως ξύλου, ἐγυμνώθην αὐτίκα, κατῃχιώθην, ἐνεκρώθην, ἀπόλωλα, καὶ ἵν᾽ ἐπιτόμως ἐρῶ τὰ ἑξῆς, ὁ τὴν ἰσοθείαν ἄρτι φαντασθεὶς ἄνθρωπος, οἴμοι! καὶ τὸ ἄνθρωπος εἶναι ἀπώλεσα· καὶ τὸ αἶσχος μὴ φέρων ἐκρύβην, καὶ τῆς Ἐδὲμ ἐξωρίσθην, καὶ τοῦ Θεοῦ ἐμακρεώθην, καὶ τοῖς πάθεσιν ὑπετάγην, καὶ τοῖς δαίμοσιν ἐδουλώθην, καὶ παρασυνεβλήθην τοῖς ἀνοήτοις κτήνεσιν· εἶτα τῆς τοῦ θανάτου ῥύμης ἐπικρατούσης, καὶ ὁσημέραι τῶν κακῶν μοι πληθυνομένων, εἰς τοσοῦτον ἀφῖγμαι ταλαιπωρίας, ὅτι προσώζεσα ὅλος ταῖς ἁμαρτίαις, καὶ κατεσάπην, καὶ ἐβδελύχθην ὡς σκώληξ δυσειδής, καὶ ἔτι σκώληκος οἰκτροῦ βδελυκτότερον· ἀμέλει καθάπερ τὶς κύων ῥυπαρός, τραυματίας καὶ ψωραλέος, φθάσας θανεῖν ἐν ἀμφόδῳ, εἶτα κἀκεῖθεν εἰς τάφρον ἀπορριφείς, καὶ τῷ χρόνῳ τῇ σήψει τὰ σπλάγχνα διαλυθείς, ἐξωδηκώς, καὶ ὀδωδὼς ὅλος, καὶ βρύων μυρίους τοὺς σκώληκας, οὕτω καὶ αὐτὸς καθάρματος δίκην τοῦ περιγείου τοῦδε κόσμου παρασυρεὶς εἰς πέταυρον ᾅδου, ὑπὸ δαιμόνων ἀπέρριμμαι, μηδεμίαν ἔχων ἐλπίδα λοιπὸν τῆς ἐκεῖθεν ἀπαλλαγῆς· ἀλλ᾽ οὕτω δυστήνως καὶ ἀθλιώτατά μοι κειμένῳ, ἐπὶ πεντακόσια καὶ πεντάκις χίλια ἔτη καὶ πρός, μόνος ἠλέησάς με

σάς με ὁ ἐλεήμων, πρὸς τῆς ἐμφύτου σου κινηθεὶς ἀγαθότητος, καὶ ὁ ταῖς ἄνω δυνάμεσιν ἀθεώρητος ὢν, σαυτὸν ἀῤῥήτως κενώσας πρὸς με κατῆλθες δι᾽ ἐμὲ, πρὸς τὸν εἰς τὰ κατώτερα μέρη τῆς γῆς ἐῤῥιμμένον ὁ ὑπὲρ ἄνω πάσης ἀρχῆς, πρὸς τὸν ἐν σκότει βαθὺ κείμενον ὁ ἀνατέλλων τὸ φῶς, πρὸς τὸν δέσμιον ὁ ἐλεύθερος, πρὸς τὸν αἰχμάλωτον ὁ ῥύστης, πρὸς τὸν τραυματίαν ὁ ἰατρὸς, πρὸς τὸν νεκρὸν ὁ ἀθάνατος, καὶ πρὸς τὸν φθαρέντα ὁ ἀναλλοίωτος· καὶ τὴν βδελυγμίαν εὐθὺς, καὶ τὴν ὀζωδίαν, καὶ τὴν ἀσθένειαν πᾶσαν, τήν τε ζοφώδη μου καὶ χρόνιον κάθειρξιν, καὶ τὴν νέκρωσιν τέλεον ἀφανίσας τῇ παρουσίᾳ ἐζώωσας, ἀνέστησας, ἐφώτισας, ἐμύρισας, ἐκάλλυνας, ἐκόσμησας, ἐτίμησας, ἐδόξασας, ἡγίασας, εἰς τὴν Ἐδὲμ ἐπανήγαγες, εἰς οὐρανοὺς ἀνεβίβασας, καὶ Θεοῦ υἱοθεσίᾳ φαιδρύνας ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης τῷ σῷ Πατρὶ πάρεδρόν με πεποίηκας. Ὦ τίς λαλήσει τὰς δυναστείας σου Κύριε! Ὦ τίς ἀκουστὰ ποιήσει σου τὰ θαυμάσια! Ὦ τίς διηγήσεται τὰ περὶ ἐμέ σου φρικτὰ καὶ ξένα μυστήρια! ἐθαυμαστώθη πάντα, ἐκραταιώθη, ὑπέρκειται λόγου παντός· καὶ ὥσπερ ἀνεξερεύνητά σου τὰ κρίματα, ἀνεξιχνίαστοι αἱ ὁδοὶ, καὶ ἀπόῤῥητοι αἱ πορεῖαι, οὕτως αἱ πρὸς ἐμέ σου εὐεργεσίαι ἀμέτρητοι, ἀπέραντα τὰ πελάγη τῶν δωρεῶν, καὶ τῶν χαρίτων ἡ ἄβυσσος ἄπειρος.

Σὺ ἐπὶ γῆς δι᾽ ἐμὲ, καὶ σὰρξ δι᾽ ἐμὲ, καὶ ποιμὴν δι᾽ ἐμὲ, καὶ ἀμνὸς δι᾽ ἐμέ· σὺ καὶ πένης δι᾽ ἐμὲ, καὶ ἀλήτης δι᾽ ἐμὲ, ἐπὶ σταυροῦ δι᾽ ἐμὲ, ἐπὶ τάφου δι᾽ ἐμὲ, καὶ ἐν τοῖς νεκροῖς δι᾽ ἐμέ· κάτω δι᾽ ἐμὲ πρεσβευτὴς παρὰ τοῦ Πατρὸς, καὶ ἄνω πρὸς τὸν Πατέρα παράκλητος δι᾽ ἐμέ· πάντα μοι σὺ, καὶ πλάστης, καὶ κηδεμὼν, καὶ σωτὴρ, καὶ πατὴρ, καὶ ἀδελφὸς, καὶ φίλος, καὶ μέλος, καὶ εἰρήνη, καὶ δρόσος, καὶ γλύκασμα, καὶ φῶς, καὶ χαρὰ, καὶ ζωὴ, καὶ πᾶν ἀγαθὸν καὶ καλόν. Ὧν ἕνεκα Δέσποτα καὶ Κύριε πάντων ἐν συναισθήσει ψυχῆς μετ᾽ ἐπιγνώσεως ἀληθοῦς τὴν συναΐδιον τῷ τε Πατρὶ καὶ τῷ Πνεύματι

Θεότη-

Θεότητά σου ὑμνῶ· ὁμολογῶ σου τὴν πρός με φιλάνθρωπον ἀγαθότητα, πιστεύω τὴν ἔνσαρκόν σου πᾶσαν οἰκονομίαν, θαυμάζω τὰ θαύματα, μεγαλύνω τὰ μεγαλεῖα, ἐξαγγέλλω τὰς χάριτας, διειμι τὰς εὐεργεσίας, προσκυνῶ σου τὰ πάθη, περιπλύσομαι τὸν Σταυρὸν, δοξάζω καὶ τὴν ἀνάστασιν· καὶ ὑπὲρ τῶνδε πάντων, καὶ ὧν οὐκ ἴσμεν ἀπείρων σου δωρεῶν, εὐχαριστῶ, προσκυνῶ, δοξολογῶ, καὶ λέγω πάντων ἕνεκα, δόξα σοι μονογενὲς Υἱὲ τοῦ Θεοῦ· πρὸς δὲ τούτων μικρὰν ἀμοιβὴν, ἐμὲ, καὶ πάντα τἀμὰ σοὶ προσάγων τῷ κτίστῃ μου, ἐπὶ πᾶσιν ἀντιβολῶ, ἐπεί με σὺ μόνος ἐκ γῆς μορφώσας ἐζώωσας, σύ μοι μόνος λόγον ἐγκατέσπειρας, σύ μοι ψυχὴν τέθεικας καὶ νοῦν, μὴ ἄλλος τίς με κερδήσῃ τῶν σῶν χειρῶν τὸ πλαστούργημα, μὴ ᾅδης, μὴ τὸ σκότος, μὴ τὸ πῦρ τῆς γεέννης, ἀλλὰ σύ με Χριστὲ μόνον κέρδησον, ὅτι τῆς ἀγάπης σου πάντῃ, εἰ καὶ παραβέβηκα τὰ σὰ προστάγματα, οὐκ οὖν ἐχωρίσθην, ἀλλ' ἐρῶ σου, καὶ κόπτομαι, καὶ θρηνῶ τὸν ἀπὸ τῆς δόξης σου χωρισμόν. Ὢ τῆς ζημίας! Ὢ τοῦ φθόνου! ὦ Χριστέ μου γλυκύτατον ὄνομα, πῶς ἐγγύς σου γενοίμην; πῶς σὲ τὸν ποθούμενον ζητῶν ἂν εὕροιμι; πόσοις δὲ δακρύοις, ἱλαροῦ σου τοῦ ὄμματος τύχοιμι; τίσι δὲ καὶ χρήσομαι βοηθοῖς καὶ μεσίταις πρὸς σέ; Ὅμως τί ταῦτα λέγω; ὅπου τῶν ἀπ' αἰῶνος ἁπάντων τὰ πταίσματα, πρὸς τὸ τῆς σῆς φιλανθρωπίας ἀπέραντον πέλαγος ῥανίδος πολλοστημόριον εἴκασαι;

Ἀλλὰ προέφθασεν, Ἄρχοντες, ἡ ἀρχὴ τὰ τοῦ τέλους, καὶ τὸν αὐτοῦ σκοπὸν ὁ λόγος ἐπιτόμως ἐδήλωσε, καὶ τὰ τοῦ ἐπιλόγου τὸ προοίμιον συνεπέρανε· διὸ τῶν πολλῶν χάριν, καὶ τοῦ σαφοῦς, μικρὸν ἄνωθεν αὖθις ἀρκτέον. Ἔστω δὲ ἡμῖν καὶ τὰ τοῦ λόγου Κεφάλαια τοῦ δὲ διὰ τὸ εὔληπτον γνώριμα· εἰσὶ δὲ πάντα ἑπτά. Πρῶτον, ὅτι φρικωδεστέρα ἐστὶ πασῶν τῶν ἀπ' ἀρχῆς καὶ ἕως αἰῶνος ἡμερῶν, ἡ ἁγία καὶ μεγάλη Παρασκευή. Δεύτερον, ὅτι ἑπτά τινα ἐχρῆν προηγήσασθαι, πρὸς πίστωσιν ταύτης τῆς τοῦ Θεοῦ Λόγου οἰκονομίας. Τρίτον, ὅτι καὶ δι'

ἐπὶ τινας ἀπαραιτήτους αἰτίας, καὶ σάρκα εἴληφε, καὶ πάθος ὑπέστη ἐν ταύτῃ ὁ ἀπαθής. Τέταρτον, ὅτι ἐδόξασε καὶ ἐμεγάλυνε μᾶλλον τὸ πάθος αὐτὸν, οὐμὴν ἐσμίκρυνε καὶ καθύβρισε. Πέμπτον, ὅτι μόνῃ τῇ οἴκοθεν ἀγαθότητι ἐνηνθρώπησέ τε καὶ πέπονθεν, οὐδεμιᾷ δὲ ἀνάγκῃ τυραννηθείς. Ἕκτον, ὅτι ἐχρῆν αὐτὸν μὴ μεθ' ἑτέρων, μετὰ δὲ τοιούτων καὶ τοσούτων παθῶν θεραπεῦσαι τὸν ἄνθρωπον. Καὶ πρός γε τούτοις Ἕβδομον, ὅτι οὐκ ἂν Θεὸς τέλειος ἐπιστεύθη καὶ τέλειος ἄνθρωπος εἶναι, εἰ μὴ οὕτω τὰ περὶ τὸ αὐτοῦ πάθος πέπρακτο.

## ΚΕΦΑΛΑΙΟΝ Α'.

Καὶ δὴ λέγομεν, ὅτι μὲν φρικωδεστέρα ἡ τοῦ σωτηρίου πάθους ἡμέρα τῶν ἡμερῶν τοῦ προσκαίρου αἰῶνος, δι' ὅλης τῆς παρελθούσης νυκτὸς, καὶ τῆς ἐνεστώσης ταύτης ἡμέρας, παρὰ τῶν θείων Εὐαγγελίων τοῦτο μέγα διαβεβόηται. Καθάπερ γὰρ ἑορτῶν ἑορτὴ, καὶ βασιλὶς πανηγύρεων, ἡ κυριώνυμος ἐστὶ διὰ τὴν ἀνάστασιν, οὕτω καὶ αὕτη διὰ τὸ πάθος αὐτοῦ τοῦ πάντων Δεσπότου φρικωδεστέρα πασῶν· καὶ ὡς ἂν τὸ μεγαλεῖον ταύτης συντόμως ἐρῶ, μέγα καὶ κάλλιστον μὲν τοῦ Θεοῦ ἡμῶν ἔργον, ὁ ὁρώμενος οὑτοσὶ κόσμος, καὶ ὁ ὑπὲρ τοῦτον ἀόρατος· καὶ πῶς γὰρ οὔ; καὶ ὁ δι' ὃν τὸ πᾶν τόδε συνέστη καὶ ἵσταται, τὸ λογικὸν τουτὶ ζῶον ὁ ἄνθρωπος· καὶ τὴν τοῦ Θεοῦ μεγαλειότητα διαπρυσίως ταῦτα κηρύττουσιν· ἀλλὰ τὸ ὄντως μέγα καὶ ξένον, καὶ πάντα νοῦν ὑπερέχον θειότατον ἔργον, ἡ ἔνσαρκος τοῦ Θεοῦ Λόγου οἰκονομία ἐστὶ, καὶ αὐτῆς ταύτης πάλιν, τῆς ἐπὶ γῆς αὐτοῦ πάσης διατριβῆς, τὸ ἑκούσιον πάθος ὑπάρχει, ὃ τετέλεσται σήμερον· καὶ τοῦτο οὐ λόγος, αὐτὰ δὲ κηρύττει τὰ πράγματα, σάλπιγγος λαμπροτέραν ὥσπερ ἐπαφιέντα φωνήν· καὶ γὰρ τὸ πάσης κτίσεως κατ' ἐξοχὴν ὑπεράξιον αἷμα, τὸ πάντα τὸν κόσμον ἐξαγοράσαν, χυθὲν παραδόξως ὑπὲρ ἡμῶν, καὶ τὸν παράδεισον ἀνεωχθέντα ἡμῖν, αὕτη τεθέαται ἡ ἡμέρα· καὶ ἐν αὐτῇ ἔδυ μὲν ἀφ' ἡμῶν, κατὰ

τὸ ἀνθρώπινον, τὸ μέγα καὶ ἄδυτον φῶς, ἀνέτειλε δὲ μετὰ τῆς ψυχῆς, τοῖς ἀπ' αἰῶνος ἐν σκιᾷ καθημένοις θανάτου πατράσιν ἡμῶν· καὶ ὥσπερ ἡμῖν τοῖς ἐπὶ γῆς ἡ ἔνσαρκος αὐτοῦ παρουσία θεογνωσίαν, καὶ τοῖς Ἀγγέλοις ὕστερον ἀτρεψίαν ἡ εἰς οὐρανοὺς μετὰ τοῦ προσλήμματος ἀποκατάστασις ἐχαρίσατο, οὕτω σήμερον ἐλευθερίαν ταῖς ἐν ᾅδου κατεχομέναις ψυχαῖς ἡ ἐκεῖσε κάθοδος αὐτοῦ ἐδωρήσατο. Ἐπεὶ οὖν οὕτως ἐξαίρετος αὕτη, καὶ τὸ πάθος τοῦ ὑπὲρ ἡμῶν παθόντος φρικτὸν, ἄγε δὴ σκοπήσωμεν καὶ ἡμεῖς, ὅσον ἡμῖν ἐφικτὸν, τὰ ἔργα τῆς ἐκείνου οἰκονομίας, τὸν σκοπὸν τῆς αὐτοῦ παρουσίας, καὶ τὰ σήμερον παρ' αὐτοῦ τελεσθέντα· καὶ δοξάσωμεν, ἐννοίαις, λόγοις, καὶ πράξεσι, τὸν δι' ἡμᾶς οἰκονομικῶς ταῦτα καταδεξάμενον· καί μοι σκοπεῖτε τὸν νοῦν.

## ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἑπτά τινα ἦσαν ἀναγκαιότατα, ἐν τῇ ἐπὶ γῆς τοῦ Θεοῦ Λόγου ἐνσάρκῳ πορείᾳ γενέσθαι, ὥστε τοῦτον Θεὸν καὶ ἄνθρωπον γνωρισθῆναι· ἅπερ δὴ πάντα καὶ γέγονε τῇ τούτου χάριτι ἐναργῶς. Πρῶτον, προκήρυξις τοῦ μέλλοντος, ὅτι ἔρχεσθαι μέλλει, καὶ οὕτω παθεῖν. Δεύτερον, ὅτι ἐναλλαγὴ καὶ νίκη τῆς φυσικῆς τάξεως ἐν αὐτῷ. Τρίτον, τὸ πάντα αὐτὸν ἀμέμπτως τὰ ἀδιάβλητα πάθη ὑποστῆναι, ἅτε τέλειον ἄνθρωπον. Τέταρτον, πάντα τὰ τοῦ νόμου πληρῶσαι ἐντάλματα. Πέμπτον, ὅσα ἂν εἶπε προστάγματι, ἢ προῤῥήσει, ἀπαραβάτως γενέσθαι. Ἕκτον, μαρτυρηθῆναι πρὸς τοῦ Θεοῦ. Καὶ Ἕβδομον, τὸ καὶ ὡς Θεὸν αὐτὸν καὶ Δεσπότην ἐπιγνωσθῆναι παρὰ πάσης τῆς κτίσεως· καὶ πάντα μάλα εἰκότως, εἴποι πᾶς ὁστισοῦν. Εἰ γὰρ μὴ προκεκήρυκτο ἀριδήλως ἡ ἔλευσις αὐτοῦ καὶ τὸ πάθος, ἐλθὼν καὶ παθὼν, ἴσως ἔλαθεν ἄν· μᾶλλον δὲ πάντη καὶ πάντως μηδεὶς αὐτὸν προσδεχόμενος, οὐδεὶς τοῦτον ἐλθόντα ἐν δούλου μορφῇ ἐπέγνω Θεόν· καὶ εἰ κατὰ φύσιν ἀπαραλλάκτως ἡμῖν, καὶ γεγέννητο, καὶ ἔζη, καὶ ἔθνησκεν, οὐκ ἂν ἡ ἔλευσις

 αὐτοῦ,

αὐτοῦ, οὔσα Θεοῦ παρουσία τισὶν ἐνόμιστο. Δεῖ δὲ τῶν θείων πραγμάτων παραδόξους εἶναι καὶ τὰς ἀρχὰς, καὶ τὰ μέσα, καὶ τὰ τέλη αὐτῶν, καὶ καινοτόμα, καὶ νικητικὰ φύσεως ἅπαντα· καὶ εἰ μὴ κατεδέξατο τὰ ἀνθρώπινα πάντα ὡς ἄνθρωπος πάθη, φαντασίᾳ ἔδοξεν ἐλθεῖν, ἀλλ' οὐκ ἀληθείᾳ· καὶ εἰ μὴ πάντα τὰ τοῦ νόμου ἐπλήρωσεν, ἢ ἁμαρτωλὸς πάντως, ἢ παραβάτης τῶν ἐντολῶν, ἢ ἀντίθεος ἄντικρυς τοῖς ἐγκαθέτοις ἐκρίνετο· καὶ εἰ μὴ ὅσα εἶπε γεγόνασι, φιλενδείκτης καὶ ψεύστης ἐδείκνυτο· καὶ εἰ μὴ πρὸς αὐτοῦ τοῦ Θεοῦ μεμαρτύρητο, μάγος καὶ πλάνος τοῖς αἱρετικοῖς καὶ ἀπίστοις ὑπενοεῖτο μετέπειτα· καὶ εἰ μὴ πᾶσα αὐτὸν ἡ κτίσις ἐπέγνω Θεὸν, ἡ παρουσία αὐτοῦ περιττὴ, καὶ εἰς κενὸν γεγενῆσθαι τοῖς πολλοῖς ἐλελόγιστο.

Διάτοι τοῦτο, μᾶλλον δὲ τούτων ἕνεκα πάντων, προκεκήρυκτο μὲν ἡ ἔλευσις αὐτοῦ πρὸς πάντων τῶν Προφητῶν λεγόντων „ αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς· οὐ πρέσβυς, „ οὐδ' ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος· προκεκήρυκτο δὲ ἐξ ἀρχῆς ἄχρι τέλους, ὡς ἄρα γενέσθαι προώριστο καὶ τὸ πάθος αὐτοῦ, καὶ τὰ εἴδη τοῦ πάθους αὐτοῦ, καθὼς παρὰ τῶν ἁγίων Γραφῶν πολυτρόπως ἠκούσατε σήμερον. Ἐκαινοτόμησε δὲ καὶ τὰς φύσεις ἐλθὼν, μάλα θεοπρεπῶς· ἄνευ γὰρ σπέρματος συνελήφθη, ἄνευ ὠδίνων ἐτέχθη, παρθένον τὴν Μητέρα, καὶ ἐν τῷ τίκτειν αὐτὸν, καὶ πρὸ τοῦ, καὶ μετὰ τὸν τόκον ἐφύλαξε· καὶ ἑκουσίως ὥσπερ καὶ παρεδόθη, οὕτω δὴ καὶ πέπονθε, καὶ τέθνηκε, καὶ αἷμα καὶ ὕδωρ ζῶν ἐκ τῆς πλευρᾶς ἐπήγασε μετὰ θάνατον· καὶ πάντα δὲ ἡμῖν ὁμοίως τὰ ἀδιάβλητα ὑπέμεινε πάθη, πεινάσας, διψήσας, ὑπνώσας, κοπιάσας, ἱδρώσας, δακρύσας, ἀγωνιάσας, πονέσας, καὶ τὰ τοιαῦτα, ἵνα τὴν ἀνθρωπίνην φύσιν πιστώσηται. Ἐτέλεσε μὴν καὶ τὰ τοῦ νόμου πάντα πληρεστάτως προστάγματα, ὡς ἂν μὴ ἐναντίος δόξῃ τῷ Θεῷ καὶ Πατρὶ, περιτμηθεὶς, νηστεύσας, βαπτισθεὶς, σαββατίσας, τὸ πάσχα φαγὼν, καὶ τἄλλα πληρώσας, ἵνα μὴ λέγω καθ' ἕκαστον,

ἕκαστον. Καὶ μέντοι ὅσα προσέταξεν, ἢ προεῖπε γενέσθαι, ἔργον ὁ λόγος ἐγένετο· ἐπέταξε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, τοῖς τε δαίμοσι καὶ πᾶσι τοῖς πάθεσι, καὶ τῆς φωνῆς αὐτοῦ ὀξυτέρα ἡ ἐνέργεια γέγονε· προεῖπε κηρυχθῆναι τὸ Εὐαγγέλιον αὐτοῦ πάσῃ τῇ κτίσει, πύλας ᾅδου τῆς Ἐκκλησίας μὴ κατισχύσειν, σημεῖα τοῖς πιστεύσασιν ἐπακολουθήσειν, τὸ τῆς πόρνης εἰς αὐτὸν διὰ τῆς ἐκχύσεως τοῦ μύρου φιλότιμον πανταχοῦ λαληθῆναι, τὸ Πνεῦμα τὸ ἅγιον ἐπιφοιτῆσαι τῇ οἰκουμένῃ, τὰ Ἱεροσόλυμα ἁλῶναι, καὶ λίθον ἐν τούτοις ἐπὶ λίθῳ μὴ ἀφεθῆναι, καὶ ἄλλα μυρία· καὶ πάντα γέγονε προδηλότατα. Μεμαρτύρηται πρὸς τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ παρὰ τοῦ συμφυοῦς Πνεύματος προφανέστατα Υἱὸς εἶναι Θεοῦ, καὶ Υἱὸς μονογενὴς, καὶ εὐδοκεῖν ἐν αὐτῷ τὸν Πατέρα, καὶ ἀκούειν αὐτοῦ ὡς Θεοῦ προσετάγημεν ἄνθρωποι, τοῦ μὲν ἀμέσως καὶ δι᾽ ἑαυτοῦ λέγοντος πρὸς ἡμᾶς „ οὗτός ἐστιν ὁ "
Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε· τοῦ δὲ "
πάντων ὁρώντων καταβάντος, καὶ μείναντος ἐπ᾽ αὐτὸν, ἐπὶ μαρτυρίᾳ ἀναντιῤῥήτῳ· ὡς ἂν καὶ δι᾽ ὄψεως, καὶ δι᾽ ἀκοῆς, ἐκ Θεοῦ πιστωθῶμεν αὐτοῦ τὴν Θεότητα. Ἐπὶ πᾶσι τούτοις, ἐπεὶ καὶ παρὰ πάσης τῆς κτίσεως ἐχρῆν τοῦτον καὶ ἐπιγνωσθῆναι ὡς Θεὸν, καὶ ἐπιμαρτυρηθῆναι ὡς Δεσπότην ταύτης καὶ Κύριον, πολυτρόπως ἐπράχθη καὶ τοῦτο λοιπόν· εἰ γὰρ καὶ μετὰ εὐτελοῦς σχήματος καὶ ταπεινοῦ ἐφάνη, ἀλλ᾽ ὅμως καὶ οὕτως ἡ κτίσις τὸν Δεσπότην ἐπέγνω τὸν ἑαυτῆς· ἀστὴρ μὲν ἀπ᾽ οὐρανοῦ μάγους καλῶν αὐτὸν προσκυνήσοντας· Ἀγγέλων δὲ ὄχλος πολὺς πανταχοῦ κεχυμένος τὸν Δεσπότην περιεπόντων καὶ ἀνυμνούντων αὐτόν· καὶ ἕτεροι δὲ ἐξαπίνης ἀνεφύοντο κήρυκες, καὶ ἀλλήλους ἀπαντῶντες εὐηγγελίζοντο τὸ ἀπόῤῥητον τοῦτο μυστήριον· τοὺς μὲν ποιμένας οἱ Ἄγγελοι, τοὺς δὲ τῆς πόλεως οἱ ποιμένες· καὶ τὴν Μαρίαν ὁ Γαβριὴλ, ἄλλοθι καὶ τὸν Ἰωσὴφ, καὶ τὴν Ἐλισάβετ. Ἔτι δὲ, καὶ εἰς τὸ Ἱερὸν παραγενόμενοι ἡ Ἄννα μετὰ τοῦ Συμεών· οὐκ ἄνδρες δὲ καὶ γυναῖκες μόνον ὑπὸ τῆς ἡδονῆς ἐπτερώθησαν, ἀλλὰ καὶ τὸ μηδέπω βρέφος εἰς φῶς ἐξελθὸν ὁ

Ἰωάννης ἐσκίρτησεν ἐν τῇ νηδύϊ τῆς μητρὸς ὢν ἔτι· καὶ πάντες μετέωροι ταῖς ἐλπίσι πρὸς τὰ μέλλοντα ἦσαν· καὶ ταῦτα μὲν περὶ τὸν τόκον εὐθέως.

Ὅτε δὲ ἐπὶ πλέον ἑαυτὸν ἐξέφηνε, πάλιν ἕτερα θαύματα, τῶν προτέρων ἐφαίνετο μείζονα, καὶ πάντα πάντοθεν ἐβόα, ὅτι ὁ βασιλεὺς τῶν ἐρανῶν παραγέγονεν· ὅ, τε γὰρ Πρόδρομος τῦτον ἀνεκήρυττε τοῖς λαοῖς παῤῥησίᾳ, οἵτε τῆς οἰκεμένης παρ᾽ αὐτῦ ἠθροίζοντο κήρυκες· καὶ πάσης ἀῤῥωστίας εἶδος ἐλύετο· καὶ τὰς μὲν νεκρὰς ἠφίει τὰ μνήματα, τὰς δὲ μεμηνότας οἱ δαίμονες, τὰς δ᾽ ἀῤῥώστας αἱ νόσοι· καὶ ἰδ᾽ ἰδεῖν πράγματα ξένα καὶ θαυμαστὰ, ὀφθαλμὰς διαπλαττομένας, ὦτα βεβυσμένα ἀναπεταννύμενα, καὶ γλῶτταν ἠχῦσαν μέγα τὴν ἔμπροσθεν ἀφωνίᾳ δεδεμένην· χεῖρας νεκρὰς κινεμένας, πόδας παραλελυμένας ἀθρόον ἁλλομένας, καὶ ἐν τῷ βελτίονι τῦ σώματος μέρει τὰ παραλελυμένα μέλη συναρμοττόμενα· τί ἄντις εἴποι τῆς ψυχῆς τὴν διάπλασιν, πολλῷ θαυμαστοτέραν τῆς ἐν τοῖς σώμασιν ἦσαν; ἀλλ᾽ ὅμως κατωρθῦτο, καὶ πᾶν εἶδος κακίας ἐλύετο· καὶ ὥσπερ τὰ σώματα θεραπευόμενα, ἐ πρὸς ὑγείαν μόνον, ἀλλὰ καὶ πρὸς εὐεξίαν τὴν ἀνωτάτω μετεῤῥύθμιζεν, ἕτω καὶ τὰς ψυχὰς, ἐ τῆς κακίας τῆς ἐχάτης μόνον ἀπήλλαξεν, ἀλλὰ καὶ πρὸς αὐτὴν τῆς ἀρετῆς τὴν κορυφὴν ἤγαγε· καὶ ὁ τελώνης Ἀπόστολος ἐγίνετο, καὶ ὁ διώκτης καὶ βλάσφημος κήρυξ τῆς οἰκεμένης ἀπεδεικνύετο, καὶ πόρνη, καὶ Χαναναία, καὶ Σαμαρεῖτις, καὶ συγκύπτεσα, καὶ αἱμοῤῥοῦσα, καὶ πυρέσσεσα, πολλῇ τῇ πίστει διέλαμπον· καὶ πάντα ἀθρόως μετεσχηματίζετο τῶν σωμάτων τὰ πάθη, τῶν ψυχῶν τὰ νοσήματα, καὶ πρὸς ὑγείαν καὶ τὴν ἀρίστην ἀρετὴν μετεπλάττοντο.

Καὶ ἐ διὰ τέτων μόνον, ἀλλὰ καὶ διὰ τῶν παθημάτων αὐτῦ ἡ κτίσις τῦτον ἐγνώρισεν, ὅτι ἐ μόνον κηδεμονίας καὶ ἀγάπης ἰδ᾽ τὰ γινόμενα, ἀλλὰ καὶ ἀφάτε δυνάμεως· τότε γὰρ θάνατος ἠφανίζετο, καὶ κατάρα

τάρα ἐλύετο, καὶ δαίμονες κατῃσχύνοντο, καὶ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν τοῦ παλαιοῦ Ἀδὰμ διεῤῥήγνυτο· εἶτα ἐπειδὴ ταῦτ' ἀοράτως ἐθαυματουργεῖτο, ἐγίνετό τινα καὶ ὁρατῶς, δεικνύντα, ὅτι οὗτος μονογενὴς ἦν Υἱὸς τοῦ Θεοῦ, καὶ τῆς κτίσεως ἁπάσης Δεσπότης· ἔτι γὰρ τοῦ προσκυνητοῦ καὶ ζωηφόρου σώματος αὐτοῦ ἐν τῷ Σταυρῷ κρεμαμένου, ἐσκοτίσθη μὲν ὁ ἥλιος, ἐσείσθη δὲ ἡ γῆ, αἱ πέτραι ἐῤῥάγησαν, καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη· τάφοι ἀνεῴχθησαν, νεκροὶ ἀνέστησαν, καὶ πάντα ἔφριξαν, ἐπιγνόντα τὸν ἑαυτῶν ποιητήν. Ὥστε, ἵν' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, ὅσα ἔδει γενέσθαι πρὸς πίστωσιν τῆς αὐτοῦ παρουσίας, καὶ ὡς ἔδει γενέσθαι, καὶ γέγονε, καὶ τέλος ἔλαβε τὸ προσῆκον, παρ' αὐτοῦ πάντως οἰκονομούμενα. Ἀλλὰ ταῦτα μὲν δι' ἡμᾶς τοὺς ζῶντας, ὡς ἐχρῆν πέπρακται, καὶ ἡ αὐτοῦ ἐνανθρώπησις οὕτω διαπρυσίως ἀνεκηρύχθη τοῖς ὑπὲρ γῆν· ἐπεὶ δὲ τοῦ Θεοῦ πάντων καὶ βασιλέως αὕτη ἡ θαυμαστὴ καὶ μεγάλη πορεία, οὐ τοῦτο μόνον εἶχε σκοπὸν, τὸ ὀφθῆναι τοῦτον καὶ συναναστραφῆναι τοῖς ζῶσι (τοῦτο γὰρ τολμῶ λέγειν ὅτι καὶ μερικὸν καὶ ὡσανεὶ κατὰ πάροδον ἦν·) ἀλλὰ τὴν ἀκρόπολιν ἑλεῖν τοῦ τυράννου, καὶ τοῦτον δεσμεῦσαι, καὶ τοὺς ἀπ' αἰῶνος ὑπ' αὐτοῦ τυραννουμένους ἐλευθερῶσαι τὸ σπουδαζόμενον ἦν, πρὸς ὃ καὶ πάντα τὰ τῆς οἰκονομίας ἀπέβλεπε, τοῦτο λοιπὸν ὁ Λόγος, διὰ θανάτου καταβὰς εἰς τὰ τοῦ ᾅδου βασίλεια, ἔργῳ πεπλήρωκε, καὶ τῆς αὐτοῦ παρουσίας τὸ μεγαλεῖον ἐπῆρε τῷ θείῳ τούτῳ καὶ ἐξαισίῳ μεγαλουργήματι. Ἀλλὰ τῶν μὲν διηγήσεων ἅλις.

Δεῖ δὲ λοιπὸν, σὺν Θεῷ δὲ εἰρήσθω, καὶ ἐπὶ τοὺς ἀγῶνας ἐλθεῖν. Εἰ δὲ λέγει τις ἐπὶ τούτοις, πῶς αὐτοπροσώπως δι' ἑαυτοῦ, καὶ μὴ δι' ἑτέρου προσώπου ὁ τοῦ Θεοῦ παντοδύναμος Λόγος, τὴν τοῦ ἀνθρώπου ἀνάπλασιν ᾠκονόμησεν; ἐννοείτω, ὅτι ὡς τὸ τὴν ἀνθρωπίνην φύσιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν, ἴδιον ἔργον Θεοῦ, καὶ κατ' οὐδένα τρόπον ἑτέρου, οὕτω καὶ τὸ νεκρωθεῖσαν αὐτὴν ἀναστη-

ἀναστῆσαι, καὶ ἀφθαρτίσαι φθαρεῖσαν, αὐτῦ μόνυ ἴδιον· ὡς γὰρ κριτῦ τῦτο ἔργον, τό, τε εὑρεῖν, καὶ τὸ ἐκδικῆσαι νομίμως τὸ δίκαιον· καὶ γεωργῦ αὖθις, τὸ καὶ σπεῖραι τὰ καλὰ τῶν σπερμάτων, καὶ συλλέξαι ταῦτα ὅτε καιρός· ἐμπόρυ τε τὸν μὴ προσόντα κτήσαθαι πλῦτον, καὶ ἀνακτήσαθαι τὸν οἰχόμενον· στρατηγῦ τὸ καὶ νίκην ἄραθαι, καὶ τὴν ἧτταν ἀνακαλέσαθαι· καὶ ζωγράφυ τὸ καὶ μιμήσαθαι τὸ πρωτότυπον, καὶ ἀναμορφῶσαι τὴν ῥυπωθεῖσαν εἰκόνα· φιλοσόφυτε πρὸς τύτοις καὶ ἰατρῦ, τῦ μὲν καὶ φυλάττειν ἀπαθῆ τὴν ψυχὴν, καὶ σκοτισθεῖσαν πάθεσι πράξει φωτίσαι καὶ θεωρία, τῦ δὲ καὶ τὴν ἐνῦσαν ὑγίειαν τηρῆσαι, καὶ τὴν φθαρεῖσαν ἀνακαλέσαθαι· ὕτω, καὶ πολλῷ κατ᾽ ἀσύγκριτον λόγον, μόνυ τῦ τῆς φύσεως τῶν ἀνθρώπων καὶ πλάστυτε καὶ προνοητῦ τῦτο ἔργον ἐστὶν ἰδιαίτατον, ὥσπερ τὸ ταύτην δι᾽ ἑαυτῦ μόνυ παραγαγεῖν εἰς τὸ εἶναι, ὕτω καὶ τέλεον φθαρεῖσαν ἀφθαρτίσαι πάλιν δι᾽ ἑαυτῦ. Εἰ δὲ ἐξετάζειν ἐθέλοις, τίνι τρόπῳ ὁ φύσει ἀκατάληπτος ἐγνωρίσθη, ὁ ἀόρατος ὡράθη, καὶ ἐψηλαφήθη ὁ ἀναφής, καὶ ὁ φύσει ἀπαθὴς πέπονθε; νόειμοι ἅπαντα εὐσεβῶς· ὅτι ὡς ὁ παρὰ σοὶ λόγος μένων μὲν παρὰ σοὶ ἀνεκφώνητος, ἄγνωστος πέφυκεν ἅπασιν, ἀόρατός τε καὶ ἀψηλάφητος, γραφόμενος δὲ καὶ τυπύμενος, ἢ ἐγχαραττόμενος σώμασι, καὶ σωματύμενος οἰκονομικῶς, ὁ φύσει ὗτος ἀόρατος ὁρατὸς γίνεται καὶ ψηλαφητὸς, καὶ τμᾶται τῇ ὕλῃ, καὶ διαιρεῖται, καὶ ἀπαλείφεται, καθ᾽ αὑτὸν ἀπαθὴς μένων πάντη καὶ ἀναλλοίωτος· ὕτω καὶ ὁ τῦ παναγάθυ Πατρὸς ὑπεράγαθος Λόγος, μένων μὲν παρὰ τῷ Πατρὶ, ἄγνωστος ἦν ἡμῖν καὶ ἀόρατος, τύτυ δὲ προελθὼν ἀχωρίστως, καὶ γενόμενος ἄνθρωπος δι᾽ οἰκονομίαν, καὶ ἐγνώσθη λοιπὸν, καὶ ὡράθη, καὶ χερσὶ βροτείαις ἐψηλαφήθη ὁ ἀκατάληπτος, καὶ πέπονθε τῇ σαρκὶ, φύσει ἐχύσῃ τὸ πάχειν, ὐ τῇ Θεότητι, τῇ φύσει κεκτημένῃ τὸ ἀπαθὲς καὶ ἀπρόσιτον.

## ΚΕΦΑΛΑΙΟΝ Γ.

Διατὶ δὲ Θεὸς ὢν ἀναλλοίωτος ἀνενδεής τε καὶ ἀπρόσιτος, ἀνθρώπου μορφὴν προσελάβετο, καὶ θάνατον σαρκὶ κατεδέξατο; Διὰ πλείους μὲν καὶ ἄλλας αἰτίας, καὶ διὰ ταύτας δὲ μάλιστα τὰς ἑπτά. Πρώτην, καὶ ταύτην τετραπλῆν, ὅτι τῶν πρὸ τῆς αὐτοῦ παρουσίας ἀνθρώπων, ἀποστραφέντων τὴν πρὸς τὸν Θεὸν νοητὴν καὶ ἀληθῆ θεωρίαν, καὶ ἐν τοῖς αἰσθητοῖς ἀνοήτως τὸ θεῖον ζητούντων, οἱ μὲν εἰς τὴν κτίσιν ἐπλάνωντο, οἱ δὲ τῶν ὁμοιοπαθῶν αὐτοῖς τινὰς ἐθεοποίησαν, ἄλλοι τὰ ἐναέρια πνεύματα, καὶ ἕτεροι νεκροὺς ὑποχθονίους ἐθρήσκευον· ἐπεὶ οὖν τοσαύτῃ πλάνῃ τὸ ἡμέτερον γένος κατείχετο, τοῦδε χάριν ὁ φιλάνθρωπος Λόγος συγκαταβαίνων, καὶ τοῦ ἰδίου κηδόμενος πλάσματος, ἔλαβε σῶμα, καὶ ὡς ἄνθρωπος τοῖς ἀνθρώποις συνανεστράφη, καὶ τέλος σαρκὶ παθὼν ἀπέθανε, καὶ ἀνέστη, ἵνα καὶ οἱ τῇ κτίσει λατρεύοντες, ταύτην ὁρῶντες ἑαυτῆς Κύριον τοῦτον ἀνακηρύττουσαν, τῆς ἀπάτης ἀνενεγκόντες, αὐτῷ μόνῳ λατρεύσωσι, καὶ οἱ τοὺς ἀνθρώπους ἑαυτοῖς Θεοὺς ἀναπλάττοντες, ἀφ' ὧν οὗτος πράττει θαυμάτων καταμαθόντες τὴν ἐκείνων ἀσθένειαν, μόνον μονογενῆ Θεοῦ Υἱὸν ἐν ἀνθρώποις, αὐτὸν δι' αὐτοῦ καταμάθωσιν· οἵτε τοῖς πνεύμασι προσκείμενοι, ταῦτα βλέποντες παρ' αὐτοῦ διωκόμενα, ἀποστάντες ἐκείνων, τούτῳ πάντες προσπέσωσι· καὶ οἱ τῶν νεκρῶν τινὰς Θεοὺς ὑποχθονίους ἐπιφημίζοντες, τῷ αὐτοῦ λόγῳ νεκροὺς ἐγειρομένους ἰδόντες, καὶ αὐτὸν ἀναστάντα μετὰ τὸ πάθος τριήμερον, ζώντων αὐτὸν εἶναι ζωὴν, καὶ θανόντων ἀνάστασιν, καὶ παντὸς τοῦ κόσμου δεσπότην πιστεύσωσι.

Δεύτερον, ὅτι ὁ θέλων δύο τινῶν μαχομένων ἀλλήλοις ἔχθραν χρόνιον διαλῦσαι, οἰκεῖος ἀμφοῖν καὶ ἀκρότατος φίλος εἶναι θέλει πρὸ τοῦ, καὶ οὕτω τὴν διαλλαγὴν καὶ ἐπιχειρῆσαι, καὶ εἰς τέλος αὐτὴν ἀγαγεῖν· ἀλλότριος δὲ τῶν δύο τῇ φύσει, ἢ τοῦ ἑνὸς, ἢ ἐχθρὸς τοῖν δυοῖν, ἢ

ἑνός γε

ενός γε τούτων τῇ γνώμῃ, ἀδύνατον εἰς διαλλαγήν. Θεὸς οὖν γυμνὸς, Θεῷ μόνῳ οἰκεῖος, οὐ μὴν ἀνθρώπῳ· καὶ ψιλὸς ἄνθρωπος, ἀνθρώπῳ γνήσιος, οὐ μὴν καὶ Θεῷ· ἐπεὶ τοίνυν ἔχθρα ἦν μεταξὺ Θεοῦ καὶ ἀνθρώπων, ὅπερ τοῖς μεσίταις ἔθος ποιεῖν, τοῦτο καὶ ὁ Θεὸς Λόγος ἐνανθρωπήσας ἐποίησε, διὰ μὲν τῆς δεξιᾶς ὥσπερ χειρὸς, ἤτοι τῆς ἑαυτοῦ Θεότητος, τὸν Θεὸν καὶ Πατέρα, διὰ δὲ τῆς εὐωνύμου, τῆς ἀνθρωπότητος δηλαδὴ, τὸν ἄνθρωπον ἐφελκύσας· εἶτα, καὶ ὅπερ τῷ Θεῷ ὤφειλε χρέος ὁ ἄνθρωπος ἅπαν καταβαλλόμενος μετὰ πολλῆς τῆς περιουσίας, καὶ πάσας αὐτοῦ τὰς ἐλλείψεις ἀναπληρώσας διὰ τὸ πάθος, οὕτω καὶ τὸ τῆς ἔχθρας μεσότειχον διέῤῥηξε, καὶ εἰς ἓν συνῆψε τὰ διεστῶτα, καὶ εἰρήνην ἐβράβευσε τὸν Θεὸν καταβιβάσας εἰς γῆν, καὶ τὸν ἄνθρωπον ἀνυψώσας εἰς οὐρανούς.

Τρίτον, ὅτι καταπαλαίσας τὸν Ἀδὰμ ὁ ἐχθρὸς δι' ἀπάτης, ἀφεῖλέτε αὐτὸν τὴν ἐξουσίαν, καὶ ἄρχων ἐκεῖνος τοῦ αἰῶνος τοῦδε καὶ τοῦ κόσμου προσηγορεύθη· ἄρχων δὲ καὶ δεσπότης τῶν ὁρωμένων ὁ ἄνθρωπος ἦν ἐξ ἀρχῆς ὑπὸ τοῦ Κυρίου κατασταθείς· ἀφ' οὗ δὲ ἥττηται κατὰ κράτος, προὔδωκε μὲν τῷ νικήσαντι τὴν ἀρχὴν, αὐτὸς δὲ δοῦλος ὑπῆρξεν αἰχμάλωτος, καὶ πάντες οἱ ἐξ αὐτοῦ, ἅτε καὶ δούλου παῖδες, καὶ ὡς ἁμαρτίας ὑπεύθυνοι προσήγοντο τῷ τυράννῳ· ὁ δὲ τῷ θανάτῳ τούτους καὶ τῷ ᾅδῃ παρέπεμπεν· ἐπεὶ λοιπὸν οὕτω ταῦτα συνέβη, καὶ ἡ ἀνθρωπίνη φύσις ἐξ ἑαυτῆς μὴ δυναμένη τὴν ἧτταν ἀνακαλέσασθαι, ἐδεῖτο τοῦ ἀναστήσοντος, αὐτὸς οἰκτείρας ταύτην ὁ ταύτης δημιουργὸς, καὶ τῶν αὐτοῦ θεοπρεπῶς μὴ ἐκστὰς, καὶ μήτε δοκήσει τὸ σὰρξ φανῆναι σχηματισάμενος (ἀπατηλὸν γὰρ τοῦτο καὶ ἄτολμον·) μήτε γυμνῇ τῇ Θεότητι τῷ πονηρῷ συμπλακῆναι καταδεξάμενος (πόῤῥω γὰρ τοῦτο πέφυκε τῆς θείας ἐκείνου μεγαλειότητος·) ἀλλ' αὐτῇ τῇ ἡττημένῃ φύσει, τὸν θανάτῳ καταπατοῦντα ταύτην πολέμιον, διὰ θανάτου καταβαλὼν, ἁμαρτίας αὐτὴν καὶ θανάτου ἀπήλλαξε.

Τέταρ-

Τέταρτον, ἀλλ' ἐπὶ τὸ γυμνότερον τὸν λόγον ἀγάγωμεν. Ἥμαρτεν ὁ πάλαι Ἀδὰμ ἑκουσίως, καὶ διὰ τοῦτο ὑπόδικος γεγονὼς τῷ θανάτῳ, ἐξ ἀνάγκης καὶ ἄκων ἀπέθανε, καὶ τοῖς μετ' αὐτὸν ἐκληροδότησε θάνατον· νέος Ἀδὰμ γεγονὼς ὁ πάντα μετασκευάζων ἐπὶ τὸ βέλτιον Λόγος, οὐχ ἥμαρτε, καὶ διὰ τοῦτο μὴ ὢν ὑπεύθυνος τῷ θανάτῳ, εἰ καὶ ἑκὼν, ὅμως ἀδίκως οὐ κατὰ χρέος ἀπέθνησκεν· ὁ γοῦν μὴ ἁμαρτήσας μὲν οὗτος, ἀποθανὼν δὲ, τοῦ ἁμαρτήσαντος ἐκείνου, καὶ διὰ τοῦτο ἀποθανόντος ἀποτίσας τὸ ὄφλημα, οὕτω καὶ τοῦ κατέχοντος αὐτὸν ἠλευθέρωσε, καὶ τοὺς μετ' αὐτὸν ἀθανασίᾳ ἐπλούτισεν ἐνδικώτατα. Καὶ τοῦτο δεῦρο ἑπτάκις ἀποδεικτέον. Εἰ γὰρ ἁμαρτία τῆς τοῦ θανάτου βασιλείας ἰσχὺς, ὁ μήπω πταίσας πάντως θανάτου ἀνεύθυνος. Καὶ εἰ ἀδίκως ὁ Κύριος τέθνηκεν, δικαίως αὐτὸν ἀναστῆναι, τῆς τῶν πραγμάτων ἀκολουθίας ὁ λόγος βιάζεται. Καὶ εἰ δικαίωμα τοῦ ἀποστάτου τὸ τοὺς ἁμαρτάνοντας θανατοῦν, κατάκρισις ἄρα τούτου τὸ θανατῶσαι τὸν ἀναμάρτητον. Καὶ εἰ τῷ τοῦ ἁμαρτήσαντος θανάτῳ, θανάτου πάντες γεγόναμεν ὑποχείριοι, τῇ τοῦ μὴ ἁμαρτήσαντος τελευτῇ θανάτου πάντες ἠλευθερώθημεν. Καὶ εἰ δι' ἁμαρτίαν τὸν ἄνθρωπον ὁ ἐχθρὸς ἐθανάτωσε, δι' ἀναμαρτησίαν ὁ Λόγος, τὸν ἐχθρὸν ἅμα καὶ τὸν θάνατον ἐθανάτωσε. Καὶ εἰ τῷ ἑνὸς Ἀδὰμ παραπτώματι, οἱ πάντες ἐθανατώθημεν, ἄρα τῷ τοῦ ἑνὸς Χριστοῦ κατορθώματι ἀνεζήσαμεν ἅπαντες. Καὶ εἰ ἁμαρτωλοῦ τελευτὴ δικαιολογίας τῷ θανάτῳ ὑπόθεσις, θάνατος ἄρα δικαίου καταδίκη τῷ θανάτῳ καὶ θάνατος. Πῶς οὖν καὶ ἔτι μυρίοι ἀπόλλυνται; ὅτι τῶν προαιρουμένων καὶ βιαστῶν ἐστὶν ὁ Θεὸς καὶ τὸ σώζεσθαι, οὐ τῶν ῥαθύμων καὶ ἀπειθῶν.

Πέμπτην ταύτην αἰτίαν, ὅτι ἐπείπερ διὰ τὸν ἐκ παρθένου γῆς πλασθέντα Ἀδὰμ, ἀποφάσει θανάτου τὸ τῶν ἀνθρώπων γένος καθυπεβλήθη, Θεὸς δὲ ἦν ὁ ταύτην ἀποφηνάμενος τὴν ἀπόφασιν, καὶ ἀδύνατον ἦν τῆς τιμωρίας ταύτης ἀνεθῆναι τὸν ἄνθρωπον, εἰ μὴ Θεὸς

αὐτὸς

αὐτὸς τὴν ἑαυτῦ ἀνακαλέσηται ταύτην ἀπόφασιν, διὰ τῦτο ἐκ μήτρας παρθένȣ, καθ᾽ ὁμοιότητα τῆς τῦ Ἀδὰμ ἐκ γῆς λήψεως, καὶ τῆς ἐκ Μητέρων τῆς ἡμετέρας μορφώσεως, ἀνθρώπȣ μορφὴν λαβὼν ὁ Θεὸς ὑπέμεινε θάνατον, ἵνα ἐν τῷ δοκῦντι ὀργάνῳ τῆς ἁμαρτίας, τῷ σώματι λέγω, πᾶσαν καταργήσας τὴν ἁμαρτίαν, καὶ ὡς Θεὸς τὴν ἑαυτῦ ἀκολȣ́θως λύσῃ ἀπόφασιν, καὶ ὡς ἄνθρωπος ὑπὲρ ἀνθρώπων τὸν θάνατον καταδέξηται.

Ἕκτην καὶ ταύτην πολλαπλῆν, ὅτι εἴπερ ἄλλο μὲν ἦν τὸ βασιλευόμενον ὑπὸ τῦ θανάτȣ, ἄλλο δέ τι τὸ παρὰ τῦ Κυρίȣ προσληφθὲν, ȣ̓κ ἂν μὲν ἐπαύσατο τὸ ἑαυτῦ ἐνεργῶν ὁ θάνατος· ȣ̓κ ἂν δὲ ἡμέτερον κέρδος ἐγένετο τῆς ζωηφόρȣ σαρκὸς τὰ πάθη· ȣ̓κ ἂν ἐζωοποιήθημεν ἐν τῷ Χριςῷ οἱ ἐν τῷ Ἀδὰμ ἀποθανόντες· ȣ̓κ ἂν προσῳκειώθη Θεῷ, τὸ διὰ τῆς ἀπάτης τῦ ὄφεως ἀλλοτριωθέν· νῦν δὲ, ὥσπερ τῦ Ἀδὰμ, ἡ καθ᾽ ἡδονὴν ζωὴ θανάτȣ καὶ φθορᾶς γέγονε μήτηρ, ȣ̔́τω καὶ ὁ διὰ τὸν Ἀδὰμ τῦ Κυρίȣ θάνατος, ὑπάρχων ἐκ τῆς τῦ Ἀδὰμ ἐλεύθερος ἡδονῆς, ἀϊδίȣ γεννήτωρ γίνεται ζωῆς· καὶ εἰ ἀνθρώπȣ ψιλῦ ἁμαρτήσαντος Θεὸς γυμνὸς ἦν ὁ κατορθώσας, ȣ̓́τε μέγα τὸ κατορθȣ́μενον ἦν, καὶ αὐθεντίᾳ ȣ̓ συμπαθείᾳ λυτρῦσθαι θανάτȣ ὁ ἄνθρωπος ἐνομίζετο· καὶ φύσεως ἄλλης ὑποπεσȣ́σης τῇ ἁμαρτίᾳ, ἡ κατορθῦσα τέως, ἡ κρινομένη ὑπὲρ ἐκείνης, ἑτέρα ταύτης ἐδείκνυτο· νῦν δὲ ἄνθρωπος ὁ Θεὸς γεγονὼς, καὶ ὑπὲρ τῦ καταλύσαντος πάντα τὸν νόμον δικαιοσύνην πᾶσαν ἐπλήρωσε, καὶ ἐν ᾧ ὁ θάνατος ἐβασίλευσε σώματι, ἐν αὐτῷ καὶ τὴν τῆς ἀναςάσεως χάριν εἰργάσατο, καὶ ἐν πάσῃ τῇ τῶν αἰώνων ἀϊδιότητι, τῇ τῦ κατορθώσαντος οἰκειότητι τῷ ἀνθρωπίνῳ γένει ἐπικαυχᾶσθαι, καὶ ἐναμβρύνεσθαι ἐχαρίσατο.

Καὶ πρὸς τȣ́τοις Ἕβδομον, ὅτι ἐπείπερ οἱ πλεῖςοι τῶν ἐξ Ἀδὰμ, ȣ̓ μόνον πᾶσαν αὐτῶν τὴν ζωὴν τῷ ἀντικειμένῳ ὑπέταξαν, ἀλλὰ καὶ τῶν Υἱῶν αὐτῶν καὶ θυγατέρων τὸ αἷμα τοῖς δαιμονίοις ἐξέχεαν, ἀντὶ μὲν τῆς παρη-

παρηκόου καὶ ἐξαμάρτου τούτων ζωῆς, τὴν τῷ Θεῷ καὶ Πατρὶ ὑπήκοον καὶ μακαριωτάτην ζωὴν ὁ γλυκύτατος ἔζησεν Ἰησοῦς, ἀντὶ δὲ τῶν πολλαχοῦ, καὶ πολλάκις ἐκχυθέντων ἀπείρων τοῖς δαίμοσιν αἱμάτων, τὸ ἑαυτοῦ ἁγιώτατον αἷμα τῷ οἰκείῳ Πατρὶ προσενήνοχε, παντὸς καθάπαξ τοῦ κόσμου καθάρσιον· καὶ γὰρ ὥσπερ ἡ αὐτοῦ ζωὴ, πασῶν ἀνθρωπίνων, ὡς οὐκ ἂν ἐφίκοιτο λόγος, ὑπερεῖχε ζωῶν, καὶ παντὸς ἀσυγκρίτως, ὃ μὴ ἐστὶ Θεός· οὕτω καὶ τὸ αὐτοῦ ὑπέρτιμον αἷμα καὶ ἁγιώτατον, μὴ μόνον πάντων αἱμάτων ἰσόῤῥοπον ἦν, ἀλλὰ καὶ πάσης μυριάκις ἀπείρως τῆς κτίσεως κατ᾽ ἐξοχὴν ὑπεράξιον. Τοῦτο τοίνυν τὸ λύτρον φιλανθρωπίᾳ ἄκρᾳ ὁ φιλάνθρωπος καὶ πανάγαθος Λόγος λαβὼν, καὶ ὑπὲρ ἡμῶν δι᾽ ἑαυτοῦ προσαγαγὼν τῷ οἰκείῳ Πατρὶ, δέξαι Πάτερ εἶπεν, οὐ ῥήμασιν ἀλλὰ πράγμασι, τὸ τοῦ σοῦ Υἱοῦ τοῦ μονογενοῦς τοῦτο αἷμα, καὶ καθὰ φιλόπαις Πατὴρ καὶ Θεὸς ὑπεράγαθος, τοῖς ἀνθρώποις δι᾽ ἐμοῦ διαλλάγηθι· ὁ δὲ, τὸ μέγα καὶ φρικῶδες τοῦτο ἀντίλυτρον, καὶ διὰ τὴν τοῦ προσενεγκόντος ἀξίαν, καὶ διὰ τὸ ἄμωμον τοῦ προσενεχθέντος ἀσμενέστατα προσδεξάμενος, καὶ ἡμῖν διηλλάγη τὴν χρόνιον ἔχθραν λύσας, καὶ τὴν κτίσιν εἰς τὸ εὖ εἶναι πᾶσαν, ἀπὸ τοῦ εἶναι μόνον, θειοτέρᾳ μετεσκεύασεν ἐνεργείᾳ.

## ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Ἔστω ταῦτα φησί· πῶς οὖν ὁ οὕτως ἀπείρως ἁγίων πάντων ὑπερέχων τῇ ἁγιότητι, ὑπὲρ εὐτελοῦς καὶ αἰσχρᾶς φύσεως, τοσαύτης ἠνέχετο ὕβρεως; ἀδύνατον γὰρ τοῦτο καὶ αἴσχιστον πάντη δοκεῖ. Οὐδὲν ἀδύνατον τῷ Θεῷ· οὔτε γὰρ αὐτὸς ἐνεργεῖ, τὸ ἀδύνατον ἀργεῖ· οὐδὲ αἰσχρόν τι τῆς ἀνθρωπίνης φύσεως ἐστίν· οὐδὲν γὰρ ὁ Θεὸς ἐποίησεν αἰσχρόν· ἄπαγε! οὐδὲν ὧν θέλει κατηγορίας ἄξιον· οὐδ᾽ ὅγε πράττει, πάθος αὐτῷ ἐπιφέρει, κἂν ἡμῖν δοκῇ ταῦτα, τοῖς ἐν τῷ πράττειν ἢ πάσχειν ἀλλοίωσιν ὑπομένουσιν· ὡς γὰρ ἡ πλάσις τοῦ ἀνθρώπου δοξάζει, οὐ καταισχύνει τὸν πλαστουργὸν, οὕτως ἡ τοῦ Θεοῦ ἐνανθρώπησις με-

γαλύνει μᾶλλον, ἢ σμικρύνει τὸν παντεργόν· καὶ τὸ καθ' ἡμᾶς Ἰησοῦ Χριστοῦ πάθος, οὐχ' ὕφεσιν, ἀλλὰ δόξαν αὐτῷ προσμαρτυρεῖ, εἴπερ δόξα αὐτοῦ ὁ Σταυρός· ἐπεὶ καθάπερ δόξα μικροῦ τὸ μεγαλυνθῆναι, οὕτω καὶ μεγάλου τιμὴ καὶ μεγαλοπρέπεια, τὸ ἑκουσίως ἐπὶ πολλῶν σωτηρίᾳ ταπεινωθῆναι, καὶ τῶν ἀναμαρτήτων τὶ πρᾶξαι, ἢ καὶ παθεῖν· εἰ μὴ καὶ Βασιλέα τις αἰτιᾶται, ἐπὶ δούλων εὐνοίᾳ, καὶ μωμητὸν λέγει γενέσθαι, ὅτι πολεμίου δεινοῦ ποθὲν ἐπισκήψαντος, καὶ πρὸς μονομαχίαν τοὺς αὐτοῦ πάντας προσκαλουμένου, ἐπεὶ μηδεὶς αὐτῶν ἐξισχύει πρὸς τοσαύτην ἰσχὺν, αὐτὸς ὑποδὺς στρατιωτικὴν πανοπλίαν, πρὸς τὸ λαθεῖν ὡς αὐτὸς ἐστὶν ὁ κρατῶν, καὶ μηδὲν ὑπαλλάξας τὸ Βασιλεὺς εἶναι, κατ' αὐτοῦ ἐξελθὼν τοῦ ἀλάστορος, λαμπρὸν ὑπὲρ πάντων στήσει τὸ τρόπαιον, καὶ τοὺς πάντας αἰσχύνης ὁμοῦ καὶ δουλείας καὶ θανάτου λυτρώσηται.

Εἰ μὲν γὰρ προσλαβόμενος ὃ οὐκ ἦν, ἀπώλεσεν ὅπερ ἦν, τροπῇ ἂν καὶ ἀλλοιώσει εἰκότως περιπεσεῖν ἐνομίσθη· εἰ δὲ ὃ μὲν οὐκ ἦν ἀναλλοιώτως προσέλαβεν, ὅπερ δὲ ἦν μεμένηκεν ἄτρεπτος, οὐ μεταβαλὼν τὴν ἑαυτοῦ Θεότητα εἰς ἀνθρωπότητα, ἀλλ' ἑνώσας ταύτην ἑαυτῷ καθ' ὑπόστασιν, τίνα μῶμον ἐπάγει τοῦτο τῇ ἀμωμήτῳ καὶ ὑπερτάτῳ Θεότητι; εἰ γὰρ οὐχ ὕβρις ἀρχιτέκτονι μεῖναι ἐν οἷς αὐτὸς ᾠκοδόμησεν, οὔτε ὑφάντῃ αἰσχρὸν περιβαλέσθαι ὕφασμα τὸ παρ' αὐτοῦ ὑφανθὲν, οὐδέγε πηλὸς τὸν κεραμέα μιαίνει ὅπερ ἔπλασε σκεῦος ἀνακαινίζοντα, πῶς ἐμολύνθη ὁ ἄχραντος Λόγος, σάρκα φορέσας ἣν αὐτὸς ἀνυβρίστως ἐδημιούργησεν; ἢ πῶς ἔπαθε, παχούσης αὐτῆς ἐν τῷ ὑπ' αὐτοῦ ἀνακτίζεσθαι; ἣν γὰρ πλάττων οὐκ ἐχράνθη, πῶς ἐμιάνθη αὐτὴν ἐνδυσάμενος; καὶ ἐξ ἧς οὐκ ἠλλοίωται ταύτην διαμορφῶν, πῶς ὑπέστη πάθος ἐκ ταύτης, τὰ πάθη αὐτῆς ἐξιώμενος; ἢ τίς ὁ λόγος τὸν κατ' εἰκόνα Θεοῦ πλασθέντα καὶ καθ' ὁμοίωσιν, βδελυκτὸν ἡγεῖσθαι καὶ αἰσχρωδέστατον; καὶ πόῤῥω θείας φιλανθρωπίας ἢ κοινωνίας τὸν ἄνθρωπον; ἢ ἀναξιοπαθεῖν νομίζεσθαι

ζεσθαι Βασιλέα, ὅτι ἐνδύματι δέλε μετριοφρονῶν κατὰ χάριν ἐχρήσατο, τῷ τὴν ἑαυτῦ μορφὴν τὴν βασίλειον ἑαυτῷ φέροντι συνεξυφασμένην; ἢ τὸν τῆς φύσεως πλάστην κατηγορεῖσθαι, διὰ τὴν ταύτης ἀνάπλασιν, ὅτι μὴ δίχα ἐνανθρωπήσεως ταύτην εἰργάσατο; ὡς εἴτις βαναύσων τὸν ἰατρὸν μέμφοιτο, ὅτι μετὰ φαρμάκε τῷ δεῖνι τὴν θεραπείαν ἐνήργησεν; ἢ ἐγκαλοίη δεσπότην, ἐπεὶ τὸν ἐν δεσμοῖς καὶ φρερᾷ διὰ χρέη ἐμπεσόντα οἰκέτην, τῆς φρερᾶς ὑπεξάγει ἀποτίσας τὸ ὄφλημα; ἢ καταβοᾷ χρυσοχόῳ, ὅτι τὸ κατεαγὸν καὶ συντριβὲν κόσμιον μετὰ πυρὸς νεεργεῖν καταδέχεται· ἀλλ᾽ ἐ διὰ ταῦτα ὦ ἕτος, πρὸς αὐτὸν φαίητις, ὁ ἀνεπίληπτος Λόγος καὶ ἄχραντος χραίνεται· διὰ ταῦτα μὲν ἐν καὶ θαυμάζεται σφόδρα καὶ μεγαλύνεται· ὡς γὰρ ὁ ἥλιος βορβόρῳ προσομιλῶν ἐδὲν τῶν τῦ βορβόρε μεταλαμβάνει, ἀλλὰ ξηραίνει μᾶλλον, καὶ ἀπαλλάττει τῆς δυσωδίας καὶ τῶν σκωλήκων τὸν βόρβορον· καὶ καθάπερ ἰατρὸς τὲς μώλωπας καὶ τὰ ἕλκη τῶν νοσέντων οἰκείαις χερσὶν ἀποσμήχων, ἔςι δ᾽ ὅτε καὶ τοῖς χείλεσιν ἐκμύζων, μεταδίδωσι τῆς ὑγείας αὐτοῖς, ἐ τῆς αὐτῶν ἀῤῥωςίας παραπολαύει· καὶ καθὼς τὸ πῦρ τῇ τῦ σιδήρε φύσει μιγὲν, καὶ ὅλην αὐτῷ τὴν οἰκείαν ἐνέργειαν παρέχον φωτεινὸν ἅμα καὶ καυςικὸν τὸν σίδηρον ἀπεργάζεται, ἐδενὸς δὲ μεταλαμβάνει τῶν ἐκείνε ἰδιωμάτων, λέγω δὴ τῆς μελανίας καὶ τῆς ψυχρότητος, τῆς τε γεωδεςέρας ὕλης αὐτῦ καὶ τῦ βάρεσ· ἕτω δὴ, καὶ πολλῷ καθ᾽ ὑπέρτερον καὶ θεοπρεπέςατον λόγον, ὁ φιλάνθρωπος Λόγος, τῇ ἀνθρωπίνῃ φύσει ἑνωθεὶς ἀποῤῥήτως, τῶν οἰκείων αὐτῇ μετέδωκεν αὐχημάτων, ἐκ αὐτός τινος μετέχε τῶν ἐκείνης ἐλαττωμάτων.

## ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Ἀλλὰ τίς ἀνάγκη ταπεινωθῆναι τοσἕτον αὐτὸν ἐβιάσατο; Ἀνάγκη μὲν ἐδεμία, φιλανθρωπία δὲ μόνη καὶ ἀγαθότης, καὶ λόγος ὑπερβεβηκὼς πάντα ἀνθρώπινον

 λογισ-

λογισμόν· πλὴν καὶ κατὰ τὸν εἰκότα λόγον, ὅσος εἰς ἀνθρωπίνην διάκρισιν, εἴτις ἐθέλει σκοπεῖν ὑγιῶς, εὑρήσει, ὡς οὕτως ὤφειλεν ἀπαραιτήτως γενέσθαι, ὡς γέγονε· δεῖ γὰρ πᾶν τὸ ποιῆσαν προνοεῖσθαι τοῦ ποιηθέντος, εἴγε μακροτέραν αὐτῷ τὴν σύστασιν εἶναι βούλοιτο· κἂν μὴ τοῦτο τηρηθῇ διὰ πάντων, πάντα ἀπόλωλε καὶ διέφθαρται· καὶ δῆλον κἀκεῖθεν· εἰ γὰρ πᾶς δεσπότης καὶ κτίτωρ, ἄνθρωπος λέγω, τὰς ὑπ' αὐτοῦ κτισθείσας χώρας οὐκ ἀφίησιν ἐκδότους ἑτέροις δουλεύειν, οὐδὲ πρὸς ἄλλους καταφεύγειν, ἀλλὰ γράμμασι τοὺς ἐν αὐταῖς ὑπομιμνήσκει πολλάκις, καὶ διὰ φίλων αὐτοῖς δηλοῖ τὰ συμφέροντα, εἰ δὲ καὶ χρεία γένηται, αὐτὸς παραγίνεται τῇ παρουσίᾳ λοιπὸν αὐτοὺς δυσωπῶν, μόνον ἵνα μὴ ἑτέροις ὑπόκειται, καὶ ἀργὸν αὐτοῦ τὸ ἔργον γένηται· πολλῷ πλέον ὁ Θεὸς τῶν ἰδίων κτισμάτων προνοήσασθαι δίκαιος, πρὸς τὸ μὴ τοῖς οὐκ οὖσι δουλεύειν, μᾶλλον δὲ τῷ ἀντικειμένῳ· καὶ εἰ πᾶς Βασιλεὺς ἄνδρα τὸν ὑπ' αὐτοῦ εἰς ἀρχὴν μεγάλης πόλεως ἀναχθέντα, καὶ ταύτης ὑπὸ τοῦ τῶν τυράννων ἀδίκως ἀπελαθέντα, οὐκ ἀπορρίπτει, ἀλλὰ τὴν εἰς ἐκεῖνον παροινίαν οἰκείαν ἡγούμενος περιφρόνησιν, αὐτὸς δι' ἑαυτοῦ ἐξελθὼν κατὰ τοῦ τυραννήσαντος ἀγωνίζεται, ἕως ἂν τὸν τὸ ἄρχειν ἀφῃρημένον εἰς τὸ πρῶτον ἀποκαταστήσει ἀξίωμα, πολλῷ μᾶλλον ὁ πάντων Θεὸς, τὸν μόνον ἄρχοντα καὶ δεσπότην, ὃν εἰς πάντα κατέστησε τὰ ὁρώμενα, τῇ τοῦ ἐχθροῦ ἐπηρείᾳ τὸ ἄρχειν ἀφῃρημένον, τῇ οἰκείᾳ ἐπιστασίᾳ δίκαιος ἦν ἐκδικῆσαι, ὃ καὶ πεποίηκε· πρὸς δὲ, εἰ πᾶς Αὐτοκράτωρ, τὴν ἰδίαν εἰκόνα ὑπὸ τοῦ κατεαγεῖσαν καὶ πατουμένην ὁρῶν, ἑαυτοῦ τὴν εἰς ἐκείνην ὕβριν νομίζων, οὐ στέγει, παρὰ πόδας δὲ τὸν ὑβριστὴν μέτεισι, πῶς τὸ παντέφορον ὄμμα, τὴν οἰκείαν εἰκόνα φθειρομένην πρὸς μιαροῦ δαίμονος βλέπον, ἐχρῆν αὐτὴν παριδεῖν; εἰ γάρ τις δαιμόνων σβέσαι τὸν ἥλιον ἐπεχείρησε δυνάμενος τοῦτο ποιεῖν, οὐκ ἂν ἐργάσασθαι τοῦτο πρὸς τῆς προνοίας συνεχωρήθη, πῶς ὁ τὸν, δι' ὃν πᾶς ὁ κόσμος παρήχθη, θανάτῳ ἐξαφανίζων, τὸ ὀλέθριον τοῦτο βούλημα ἀγαγεῖν εἰς τέλος παρεχωρήθη;

εἰ δὲ

εἰ δὲ καὶ Πατὴρ, ὃν εἰσποιήσηται παῖδα, τῆς πρώτης γνώμης πλάνου τινὸς συμβουλίᾳ ἀποστατήσαντα οὐ περιορᾷ, καὶ ποιμὴν τὸ ἑαυτοῦ πρόβατον ἀπολωλὸς οὐ περιφρονεῖ, καὶ δεσπότης τὸν γνήσιον οἰκέτην αἰχμάλωτον γεγονότα ὑπὸ βαρβάρων οὐ παραβλέπει, καὶ οἰκοδόμος τὴν ἑαυτῷ ἐκ βάθρων οἰκίαν ἐδείματο πεσοῦσαν οὐκ ἀποστρέφεται, καὶ ἀγαλματοποιὸς τὸν ὑπ' αὐτοῦ εἰς βασίλειον μορφὴν πλαστουργηθέντα εὐτέχνως ἀνδριάντα οὐ παρορᾷ συντριβέντα, ἀλλ' ὁ μὲν τὸν υἱὸν πρὸς τὰ οἰκεῖα μετακαλεῖται, ὁ δὲ τὸ πλανηθὲν ἐπιστρέφει ζητήσας ἐπιμελῶς, ὁ δὲ τὸν ἁλόντα ῥύεται, ὁ δὲ ἀνεγείρει τὴν πεπτωκεῖαν, ὁ δὲ ἀναπλάττει τὸν συντριβέντα ἐξ ὑπαρχῆς· πῶς ὁ παντάιτιος Λόγος, τὸ δι' ἑαυτοῦ παραχθὲν εἰς τὸ εὖ εἶναι ἀνθρώπινον γένος, ἄρδην τὰ προῤῥηθέντα πάντα παθὸν, καὶ διὰ ταῦτα εἰς φθορὰν κατελθὸν, δίκαιος ἦν παριδεῖν; ὅθεν οὐδὲ παρεῖδεν, ἀλλ' ἐλθὼν εἰς τὸν κόσμον ὡς παντοδύναμος, καὶ ἐπέστρεψε τὸν ἀπατηθέντα, καὶ ἐπανήγαγε τῆς πλάνης τὸν πλανηθέντα, καὶ ἐρύσατο τὸν αἰχμάλωτον τῆς δουλείας, καὶ ἀνέστησε τὸν καταπεσόντα, καὶ τῆς φθορᾶς ἀπήλλαξε τὸν διαφθαρέντα ὑπὸ τῆς ἁμαρτίας ἄνθρωπον.

Εἰ δέ τις ἐπαπορεῖ, πῶς Θεὸς ὢν ἔπαθε; τί φοβεῖται, οὗ φόβος οὐκ ἔστι; καὶ δειλιᾷ μήτι πάθῃ Θεός; ἔπαθε τῇ ἀνθρωπότητι, ἀλλ' οὐ τῇ Θεότητι· εἰ γὰρ πάσχοντος τοῦ σώματος συνέπασχε τούτῳ καὶ ἡ Θεότης, εἶχεν ἂν χώραν ἡ βλάσφημος ὑποψία· εἰ δ' ὥσπερ πεπυρακτωμένου σιδήρου τυπτομένου καὶ τεμνομένου, ὁ μὲν σίδηρος τὴν τύψιν πάσχει καὶ τὴν τομὴν, τὸ δὲ πῦρ οὐδέτερον τούτων, οὕτω τοῦ Κυρίου πάσχοντος, ἡ μὲν σὰρξ ἔπασχεν, ἡ δὲ φύσει ἀπαθὴς Θεότης ἔμεινεν ἄτρεπτος, πῶς εἰκότως ἐπὶ τῷδε λοιπὸν ἀπορήσωμεν; μὴ οὖν ἀπορείτω τις λέγων τίς ἀνάγκη αὐτὸν ἐνανθρωπῆσαι; ἢ τίς χρεία, μετὰ τὸ ἐνανθρωπῆσαι παθεῖν; ἡμεῖς γὰρ ἀνάγκην εἴχομεν ἀπαλλαγῆναι κατάρας, καὶ ῥυσθῆναι θανάτου, καὶ ἀνασπασθῆναι τοῦ ᾅδου, ἅπερ ἅπαντα, χωρὶς τοῦ μετὰ πά-

θεῦ θανεῖν αὐτὸν, ὡς ἐκ τῶν ἑξῆς ἔσαι δῆλον, γενέσθαι ἀδύνατον ἦν· μετὰ γὰρ σώματος καταβῆναι εἰς ᾅδε οὐχ οἷόν τε, ὥσπερ μετὰ μόνης ψυχῆς ἀμήχανον ὀφθαλμοφανῶς τοῖς ἐν τῷ κόσμῳ φαίνεσθαι· ἐκεῖνος δὲ ὁ ἀκήρατος Λόγος, ἐδεμιᾷ ἀνάγκῃ ὑπέκειτο· τῷ γὰρ αὐτῦ θελήματι τὶς ἀντισῆναι ἠδύνατο; ἀλλ' ἐπεὶ Θεὸς μὲν γυμνὸς ὑποσῆναι πάθος ἐκ ἴσχυεν, ἄνθρωπος δὲ ψιλὸς τὴν ἀνθρωπότητα σῶσαι ἀδύνατον ἦν, ὡς μὲν Θεὸς ἐνηνθρώπησε σῶσαι τὲς πάντας, ὡς δὲ ἄνθρωπος ὑπὲρ πάντων παθεῖν κατεδέξατο· ὅτι ὥσπερ ἐκ ἂν ἐθεοποιήθη ὁ ἄνθρωπος, εἰ μὴ ὁ φύσει ἐνυπόσατος τῦ Θεῦ Λόγος ἐγένετο σὰρξ, ἔτως ἐκ ἂν παθῶν καὶ φθορᾶς ἠλευθέρωτο, εἰ μὴ φύσει παθητὸς ἄνθρωπος ἦν, ὃν ὁ Υἱὸς τῦ παναγάθε Πατρὸς οἰκονομικῶς ἐνεδύσατο· καὶ ὥσπερ εἰμὴ ἐνανθρωπῆσαι ηὐδόκησεν, ἐκ ἂν οἱ ζῶντες δαιμόνων καὶ πλάνης ἀπέσημεν, ἔτως εἰμὴ σαρκὶ θάνατον ὑποσῆναι ἠνέχετο, ἐκ ἂν οἱ θανόντες θανάτε καὶ ᾅδε ἐῤῥύσθησαν.

Ταύτητοι ὅλον λαβὼν τὸ ἡμέτερον, ὅλον ἀντέθηκε τὸ οἰκεῖον· καὶ συνῆλθον μὲν αἱ φύσεις διὰ τὴν οἰκονομίαν, ἀσύγχυτος δὲ πάλιν ἡ ἕνωσις ἔμεινε διὰ τὴν Θεότητα· καὶ ὃ μὲν πρότερον ἦν, τῦθ' ἡμᾶς ἔσωσεν ἀγαθότητι, ὃ δὲ γέγονεν ὕσερον, τῦθ' ὑπὲρ ἡμῶν ἔπαθεν, εἰς ἡμῶν τῶν κατακρίτων δικαίωμα. Ὃν γὰρ τρόπον πρὸ τῦ σωτηρίε πάθες εἰς ἑαυτῦ δικαίωμα ὁ ἐχθρὸς κατηγορόντι καὶ ἀπαραλόγισον ἔγγραφον, τὰ ἐξ ἁμαρτίας τῦ Ἀδὰμ περιέφερε πάθη, ἔτως ἡμεῖς μετὰ τὸν Σταυρὸν, καὶ πολλῷ μᾶλλον, εἰς ἀνατροπὴν ἐκείνε καὶ ἔλεγχον, τὰ τῦ σωτῆρος Χριςῦ ἐπιδεικνῦντες πάθη, καὶ δικαιέμεθα τέτοις καὶ ἐγκαυχώμεθα· ἐ μόνον δὲ, ἀλλὰ καὶ ὥσπερ ποτὲ διὰ τῦ Ἀδὰμ, καὶ πάντες οἱ ἐξ Ἀδὰμ ὑπέγραψαν εἶναι δῦλοι τῦ ἐχθρῦ, καὶ τὰς ὠνὰς ἡμῶν περιέφερε τέτῳ χαρτίῳ κεχρημένος εἰς δικαίωμα ἑαυτῦ, τῷ ἐξ ἁμαρτιῶν κατασίκτῳ καὶ πολυπαθεῖ ἡμῶν σώματι, ἔτω καὶ νῦν ὁ Χριςὸς, εἰς δικαίωμα τῆς ἡμῶν φύσεως, ἐ μόνον τὰ ἑαυτῦ πάθη, ἀλλὰ καὶ τὰ σίγματα περιφέρων,

ἅπερ

ἅπερ ἐν τῷ αὐτοῦ σώματι τῶν ἁγίων ἐβάστασεν, ἕκαστος ὑπὲρ δικαιοσύνης καὶ ἀληθείας, ἐκ περιουσίας τὸ γένος ἡμῶν δικαιοῖ· εἰ γὰρ δύο προγόνων ἓν ἥττημα τὸ γένος ἅπαν κατέκρινεν, ἀπογόνων ἀπείρων ἀριστεῖαι μυρίαι, δίκαια πάντως αὐτὸ δικαιοῦν· καὶ καθάπερ ἑνὸς δούλου ἐφάμαρτον πάθημα πάντας ἐδούλωσε τοὺς ὁμογενεῖς, οὕτω τὰ τοῦ πάντων Δεσπότου ὑπὲρ πάντων ἅγια πάθη, ἐλευθέρους τοὺς πάντας εἰργάσατο.

Ἴσθι μέντοι κἀκεῖνο, ὅτι τὰ τῶν θείων δογμάτων ἀπορρητότερα, διὰ λόγου τοῖς ἅπασι προτιθέναι οὐκ εὐπρεπὲς, οὐδὲ σύνηθες, οὐδὲ ὅσιον· ὡς εἰ μὴ τοῦθ' ἡμῖν ὡς κανὼν ἀκριβὴς ἐφυλάττετο, πολλὰ ἄν σοι τῶν ὑψηλοτέρων δογμάτων, καὶ οὐ τοῖς πᾶσι γνωρίμων ἀπεκαλύψαμεν. Οὐκοῦν ποσῶς διστακτέον ἐν τῇ τοῦ Θεοῦ Λόγου ἐνσάρκῳ οἰκονομίᾳ, ἀλλὰ λιθίνους ὑποληπτέον, καὶ πέρα λιθίνης πωρώσεως εἶναι τοὺς ἐν ταύτῃ διστάζοντας· εἰ γὰρ ὁ μὴ εἰδὼς ὅ τι ποτέ ἐστι κόσμος οὐκ οἶδεν ὅπου ἐστὶ, καὶ ὁ ἑαυτὸν ἀγνοῶν οὐκ οἶδεν ὅστις ἐστὶ, καὶ ὁ τρέχων ἐν σκότει οὐκ οἶδε ποῦ ἄπεισι, πῶς ὁ τὸ παγκόσμιον Φῶς μὴ βλέπων, αἴσθησιν ἔχειν κριθήσεται;

## ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ἀλλὰ τί δήποτε μὴ μεθ' ἑτέρων, μετὰ δὲ παθῶν τοιούτων καὶ τοσούτων φησὶν; Ὅτι τὰ ἐναντία διὰ τῶν ἐναντίων ἰῶνται μάλιστα· ἡ ἄχρηστος ἄνεσις κόπῳ χρησίμῳ, ἡ παρακοὴ τῇ ὑπακοῇ, ἡ ὑπερηφανία τῇ ταπεινώσει, ἡ κενοδοξία δι' ἀτιμίας, ἡ γαστριμαργία διὰ νηστείας, ἡ ἄλογος χαρὰ διὰ λύπης εὐλόγου, καὶ διὰ πολυτρόπων ὀδυνῶν ἡ πολυποίκιλος ἡδονή· καὶ ὅτι τὰ πταίσαντα πάντα μέλη τοῦ σώματος, καὶ τὰ μέρη τῆς ψυχῆς, ἐχρῆν διὰ πάθους θεραπευθῆναι, ἑκάστῳ οἰκειοτάτου καὶ ἀντιθέτου ἐκείνῳ τῷ παλαιῷ τοῦ Ἀδὰμ παραπτώματι· εἰς τοῦτο γὰρ ἧκεν, ἅπασαν τὴν ὀφειλομένην ἡμῖν παρὰ τοῦ Πατρὸς τιμωρίαν ὑπὲρ ἡμῶν ὑποστῆναι, καὶ τὰς ὕβρεις, καὶ

τὰ ὀνείδη, ἅπερ πάντες ἐποιησάμεθα κατὰ τοῦ Θεοῦ, αὐτὸς μόνος δέξασθαι· ἅπερ κατὰ μέρος εἰπεῖν ταμιευσάμενοι ἐν ἑτέροις, τούτοισὶ τοῖς ὡς ἐν τύπῳ ῥηθεῖσι, τό γε νῦν ἔχον ἀρκεσθησόμεθα.

## ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Αἰσχυνέσθωσαν τοίνυν οἱ λέγοντες, Θεὸς ἦν γυμνὸς ὁ Χριστὸς, οὐ μὴν μετὰ τοῦ Θεὸς εἶναι καὶ ἄνθρωπος· καὶ ἀπολέσθωσαν οἱ ληροῦντες, ὡς ἄνθρωπος ἦν ψιλὸς, οὐ μὴν καὶ Θεός· πειθέτωσαν αὐτοὺς οἱ τῶν ἁγίων λόγοι, ἢ μᾶλλον τοῦ συναμφοτέρου αἱ προφανεῖς μαρτυρίαι, καὶ αἱ πρόδηλοι πᾶσιν ἐνέργειαι· εἰ γὰρ μὴ ἦν Θεὸς, τίς τοὺς συλλαβεῖν αὐτὸν βουλομένους ὑπτίους πάντας ἑνὶ ῥήματι ἔῤῥιψε; καὶ εἰ μὴ ἦν ἄνθρωπος, τίνα Ἰουδαῖοι τηνικαῦτα κρατήσαντες τῷ Πιλάτῳ παρέδωκαν; τίνα ἐφίλησεν Ἰούδας, εἰ μὴ ἄνθρωπος ἦν; καὶ τίς ὑγιὲς τὸ ὠτίον ἐν ῥιπῇ τῷ Μάλχῳ κατέστησεν, εἰ μὴ Θεὸς ἦν; τίνος πρόσωπον ῥάπισμα κατεδέξατο, εἰ μὴ ἄνθρωπος ἦν; καὶ τίς τὴν γῆν ἔσεισε πᾶσαν τότε εἰ μὴ Θεὸς ἦν; εἰ μὴ ἦν ἄνθρωπος, ἐν τῷ Σταυρῷ τίς ἐκρέματο; καὶ εἰ μὴ Θεὸς, τὸν ἥλιον τίς ἐσκότισεν; εἰ μὴ ἄνθρωπος ἦν, ἡ λόγχη τίνος πλευρὰν ἔνυξε; καὶ εἰ μὴ Θεὸς ἦν, τίς νεύματι μόνῳ τὰ μνήματα ἤνοιξε, καὶ τὰ ἔνδον προσεσηπότα σώματα ὁλόκληρα ἤγειρεν; εἰ μὴ ἄνθρωπος ἦν, Ἰωσὴφ καὶ Νικόδημος τίνα σμυρνίσαντες ἐνεταφίασαν; καὶ εἰ μὴ Θεὸς ἦν, τίς ἀνέστη τριήμερος; εἰ μὴ ἦν ἄνθρωπος, τίνος σάρκα ἐσθίομεν, καὶ τὸ αἷμα πίνομεν μυστικῶς; καὶ εἰ μὴ Θεὸς ἦν, τίνα Θεὸν ἐν σαρκὶ προσκυνοῦμεν; ἢ εἰς τίνα πιστεύομεν; ὥστε Θεὸς ἀληθὴς, καὶ ἄνθρωπος τέλειος, ὁ αὐτὸς ἐστίν· ἤτοι Θεάνθρωπος, ἡνωμένος ἀῤῥήτως, ἀλλ᾽ οὐ διῃρημένος· καὶ μακάριοι πάντες οἱ εἰς αὐτὸν ὀρθοδόξως πιστεύοντες.

Εἶδες ὅπως πάντα ἀνεδέξατο τὰ ἡμέτερα; πῶς τὴν ἔχθραν διέλυσε; πῶς ἡμᾶς ἐξηγόρασεν; ὄντως μεγάλων

γάλων ἡμᾶς μυστηρίων κατηξίωσεν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ! μεγάλων καὶ Θείων, καὶ οἵων, οὐχ ἡμεῖς λαβεῖν ἦμεν ἄξιοι, ἀλλ᾽ οἵων αὐτῷ παρασχεῖν ἡμῖν πρέπον ἦν. Ὄντως αἱ δυναστεῖαι τοῦ Θεοῦ ἡμῶν ὑψηλαί, καὶ αἱ πορεῖαι αὐτοῦ θαυμασταί, καὶ ὁμολογουμένως μέγα τὸ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας μυστήριον! καὶ πόσον μέγα; ὅσον οὐδεὶς δύναται εἰπεῖν, οὐδέτις παραστῆσαι λόγος· πῶς γάρ τις ὅλως ἐξείποι; ἢ πῶς εἰκότως τοῦτο σιγήσοι; ὃ καὶ λαλούμενον ἔχει δέος διὰ τὸ μέγεθος, καὶ σιωπώμενον φόβον ἐπάγει διὰ τὴν πρὸς τὸν πάντων Δεσπότην ἀγνωμοσύνην· ὃ δὴ κἀμὲ τολμηρὸν ὑμῖν ἀνέδειξε ῥήτορα, τὴν σιγὴν μᾶλλον τοῦ μυστηρίου, ἢ τὴν διήγησιν δειλιάσαντα, ἐμοί τε, ὡς οὐκ οἶδα εἴτινι ἄλλῳ. Τὸ ἐκ τοῦ μὴ ὄντος ἡμῶν τὴν φύσιν εἰς τὸ εἶναι παραγαγεῖν, καὶ τιμῆσαι ταύτην εἰς τὸ κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἑαυτοῦ τὸν Θεόν, πρὸς τὸ φθαρεῖσαν αὐτὴν ἀναμορφώσασθαι καὶ θεῶσαι, καὶ διά τε σαρκώσεως καὶ παθῶν καὶ σταυροῦ, εἰς τὸν θρόνον ἐγκαθιδρύσαι τὸν θεϊκόν, οὐδὲ συγκρίσεως ἄξιον κρίνεται· ἐπεὶ ὅσον τοῦ ἁπλῶς ἄνθρωπον εἶναι, πρὸς τὸ Θεὸν ἄτρεπτον γενέσθαι, τὸ μεταξὺ, τοσοῦτον ἑκατέρων τὸ μέσον δοκεῖ.

Ἵνα δὲ ὅθεν τοῦ λόγου ἡψάμεθα, πάλιν ἐκεῖ καταλήξωμεν, ψυχὴ χριστιανικὴ ταῦτα δι᾽ ὅλου μελέτα, τούτων μέμνησο πάντων, καὶ ὅση σοὶ δύναμις, ἀμείβου τὸν ἐνεργέτην διὰ παντὸς, προσκύνει, ἀνύμνει, εὐχαρίστει, μεγάλυνε, δόξαζε, καὶ ὅλην σαυτὴν, καὶ πάντα τὰ σὰ τούτῳ ἀντάμειψιν παρέχε· ἐπεὶ καὶ αὐτὸς ὑπὲρ σοῦ, καὶ ὅλον ἑαυτὸν, καὶ πάντα τὰ ἑαυτοῦ δέδωκε· καὶ σκόπει μὴ ταῦτα μόνον, ὅσα κατὰ σύνοψιν ὁ λόγος οὗτος διῆλθεν, ἀλλὰ καὶ ὅσα παρὰ πάντα τὸν βίον ὑπέστη διὰ σὲ, καὶ πρὸς τούτοις ὅσα καὶ οἷα ἔκτοτε μέχρι τῆς δεῦρο, διὰ τὸ πρόσλημμα, παρὰ τῶν ἀπίστων καὶ πάντων αἱρετιζόντων βλάσφημα φέρει μακροθυμῶν· καὶ κατὰ νοῦν ταῦτα στρέφουσα, εὐψύχως φέρε τοῦ βίου τὰ δυσχερῆ, τοὺς τε ὑπὲρ ἀρετῆς πόνους καρτέρει προθύμως, καὶ τὰ διὰ τὸ ὄνομα αὐτοῦ παθεῖν σοι ἐπερχόμενα λυπηρὰ

εὐχαρίστως προσδέχου· καὶ καθάπερ τι μνήμης ἐμπύρευμα, τὴν ἐπιτελεύτιον ἐκείνην φωνὴν ἐν σεαυτῇ ἀνεξάλειπτον ἔχε, ἣν πρὸς τὸν ἑαυτοῦ Πατέρα ἐπὶ σταυροῦ
» κρεμάμενος ἔκραξεν εἰπών „Πάτερ ἄφες αὐτοῖς τὴν
» ἁμαρτίαν ταύτην, οὐ γὰρ οἴδασι τί ἐποίησαν· ὢ τῆς πολλῆς ἀνοχῆς σου Χριστέ μου! ὢ τῆς ἀπείρου μακροθυμίας! ὢ τῆς ἀμέτρου σου ἀγαθότητος! ὅτι γυμνὸς ἐπὶ ξύλου κρεμάμενος, καὶ καθημαγμένος ὅλον τὸ σῶμα ἔκ τε τῶν ἥλων καὶ τῶν μωλώπων, καὶ τοῦ στεφάνου, καὶ παριόντας τοὺς ὑβριστὰς ἐνορῶν, καὶ ἀκούων αὐτῶν κατὰ σοῦ βλασφημούντων μυρία, κερτομούντων, χλευαζόντων, μυκτηριζόντων, οὐκ ἐμέλησέ σοι τῶν ὀδυνῶν, ἢ τῶν ὕβρεων, ἀλλ᾽ ὑπὲρ τῶν σταυρωσάντων σε προσηύχου τῷ οἰκείῳ Πατρί,
» λέγων, „Πάτερ ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην, οὐ
» γὰρ οἴδασι τί ἐποίησαν! τίς λαλήσει τὰς δυναστείας σου Κύριε; τίς ἀριθμήσει τὴν ἀνείκαστόν σου ἀγαθότητα; τίς οὐκ ἂν ἐκπλαγείη τῆς εὐσπλαγχνίας τὸ ἄπειρον πέλαγος; ὤφελον καὶ ἡμεῖς πρὸς τὴν σὴν ἀγάπησιν οὕτω διεθερμάνθημεν, ὡς τὰ σὰ φιλάνθρωπα σπλάγχνα διανίσταται πρὸς συμπάθειαν τὴν ἡμετέραν!

Ἐμνήσθην τῆς τότε ὥρας καὶ ἔφριξα· κατενόησα εἰς τὴν σταύρωσιν ἐκείνην καὶ ἐφοβήθην· καὶ ξένον οὐδὲν, ὅπου καὶ πέτραι διὰ ταύτην ἐρράγησαν, καὶ τὰ ἀναίσθητα στοιχεῖα σεσάλευται. Δεῦτε θεῖαι μυροφόροι στάλαξατε δάκρυα· ἑκατόνταρχε θαύμασον· θεολόγε στέναξον Ἰωάννη· ἄχραντε Θεοτόκε θρήνησον ἐπὶ τούτῳ· καὶ σὺ καρδία σείσθητι· ἄκουε Οὐρανὲ, καὶ ἅπας ὁ τῶν Ἀγγέλων κύκλος, καὶ εἴ τι τάγμα θειότερον· τρομάξατε φάραγγες· θεμέλια τῆς γῆς· σύνετε πάντα τὰ ἔθνη· ὅτι ὁ τῶν πάντων Δεσπότης ἐπὶ σταυροῦ κρεμάμενος ὑπὲρ τῶν σταυρωσάντων αὐτὸν Ἑβραίων ἐπεύχεται τῷ οἰκείῳ
» Πατρὶ „Πάτερ ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην! ταύτην καὶ αὐτὸς Αὐτοκράτωρ, ταύτην καὶ σὺ Βασιλεῦ, ἀλλὰ καὶ σὺ κράτιστε Δεσποτῶν, καὶ ὑμεῖς πάντες Ἄρχοντες, οἰκειότερον δὲ εἰπεῖν, ἄνθρωποι δοῦλοι Χριστοῦ·

ταύτην

ταύτην ἀκούσαντες τὴν φωνὴν παρὰ τοῦ Κυρίου, μέμνησθε ταύτης διηνεκῶς, καὶ γίνεσθε ἀνεξίκακοι, εὔσπλαγχνοι, συμπαθεῖς καὶ μακρόθυμοι τοῖς ὑμῖν πταίουσιν ἅπασι, καὶ μᾶλλον τοῖς ὑπὸ χεῖρα· ἐκεῖνο σαφῶς ὑμῶν ἕκαστος ἐπιστάμενος, ὅτι πᾶς κύριος καὶ πατὴρ καὶ παιδαγωγὸς καὶ διδάσκαλος καὶ ἰατρὸς καὶ νομοθέτης καὶ δικαστὴς εἰς τοῦτο κεῖνται, εἰς τὸ μισεῖσθαι παρὰ τῶν οὓς ἐτάχθησαν ὠφελεῖν, καὶ βαρεῖς καὶ φορτικοὶ καὶ ἀηδεῖς φαίνεσθαι· τὸ δὲ αἴτιον, ὅτι οὐ δι' ὧν τέρπουσιν ὠφελοῦσιν, ἀλλὰ δι' ὧν λυποῦσι· καὶ ἀεὶ φορτικοὶ καὶ ἦσαν καὶ ἔσονται καὶ εἰσὶ, τοῖς μὲν ἀνοήτοις οἱ συνετοὶ, τοῖς ἁμαρτάνουσιν οἱ εὐδόκιμοι, τοῖς ῥαθύμοις οἱ σπουδαῖοι, τοῖς ἀπαιδεύτοις οἱ πεπαιδευμένοι, καὶ τοῖς στρεβλοῖς οἱ ὀρθοί. Τὶ δὲ κακὸν ἢ ξένον γέγονεν, εἰ ὁ ἀπαίδευτος τὰ τοῦ ἀπαιδεύτου πράσσει; τὸ τὰ ἀδύνατα διώκειν, μανικόν· ἀδύνατον δὲ, τὸ τοὺς φαύλους μὴ φαῦλα ποιεῖν, καὶ τοὺς ἀπαιδεύτους ἀπαίδευτα.

Ὅρα μὴ σαυτῷ μᾶλλον ἐγκαλεῖν ὀφείλεις, ὅτι μὴ προσεδόκησας τοῦτον τοῦθ' ἁμαρτήσεσθαι· ἀλλ' ἀχάριστός τις γέγονε περὶ σέ; τὶ γὰρ πλέον θέλεις εὐποιήσας ἄνθρωπον ἄνθρωπε; οὐκ ἀρκεῖ τοῦτο ὅτι κατὰ φύσιν τὴν σὴν ἔπραξας; ἀλλὰ τούτου μισθὸν ζητεῖς; ἔχεις οὖν τὸ σαυτοῦ ποιήσας πρὸ ὃ κατεσκεύασαι· καὶ γὰρ καὶ ἀλλήλων ἕνεκα, καὶ πρὸς συνεργίαν ἕκαστος ἑκάστῳ γεγόναμεν, ὡς πόδες, ὡς χεῖρες, ὡς βλέφαρα· ὡς οὖν οὐδ' ὀφθαλμὸς τοῖς ποσὶν ἀμοιβὴν ἀπαιτεῖ ὅτι βλέπει, οὐδ' οἱ πόδες τούτῳ ἐπεὶ βαδίζουσι, τῷ πρὸς ὃ δὲ πέφυκεν ἕκαστον τῶν μελῶν ἀρκεῖται μόνον, οὕτω καὶ σὺ εὐεργετῶν καὶ ἀχαριστούμενος, καὶ φέρε γενναίως, καὶ χαῖρε νομίμως, καὶ ὑπὲρ ἀμφοτέρων ἀμειφθήσῃ παρὰ Θεοῦ. Τὶ μὴ λέγω τὸ μεῖζον, ὃ μικροῦ με παρέδραμεν; ἐρώτησον σαυτὸν, ἐρώτησον τοὺς φοβουμένους τὸν Κύριον, ἐν τίνι ἔχουσιν οἱ σωζόμενοι τὰς σωτηρίας ἐλπίδας; καὶ πάντως ἐροῦσί σοι, καὶ ὑπὲρ πάντων οἱ πάντες, καὶ ὑπὲρ ἑαυτοῦ ἕκαστος, εἰς τὸ τοῦ Θεοῦ ἐλπίζομεν ἅπαντες ἔλεος· τοῦτο δή ἐστιν ἡ ἄπει-

ρος αὐτοῦ ἀνεξικακία· ἐὰν γὰρ μὴ πρὸς ἡμᾶς ἀνεξικακή-
ση, οὐδεὶς ὁ σωζόμενος· ἐπεὶ ἀνθρώπων οὐδεὶς ἀναμάρτητος,
οὐδ' ἂν ἡμέρα μία ᾖ ὁ βίος αὐτοῦ ἐπὶ γῆς· εἰ δὲ εἰς τὴν τοῦ
Θεοῦ ἀνεξικακίαν ἔχομεν τὴν ἐλπίδα τῆς σωτηρίας, αὕτη
δὲ τοῖς ἀνεξικακοῦσι δίδοται μόνοις, καὶ οὐδενὶ μνησικάκῳ·
καὶ δῆλον ἐξ ὧν ὁ μέλλων κρίναι πᾶσαν τὴν γῆν ἀπεφή-
„ νατο, εἰπὼν „ ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παρα-
„ πτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει
τὰ παραπτώματα ὑμῶν· γενώμεθα λοιπὸν ἀνεξίκακοι
πρὸς τοὺς ὁμοδούλους, ἵνα καὶ τὸ μέγα ἔλεος τοῦ Σωτῆρος
ἐντεῦθεν ἐπισπασώμεθα· ἐπείπερ ἡ ἀνεξικακία, μὴ μό-
νον ἀνεξικακοῦσιν ἁμαρτωλοῖς τὰ ἁμαρτήματα λύει, ἀλ-
λὰ καὶ τοὺς μεγάλους τῶν ἁγίων μεγίστους οἶδε ποιεῖν· ὡς
τὸν Μωσέα ἡ μακαρία ἐκείνη φωνὴ, „ εἰ μὲν ἀφῇς αὐτοῖς
„ τὴν ἁμαρτίαν, ἄφες· ἐπεὶ κἀμὲ ἐξάλειψον ἐκ τῆς βί-
„ βλου ἧς ἔγραψάς με· ὡς τὸν Δαβὶδ „ ἐγὼ ὁ ποιμὴν ἥ-
„ μαρτον, καὶ ἐγὼ ἐκακοποίησα, καὶ οὗτοι τὸ ποίμνιον τί
„ ἥμαρτον; γενέσθω δὴ ἡ χείρ σου ἐπ' ἐμὲ καὶ ἐπὶ τὸν οἶκον
„ τοῦ Πατρός μου· ὡς τὸν Παῦλον „ ἤθελον ἀνάθεμα εἶναι
„ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν τῶν κατὰ σάρκα,
οἵτινες εἰσὶν Ἰσραηλῖται· ἀλλὰ καὶ Στέφανος ὁ τῶν μαρ-
τύρων πρῶτος μετὰ Χριστὸν, καὶ ὁ τῶν Ἱεροσολύμων πρῶ-
τος Ἐπίσκοπος, Ἰάκωβος λέγω ὁ τοῦ Κυρίου ἀδελφὸς, πρὸς
τῶν Ἑβραίων λιθολευστούμενοι ἐν διαφόροις καιροῖς, ὡς ἐκ
συνθήματος οἱ γεννάδαι τὰ γόνατα κλίναντες ὑπὲρ τῶν λι-
„ θαζόντων, ταύτην ἀφῆκαν τὴν φωνὴν „ Κύριε μὴ στήσῃς
„ αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· οὕτως ὑπῆρχον συμπαθῆ
τὰ σπλάγχνα τῶν ἁγίων. Τούτους δὴ τοὺς ἁγίους ἄνθρω-
ποι μιμούμενοι καὶ ἡμεῖς, καὶ τῆς ἐπιτελευτίου φωνῆς αὐ-
τῶν τε καὶ τοῦ δεσπότου Χριστοῦ μεμνημένοι, καὶ ἀνεξίκακοι
γινώμεθα πρὸς τοὺς ἀχαρίστους, καὶ τοῖς ἀγνώμοσιν εὔ-
σπλαγχνοι, καὶ πᾶν ἀγαθὸν τοῖς πειρωμένοις ἐπηρεά-
ζειν ἡμᾶς ἐπευχώμεθα. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον·
δεῖ δὲ λοιπὸν ἐν συνόψει τὰ προῤῥηθέντα ὑμῖν ἀνακεφα-
λαιώσασθαι.

Ἀνεμνήσαμεν, ὅτι φρικωδεστέρα ἐστὶ πασῶν τῶν ἀπ᾽ ἀρχῆς καὶ ἕως αἰῶνος ἡμερῶν ἡ ἁγία καὶ μεγάλη Παρασκευή. Διηγησάμεθα ὅτι ἑπτάτινα ἐχρῆν προηγήσασθαι πρὸς πίστωσιν τῆς τοῦ Λόγου ἐνσάρκου οἰκονομίας. Παρεστήσαμεν ὅτι δι᾽ ἑπτάτινας αἰτίας ἀπαραιτήτους σάρκα εἴληφε, καὶ πάθος ἐν ταύτῃ ὑπέστη ὁ ἀπαθής. Ἀπεδείξαμεν, ὅτι ἐδόξασε μᾶλλον τὸ πάθος καὶ ἐμεγάλυνε τοῦτον, οὐ μὴν καὶ ἐσμίκρυνε καὶ καθύβρισεν. Ἐγνωρίσαμεν ὅτι οὐδεμιᾷ ἀνάγκῃ τυραννηθεὶς ἐνηνθρώπησέ τε καὶ πέπονθε, μόνῃ δὲ τῇ οἴκοθεν ἀγαθότητι. Ἐπιστωσάμεθα κατ᾽ ἐπιτομὴν, ὅτι ἐχρῆν αὐτὸν μὴ μεθ᾽ ἑτέρων, μετὰ δὲ τοιούτων καὶ τοσούτων παθῶν θεραπεῦσαι τὸν ἄνθρωπον. Συνήξαμεν ὅτι οὐκ ἂν ἐπιστεύθη τέλειος ἄνθρωπος εἶναι καὶ Θεὸς ἀληθὴς, εἰ μὴ οὕτω τὰ περὶ τὸ αὐτοῦ πάθος πέπρακται. Καὶ ἐπὶ πᾶσιν, ἠξιώσαμέν τε καὶ αὖθις ἀξιοῦμεν πάντας ὑμᾶς, καὶ δι᾽ ὑμῶν πάντας τοὺς ταῦτα δι᾽ ὑμῶν ἀκουσομένους φιλομαθεῖς, μεμνῆσθαι τῆς ἐπιτελευτίου φωνῆς ἐκείνης τοῦ πάντων Δεσπότου Χριστοῦ, καὶ πᾶσι γενέσθαι καὶ εἶναι ἀνεξικάκους τοῖς ὑφ᾽ ὑμᾶς· ὡς ἂν οὕτω πολιτευόμενοι, καὶ ἀνεπαισχύντως προσευχώμεθα τῷ Θεῷ, λέγοντες „Πάτερ ἄφες ἡμῖν τὰ παραπτώματα ἡμῶν, ὡς καὶ ἡμεῖς τοῖς ἡμῶν ὀφειλέταις ἀφίεμεν· καὶ τῶν ἀχράντων μυστηρίων ἀκατακρίτως μετέχωμεν, καὶ μετ᾽ ὀλίγον μεταστάντες ἐντεῦθεν, τῶν οὐρανίων ἀγαθῶν ἀπολαύσωμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, τῇ τοῦ παθόντος ὑπὲρ ἡμῶν Χριστοῦ, καὶ φιλανθρωπίᾳ, καὶ ἀγαθότητι· ᾧ πρέπει πᾶσα δόξα σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ

# ΛΟΓΟΣ Α'.

## ΠΕΡΙ ΣΥΝΤΕΛΕΙΑΣ·

Ῥηθεὶς ἐπὶ συνελθούσει τῆς Πόλεως, ἐν τῷ τῶν ἁγίων Ἀποσόλων Ναῷ, καὶ τοῦ ἑνὸς τῶν Βασιλέων αὐτόθι παρόντος· διαλαμβάνων φιλοτιμότερον καὶ περὶ τοῦ ἑπτὰ ἀριθμοῦ

Μακάριος ἐγὼ σήμερον κατὰ τοῦτο, ὅτι τοσούτων καὶ τοιούτων σύμμοιρῶ τῶν Ἀκροατῶν· πόθεν; συμμαρτυρεῖ μοι τῷ λόγῳ θεσπεσία τοῦ Προφήτου φωνὴ λέγοντος
„ οὑτωσὶ „ μακάριος ὁ λέγων εἰς ὦτα ἀκουόντων· μακάριος δὲ καὶ ἔτι μᾶλλον γενήσομαι, εἰ ψυχωφελῆ τινα καρπὸν ὑμεῖς ἐκ τῆς ἀκροάσεως ταύτης ἐνέγκητε· οὕτω γὰρ οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ αὐτοὶ μακάριοι ἔσεσθε, οὐ μετὰ θάνατον μόνον, ὥσπερ εἰώθαμεν λέγειν, ὁ Θεὸς μακαρίσαι τὸν δεῖνα· μακάριος ἐκεῖνος ὁ ἄνθρωπος· μνησθείη Κύριος τῆς ἐκείνου ψυχῆς· ἀλλὰ δὴ καὶ πρὸ τελευτῆς, καὶ ἀπ' αὐτῆς αὐτίκα τῆς ὥρας μακάριοι, ἀφ' ἧς τῶν παρ' ἡμῶν λεγομένων ἀκούετε· οὐκ ἐμὸς οὗτος ὁ λόγος ἀλλὰ τοῦ
„ μακαρίου δυνάστου Χριστοῦ „ εἰ ταῦτα οἴδατε λέγοντος, μα-
„ κάριοι ἐστὲ ἐὰν ποιῆτε αὐτά· καὶ ζῶντες ἐνταῦθα μακάριοι, καὶ ἀπελθόντες ἐκεῖσε μακάριοι, καὶ εἰς ἀπείρους αἰῶνας μακάριοι. Ἀλλὰ τοῦ μὲν μακαρισμοῦ τούτου τυχεῖν δοίη τοῖς αἱρουμένοις Θεός· ἐπεὶ δὲ περὶ συντελείας εἰπεῖν ἠρώτησε νῦν ἡμᾶς ὁ Κρατῶν, λοιπὸν περὶ συντελείας ἀκούσατε.

Πότε

Πότε μὲν ἔϛαι ἡ φοβερὰ πᾶσι τῆς συντελείας ἡμέρα, ἐδὲ τῶν πρωτίϛων Ἀγγέλων τις οἶδε, μήτοι γε ἄνθρωπος· ὅτι δὲ ἐγγὺς αὕτη καὶ ἐπὶ θύραις, καὶ ἀπὸ τῦ Χριϛῦ τῶν παραγγελμάτων, καὶ ἀπὸ τῆς φύσεως τῶν πραγμάτων πολλὰ τὰ μαρτύρια. Ἐπεὶ γὰρ κατὰ τὸν θεῖον Ἀπόϛολον, ἡ τῶν Ῥωμαίων ἀρχὴ εἴπερ ποτὲ συνεϛάλη, πᾶσα κακία ἀνθρώπων τετέλεϛαι, καὶ τέλεον ἡ ἀγάπη ἐψύγη, πάντως ὅσον ἔπω τὸ τέλος ἐϛί. Καθάπερ γὰρ σῶμα ψυχοῤῥαγῦν, καὶ ἐγγὺς ὂν τῆς τελευτῆς, μυρίας ἐπισπᾶται κακώσεις· καὶ οἰκείας μελλέσης καταπίπτειν πολλὰ προπίπτειν εἴωθε, καὶ ἀπὸ τῆς ὀροφῆς, καὶ ἀπὸ τῶν τοίχων· ἔτω καὶ τῆς οἰκεμένης ἐπεὶ ἐγγὺς καὶ ἐπὶ θύραις ἕϛηκεν ἡ συντέλεια, διὰ τῦτο τὰ μυρία διέσπαρται πανταχῦ κακά· καὶ καθάπερ ἐπὶ τῆς σκιωῆς, τῦ σκιωῦντος ἀρθέντος αἱ ποικιλίαι διαλύονται, καὶ τὰ ὀνείρατα τῆς ἀκτῖνος φανείσης πάντα ἀφίπταται, ἔτω καὶ νιῶ τῆς κοινῆς συντελείας ἐπερχομένης, πάντα διαλύεται καὶ ἀφανίζεται τὰ καλά. Πῦ γὰρ αἱ συνθῆκαι τῦ βαπτίσματος; πῦ ἡ τῶν ἐντολῶν φυλακή; πῦ ἡ μίμησις τῦ Χριϛῦ; πῦ ἡ ταπείνωσις; ἡ ὑπακοὴ, ἡ ὑπομονὴ, ἡ ἐγκράτεια; πῦ αἱ λοιπαὶ ἀρεταί; ᾤχοντο πᾶσαι ἀθρόον, καταλιπῦσαι ἡμῖν τὰς ἀντιθέτες κακίας αὐτῶν· καὶ καθάπερ ἀναχωρέσης τῆς ψυχῆς ἐκ τῦ σώματος, πάντα νεκρῦται κατ᾽ ὀλίγον τὰ μέλη, καὶ πασῶν τῶν αἰσθήσεων αἱ ἐνέργειαι παύεσιν, ἔτω τῦ κόσμε συντελεμένε, τὸ τῆς ἀρετῆς ζωτικὸν πᾶν ἰδὲ προαφίπταται· καὶ καθάπερ γίνεται πάντα γινόμενα ἐν τῷ χρόνῳ, καὶ γηράσκει πάνθ᾽ ὑπὸ τῦ χρόνε, καὶ ἐπιλανθάνεται διὰ τὸν χρόνον, ἔτω δὴ καὶ ὁ χρόνος ὁ πάντα ποιῶν, γηρῶν καὶ αὐτὸς ὑφ᾽ ἑαυτῦ τῦτο πάχει σαφῶς· ὥϛε φανερὸν εἶναι πᾶσιν ἤδη τὸ τέλος ἐφεϛηκέναι.

Καὶ ἄλλως δὲ τῦτο πρόδηλον· εἰ γὰρ πάντα τὰ ὑπὸ χρόνον καὶ γεγονότα καὶ συνιϛάμενα παρὰ τῆς προνοίας, ἢ μεμέρισαι εἰς ἑπτὰ, ἢ συνίϛαται δι᾽ ἑπτὰ, ἢ

τελευτᾷ

τελευτᾷ εἰς ἑπτὰ, ἐπεὶ ἕβδομος ἄρτι αἰὼν, μᾶλλον δὲ τέλος τοῦ ἑβδόμου αἰῶνος, καὶ διὰ τοῦτο λοιπὸν ἡ συντέλεια ἐπὶ θύραις ἐςί. Καὶ γὰρ ὁ ἑπτὰ ἀριθμὸς μετὰ τῶν ἄλλων, ὧν ἡ γρήγορος καὶ θεολόγος φωνὴ κατηρίθμησεν, ἅτε παρθένος ἐν πᾶσι τὸ τίμιον κέκτηται, καὶ σχεδὸν εἰς πάντα χωρεῖ. Καὶ δὴ σκοπῶμεν· ὅτι τοῦ κόσμου τὰ μέρη ἑπτὰ, Οὐρανὸς, Αἰθὴρ, Πῦρ, Ἀὴρ, Παράδεισος, Θάλασσα, Γῆ. Ὁ Οὐρανὸς πόλοις κοσμεῖται ἑπτὰ, Ἀρκτικῷ, Ἀνταρκτικῷ, Θερινῷ τροπικῷ, Χειμερινῷ τροπικῷ, Ἰσημερινῷ, Μεσημβρινῷ, καὶ Ζωδιακῷ· οἱ τοῦ ἡλίου κύκλοι τετράκις ὄντες ἑπτὰ, τοσούτους Βισέξτους ἐνιαυτοὺς περιέχουσι. Καὶ ἡ σελήνη εἰς τοσάκις ἑπτὰ ἡμέρας τοὺς ἑπτὰ ἑαυτῆς ἀποπεραίνει σχηματισμοὺς, Μηνοειδὴς, Ἀμφίκυρτος, Διχότομος, Πλησιφαὴς, Αὔξουσά τε, καὶ Φθίνουσα, καὶ Ὁλοσόφωτος φαινομένη. Ἥτε Ἄρκτος ἡ μικρὰ, καὶ ἡ Πλοιὰς, ἑκάςη τούτων ἑπτὰ συνίςαται ἄςρασι. Ζῶναι πλανητῶν ἑπτὰ, καὶ πλάνητες ἐν ταύταις οὐ πλείους τῶν ἑπτὰ, Κρόνος, Ζεὺς, Ἄρης, Ἥλιος, Ἀφροδίτη, Ἑρμῆς, καὶ Σελήνη. Κλίματα γῆς ἑπτά· τὸ διὰ Συήνης, τὸ διὰ Μερόης, τὸ δι᾽ Ἀλεξανδρείας, τὸ διὰ Ῥόδου, τὸ δι᾽ Ἑλλησπόντου, τὸ διὰ μέσου Πόντου, καὶ τὸ διὰ Βορυσθένους. Τῶν τῆς γῆς ἀνθέων τὰ εὐωδέςερα καὶ τερπνότερα ἑπτά· Ἀναγαλλὶς, Ἐρυθρόδανον, Ἴον, Νάρκισσος, Ὑάκινθος, Κρῖνον, καὶ Ῥόδον. Τὰ μάλιςα τῶν μετάλλων χρήσιμά τε καὶ τίμια ἑπτά· Μόλιβδος, Σίδηρος, Κασσίτερος, Ὕελος, Χαλκὸς, Ἄργυρος, καὶ Χρυσός. Οἱ ἑπτὰ πλάνητες ἑπτά τινων ζώων, καὶ ἑπτὰ ἀνθέων, καὶ ἑπτὰ μετάλλων, ἀναλογοῦσι τοῖς χρώμασι· Κρόνος μὲν Ὄνῳ, Ὑακίνθῳ τε, καὶ Μολίβδῳ· Ζεὺς δὲ Ἀετῷ, Κρίνῳ, καὶ Ἀργύρῳ· Ἄρης, Λύκῳ, Ἴῳ, καὶ Σιδήρῳ· Ἥλιος, Λέοντι, Ῥόδῳ, καὶ Χρυσίῳ· Ἀφροδίτη Περιςερᾷ, Ἀναγαλλίδι, καὶ Κασσιτέρῳ· Ἑρμῆς Δράκοντι, Ἐρυθροδάνῳ, καὶ Χαλκῷ· Σελήνη, Βοΐ, Ναρκίσσῳ, καὶ Ὑέλῳ.

Ἑπτὰ μέρη τοῦ ἀνθρωπίνου σώματος τὰ ἐκτός· κεφαλὴ, δύο χεῖρες, ςῆθος, κύτος, πόδες διττοί· καὶ

ἑπτὰ μέλη τὰ τούτου πάλιν αὐτός· καρδία, ἧπαρ, πνεύμων, σπλὴν, κοιλία, κύστις, νεφροί. Ἑπτὰ αἰσθητήρια εἰσὶν ἐν τῇ κεφαλῇ· δύο οἱ ὀφθαλμοὶ, ὦτα δύο, ῥὶν σὺν τούτοις διπλῆ, καὶ γλῶσσα ἁπλῆ. Ἡ ἀνθρωπίνη αἴσθησις ἑπτὰ τινῶν λέγεται· ὄψις ὁρατῶν, ἀκοὴ ψόφων, ῥὶν ὀδμῆς, γλῶσσα χυμῶν, στόμα διαλέκτου, σῶμα ψαύσεως, καὶ πνεῦμα διεξόδου. Καὶ αἱ μεθηλικιώσεις τοῦ ἀνθρώπου ἑπτά· Νήπιος καλεῖται, καὶ Παῖς, Μεῖραξ καὶ Νεανίσκος, Ἀνήρ τε καὶ Γέρων ὁ αὐτὸς, καὶ Πρεσβύτης ποτέ. Αἱ σωματικαὶ ἡμῶν ἐκκρίσεις ἑπτά· λήμη, κυψελὶς, κόρυζα, σίελον, ἱδρὼς, οὖρον, καὶ διαχώρημα· ἡ γὰρ γονὴ, καὶ τὸ δάκρυον, οὐ συναριθμεῖται τοῖς περιττώμασι. Καὶ αἱ τοπικαὶ κινήσεις ἑπτά· ἄνω, κάτω, ἔμπροσθεν, ὄπισθεν, δεξιὰ, ἀριστερὰ, καὶ ἡ κυκλοφορική. Τὰ ὁρώμενα πάντα δίς ἐστιν ἑπτά· σῶμα, σχῆμα, χρῶμα, πλῆθος, μέγεθος, ἠρεμοῦν, κινούμενον, τόπος, διάστημα, τραχὺ, λεῖον, ἀμβλὺ, ὀξὺ, καὶ σύστασις. Οἱ γεωργούμενοι τῶν χυμῶν ἑπτά· γλυκὺς, πικρὸς, δριμὺς, αὐστηρὸς, στρυφνὸς, λιπαρὸς, καὶ ὀξύς· μόνος γὰρ ὁ ἁλυκὸς οὐ γεωργεῖται ἐν τοῖς χυμοῖς, ἀλλὰ γίνεται. Συζυγίαι κατὰ τὴν ἀφὴν ἀντικειμένων ἑπτά· ἀντίκειται γὰρ τῷ ξηρῷ τὸ ὑγρὸν, τῷ θερμῷ τὸ ψυχρὸν, τῷ βαρεῖ τὸ κοῦφον, τῷ σκληρῷ τὸ μαλακὸν, τῷ γλίσχρῳ τὸ κραῦρον, τῷ τραχεῖ τὸ λεῖον, τῷ παχεῖ τὸ λεπτόν.

Ἑπτὰ φωνήεντα συμφώνοις ἑπτακαίδεκα συντιθέμενα, τὸν προφορικὸν τοῦτον λόγον στοιχειοῦσιν ἡμῖν. Τὸ ᾱ μόριον αὐτὸ καθ᾽ αὑτὸ σημαῖνον ἑπτά τινα φαίνεται· στέρησιν, ἐπίτασιν, ὁμοῦ, κακόν, ὀλίγον, ἄθροισιν, καὶ πλεονασμόν· στέρησιν, ὡς τὸ ἄφιλος, ὁ ἐστερημένος τῆς Φιλίας· ἐπίτασιν, ὡς ἄτλας ὁ πάνυ καρτερικός· ὁμοῦ, ὡς τὸ ἀδελφὸς, ὁ ἐκ τῆς αὐτῆς δελφύος, ἤτοι τῆς μήτρας· κακὸν, ὡς τὸ ἄφωνος ὁ κακόφωνος· ὀλίγον, ὡς τὸ ἀμαθὴς ὁ ὀλιγομαθής· ἄθροισιν, ὡς τὸ ἅπας· καὶ πλεονασμὸν, ὡς τὸ ἄσταχυς. Ἔντε συλλαβαῖς ἑπτὰ μόρια μόνα ἐπιτατικὰ εὕρηται· ᾱ, νὴ, ζᾱ, λᾱ, δᾱ,

ἐρι, ἀρι· ἆ, ἄασετος ὁ πολύς· νῆ, νήδυμος, ὁ πάνυ ἡδύς· ζᾶ, ζάπλετος, ὁ πάνυ πλέσιος· λᾶ, λάβρος, ὁ πάνυ βαρύς· δᾶ, δαφοινὸς, ὁ πάνυ μέλας· ἐρῖ, ἐριαύχην, ὁ μεγαλοτράχηλος· ἀρῖ, ἀρίδηλος, ὁ πάνυ φανερός.

Δὶς ἑπλὰ προγυμνάσματα Ἀφθονίῳ τοῖς γυμναζομένοις πρὸς λόγους ἐκδέδοται· Μῦθος, Διήγημα, Χρεία, Γνώμη, Ἀνασκευὴ, Κατασκευὴ, Κοινὸς τόπος, Ἐγκώμιον, Ψόγος, Σύγκρισις, Ἠθοποιΐα, Ἔκφρασις, Θέσις, καὶ Νόμου εἰσφορά. Καὶ δὶς ὡσαύτως ἑπλὰ τοῖς δικαζομένοις ἐντέχνως ἐνστάσεις γνωρίζονται· Στοχασμὸς, Ὅρος, Ἀντίληψις, Ἀντίστασις, Ἀντέγκλημα, Μετάστασις, Συγγνώμη, Πραγματικὴ, Ῥητὸν καὶ Διάνοια, Ἀντινομία, Συλλογισμὸς, Ἀμφιβολία, Μετάληψις, καὶ Παραγραφή. Αἱ γενικώταται τῆς Ῥητορικῆς ἰδέαι ἑπλά· Σαφήνεια, Μέγεθος, Κάλλος, Γοργότης, Ἦθος, Ἀλήθεια, καὶ Δεινότης. Καὶ δὶς ἑπλὰ τρόποι Συλλογισμῶν τῷ φιλοσόφῳ ἐξεύρηνται. Ἑπλὰ μάρτυσιν ἄμεμπλος Διαθήκη κυροῦται· καὶ πᾶς τις λαμβάνων ἱερωσύνην ἀμέμπλως, τοσούτοις τὸ κατ᾽ ἀξίαν πιστοῦται. Καὶ ἐπ᾽ ἀριθμοῦ σημασίας ἀπείρου, λαμβάνεται πολλαχοῦ τῆς Γραφῆς ὁ ἑπλά· ὅτι τῆς δεκάδος οὗτος, οὔτε γεννῶν, οὔτε γεννώμενος, ἀριθμὸς παρθένος ὁ ἑπλά· ὅθεν τοῖς καθ᾽ ἡμᾶς Θεολόγοις ἐκεῖνο ἐπῆλθεν εἰπεῖν.

Θεὸς τὸ διπλὸν οὐκ ἔχων τῶν Πνευμάτων,
Φέρει τὸ τριπλὸν οὐδενὸς τῶν σωμάτων·
Αὐτὸς μεταχὼν οὐ ῥεούσης τετράδος,
Αἰσθήσεως πέφυκεν ἔξω πεντάδος·
Κίνησιν οὐ πάχων δὲ διπλῆς ἑξάδος,
Φέρει τὸ σεπλὸν τῆς ἀρίστης ἑπλάδος.

Ἡ τῆς ἡμέρας ὥρα ἑβδόμη κατὰ τὴν τοῦ ἡλίου ἰσημερινὴν κίνησιν, ἀρχὴ ἐστὶ τῆς νυκτός· ὡσαύτως καὶ τῆς νυκτὸς ἡ ἑβδόμη, τῆς ἐπιούσης πάλιν ἡμέρας ἀρχή. Πᾶς ὁ δρόμος τοῦ χρόνου ἀνακυκλεῖται ἑπλαχῶς· ὅθεν οἶμαι

τῷ

τῷ νομοθέτῃ Μωσῇ ἑπλαήμερον ἄρσιν τῆς ζύμης νομοθετῆσαι, καὶ τῷ σοφῷ Σολομῶντι ἑπλὰ τόνδε τὸν βίον προσαγορεῦσαι ἐπινενόηται. Καὶ πρός γε τούτοις τὴν τῶν νοσούντων ἑβδόμην ἡμέραν τοῖς ἰατροῖς εἶναι κρίσιμον. Τὰ κυοφορούμενα ἄῤῥενα ἐν ἀνθρώποις τῇ τῶν ἑβδομάδων ἑβδόμῃ διαμορφοῦται, τρίτῳ μηνὶ τῶν θηλέων διαμορφουμένων. Καὶ τῶν ὀκταμήνων θνησκόντων ἐν τούτοις ὡς τὰ πολλὰ, ἢ πάντῃ ἀγόνων μενόντων, τὰ γεννηθέντα ἑπλάμηνα, καὶ ζῶσι μακρὰν, καὶ τῶν ἐννεαμήνων εἰσὶ γονιμώτερα. Ἔντε ἑβδόμῳ ἔτει ἀποβάλλουσι πάντας τοὺς ὀδόντας οἱ παῖδες, καὶ ἐν τῷ δὶς ἑπλὰ τοῦ γεννᾷν, ἤτοι τοῦ σπείρειν οἱ ἄῤῥενες ἄρχονται. Τὰ τῆς ζωῆς ἡμῶν ἔτη ἑπλὰ δεκάκις ὁ θεῖος εἶναι Δαυὶδ ἀπεφήνατο· καὶ μεταξὺ τῶν ἄκρων αἰώνων αἰῶνες εἰσὶν ἑπλά. Καὶ γοῦν τὸν ἑπλὰ ἀριθμὸν χρόνον ἐκάλουν οἱ παλαιοὶ, καὶ μᾶλλον οἱ Πυθαγόρειοι, ὅτι ἐν ἡμέραις, καὶ ἑβδομάσι, καὶ μησὶ, καὶ ἔτεσι, καὶ αἰῶνι τὸ τέλειον κέκτηται.

Ὁ πρῶτος ἐνεργείᾳ Κύβος ἐν ἀριθμοῖς (*), τετράκις ἑπλά· καὶ εἴδη τριγώνων ἑπλὰ τοῖς Γεωμέτραις ἐκδέδοται· Ὀρθογώνιον, Ὀξυγώνιον, Ἀμβλυγώνιον, Ἰσόπλευρον, Ἰσοσκελὲς, Σκαληνὸν, καὶ Ἀκιδοειδές. Ἡ λύρα ἑπλάχορδος· ἡ μουσικὴ ἀφαιρουμένης τῆς προσλαμβανομένης, δυσὶν ἑπλαχόρδοις συνίσταται· καὶ αἱ φωναὶ τῶν ἐπὶ διπλασιασμῷ ᾀδόντων ἑπλά. Ἡ τῷ τῆς γῆς κέντρῳ κυκλικῶς ἐχομένων σφαιρῶν ἑπλὰς, τῇ τῶν πλανήτων ἑβδομάδι ἐκκέντρῳ ἁρμονικῶς ἡνωμένη, τόδε τὸ πᾶν συμπληροῖ· λέγω δὲ Γῆς, Θαλάσσης, Ἀέρος, Πυρὸς, Σελήνης, Ἑρμοῦ, Ἀφροδίτης, Ἡλίου, Ἄρεος, Διὸς, Κρόνου, Αἰθέρος, Ὕδατος ὑπερῴου, καὶ τῆς Ἀνάστρου σφαίρας, ἤγουν τοῦ τῶν οὐρανῶν οὐρανοῦ. Ἑπλὰς τῶν μαθημάτων· αἱ τεχνικαὶ τρεῖς λέγω δυνάμεις, Γραμματικὴ, Ῥητορικὴ, Διαλεκτικὴ, ταῖς τέσσαρσιν ἐπιστήμαις, Ἀριθμητικῇ δηλαδὴ, Γεωμετρίᾳ, Μουσικῇ, καὶ Ἀστρονομίᾳ εἰς ἓν ἅμα νοῦν ἀθροισθεῖσαι, μαθηματικὸν ἀποτελοῦσι τὸν ταύτας ὡς πρέπει δεξάμενον· καὶ ἡ τῶν ἀρετῶν ἑβδομὰς,

δομὰς, αἱ τρεῖς φημὶ ἠθικαὶ, Πίστις, Ἐλπὶς, καὶ Ἀγάπη, ταῖς τέσσαρσι γενικαῖς, ἤτοι Φρονήσει, Ἀνδρείᾳ, Σωφροσύνῃ, καὶ Δικαιοσύνῃ, εἰς μίαν ψυχὴν συνελθοῦσαι, ἰσάγγελον αὐτὴν ἀπεργάζονται. Ἑπτά τινες θεωρίαι, ἡ περὶ Φυτῶν, ἡ περὶ Ζώων, ἡ περὶ Ἠθῶν, ἡ περὶ Μετεώρων, ἡ περὶ Οὐρανοῦ, ἡ περὶ τὰ Φυσικὰ, καὶ ἡ μετὰ τὰ Φυσικὰ τὸν κατὰ κόσμον κοσμοῦσι φιλόσοφον· καὶ ἑπτὰ πνευματικαὶ ἐργασίαι, Νηστεία, Ἀγρυπνία, Προσευχὴ, Ἡσυχία, Ψαλμῳδία, Ἀνάγνωσις, καὶ Κατάνυξις, τὸν Μοναχὸν ἀπαρτίζουσιν. Ἐξαιρέτων ἑπτὰ φιλοσόφων, ἑπτὰ εἰσὶν ἐξαίρετοι γνῶμαι· Μηδὲν ἄγαν. Γνῶθι σαυτόν. Μέτρον ἄριστον. Καιρὸς τοῖς πᾶσι. Μελέτη τὸ πᾶν. Οἱ πλεῖστοι κακοί· ἢ, Λάθε βιώσας. Ἐγγύη πάρα δ' ἄτα. Καὶ πᾶσαι αἱ ἐν τῇ Κυριακῇ προσευχῇ αἰτήσεις ἑπτά.

Καθὼς ἑπτὰ τάδε πρῶτα πάντως ὧν προηρίθμηται, οὕτω πρῶτος ὁ σοφὸς ἀνθρώπων γε νοῦς ἐστὶν, ὡς κυβερνήτης μὲν ἐν νηῒ, ἄρχων δὲ ἐν τῇ πόλει, στρατηγὸς δὲ ἐν πολέμῳ, καὶ ψυχὴ ἐν σώματι, νοῦς δὲ ἐν ψυχῇ, καὶ οὐρανὸς μὲν ἐν κόσμῳ, Θεὸς δὲ ἐν οὐρανῷ. Καὶ τοῦ ἐν ἀνθρώποις τελείου οἱ ὅροι ἑπτά· Ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. Ζῶον, νοερὸν, αἰσθητικὸν, θείου νοῦ, καὶ ζωῆς αἰωνίου δεκτικὸν, καὶ τῇ ταύτης στερήσει θνητόν. Ποίημα Θεοῦ λογικὸν, κατ' εἰκόνα γενόμενον τοῦ κτίσαντος αὐτό. Ζῶον ἐνταῦθα οἰκονομούμενον, καὶ ἀλλαχοῦ μεθιστάμενον, καὶ τῇ πρὸς τὸ θεῖον νεύσει θεούμενον.

* * * *

. . . ὅστις εὐσέβειαν καὶ ἀρετὴν μετὰ παῤῥησίας ἀσκεῖ· ὁ τὸν Θεὸν φοβούμενος καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάσσων, καὶ ὁ τὴν εἰκόνα σώζων, καὶ τὸ πρωτότυπον κάλλος μὴ ἀφανίζων.

Καί γε ἑπτὰ θεάματα μέγιστα γέγονεν ἐν τῇ οἰκουμένῃ. Ἱερὸν Κυζίκου, Καπιτώλιον Ῥώμης, ἑπτάπυλοι Θῆβαι,

Θῆβαι, Μαυσώλου τοῦ Καρὸς τάφος, Κολοσσὸς ἐν Ῥόδῳ, Βαβυλώνια τείχη, καὶ Πυραμίδες Αἰγύπτου. Ἑπτὰ λόφοις τὸ θεῖον τὴν Μεγαλόπολιν ταύτην ἐκόσμησε· καὶ οἱ κατὰ καιροὺς Βασιλεῖς ἑπτὰ θεάμασιν αὐτὴν ἐκαλλώπισαν. Ἀπὸ τῶν ζώων τῶν καθαρῶν ἑπτὰ ἑπτὰ τῷ Νῶε λαβεῖν προσέταξεν ὁ Θεός. Ἑπτὰ ἀμνάδας ὁ Ἀβραὰμ εἰς μαρτύριον παρέχει τῷ Ἀβιμέλεχ ὑπὲρ τοῦ φρέατος· καὶ μετ' αὐτὸν ἕβδομος γενεαλογεῖται ὁ πρῶτος ἐν νομοθέταις Μωσῆς. Δὶς ἑπτὰ βόες, καὶ δὶς ἑπτὰ στάχυες ἐν ὕπνοις ἐφάνησαν ἐν Αἰγύπτῳ τῷ Φαραῷ. Ἑπτὰ ἔτη ὁ ἐπ' αὐτοῦ λιμὸς ἐπεκράτησεν. Ἑπτὰ σειραῖς ὁ μέγας Σαμψὼν ἐκοσμεῖτο τὴν κεφαλὴν, καὶ ἑπτὰ καλωδίοις καινοῖς ἑαυτὸν δεθῆναι ἐπισκήπτει τῇ Δαλιδᾷ. Ἑβδομήκοντα ἑβδομάδες πρὸς τοῦ παγκράτορος ἐπὶ τὴν Πόλιν τὴν ἁγίαν ποτὲ συνετμήθησαν, καὶ τὸν Ἰσραηλίτην λαόν· καὶ ἀπὸ ἐξόδου λόγου, ἕως Χριστοῦ ἡγουμένου ἑπτὰ ἑβδομάδας εἶναι, ὁ Γαβριὴλ συνετίζει τὸν Δανιήλ. Τρεῖς ἑβδομάδας ἡμερῶν, οὕτοσὶ ὁ Προφήτης νενηστευκέναι φησί. Καὶ ἡ ἐν Βαβυλῶνι ἀναφθεῖσα ποτὲ τρισὶ παισὶ κάμινος, καὶ ἑπταπλασίως ἐκκέκαυται, καὶ πήχεις ἑπτάκις ἑπτὰ ἡ φλὸξ ταύτης ἐκκέχυται. Ἡ πάλαι τοῦ μαρτυρίου σκηνὴ ἐν μησὶ κατεσκευάσθη ἑπτά. Ὅγε ναὸς ὁ ὑπὸ Σολομῶντος οἰκοδομηθεὶς τῷ Κυρίῳ ἐν ἑπτὰ ἔτεσι, καὶ ἐν μησὶν ἑπτά· καὶ ὁ ὑπὸ Ζοροβάβελ ὁμοίως ἐν ἔτεσιν αὖθις ἑπτά.

Τὰ τοῦ Προφήτου Ἠλιοῦ ἐξαίσια ἔργα ἑπτά· τριῶν ἐτῶν καὶ ἡμίσεως αὐχμὸς ἐπὶ γῆς· ἀλεύρου τε καὶ ἐλαίου πλεονασμός· παιδὸς ἀνάστασις· πυρὸς ἐπὶ θυσίαν ἐπίκλησις· δύο πεντηκοντάρχων κατάφλεξις σὺν τοῖς ὑπ' αὐτούς· ἡ διὰ μηλωτῆς Ἰορδάνου διαίρεσις· καὶ ἡ διὰ πυρίνου ἅρματος ἁρπαγὴ αὐτοῦ, ὡς εἰς τὸν οὐρανόν. Καὶ τὰ τοῦ μαθητοῦ αὐτοῦ Ἐλισσαίου δὶς αὖθις ἑπτά· ποταμίων ὑδάτων ἀνακοπὴ διὰ μηλωτῆς· καὶ ἀτεκνούντων ὑδάτων δι' ἅλατος ἴασις· τεσσαράκοντα δύο παίδων ἐφυβριζόντων διὰ δύο Ἄρκτων πρόωρος θάνατος· ἐν ἀνυδρίᾳ

ποταμοῦ παραγωγὴ, αὐχμὸν ἅμα λύοντος, καὶ νίκην ἐργαζομένου· ἐλαίου βραχέως πληθυσμός· λύσις στειρώσεως· καὶ θανόντος παιδαρίου ἀνάστασις· θανασίμου ἑψήματος τῆς τολύπης εἰς εὐχρηστίαν μεταβολὴ, σὺν χορτασίᾳ ἀνδρῶν ἑκατὸν ἐν ἄρτοις ὀλίγοις ἐν λιμῷ· Νεεμὰν κάθαρσις· Γιεζῆ λέπρωσις· πελέκεως διὰ ξύλου ἐκ βυθοῦ ἀνάδοσις· ἐπὶ τοὺς πολεμίους ἀορασίας ἐπαγωγή· παρασκευὴ φυγῆς τῶν πολυορκούντων δεινῶς τὴν Σαμάρειαν, σὺν ἀφθονίᾳ σίτου καὶ κριθῆς· καὶ νεκροῦ ἐπιρριφέντος τῷ τούτου νεκρῷ ἐξανάστασις. Ἑπτάκις λούσασθαι τῷ Νεεμὰν ἐν τῷ Ἰορδάνῃ, καὶ καθαρθῆναι τῆς λέπρας ὁ αὐτὸς ἐπιτρέπει.

Καὶ ἑπταπλασίονα ἑαυτοῦ γενέσθαι τὸν ἥλιον μετὰ τὴν συντέλειαν ὁ Ἡσαΐας φησί. Λυχνίαν ἑπαρυστρίσιν ἑπτὰ κεκοσμημένην, ἐν Πνεύματι ὁ τῶν προφητῶν δέκατος πρῶτος Ζαχαρίας τεθέαται. Ὅτι μυστήρια τῆς Ἐκκλησίας ἑπτά· Βάπτισμα, Χρίσις Μύρου, Ἅγιον ἔλαιον, ἐν Κυρίῳ γάμος, Χειροτονία, Ἐξομολόγησις, καὶ Μετάληψις. Τῆς τε θείας οἰκονομίας ἑπτά· ὅτι ἀσπόρως ὁ τοῦ Θεοῦ Λόγος συνελήφθη· ὅτι ἄνευ ὠδίνων ἐτέχθη· ὅτι ἔπαθε τῇ σαρκί· ὅτι ἡ ψυχὴ αὐτοῦ κατῆλθεν εἰς ᾅδην· ὅτι ἀνέστη· ὅτι ἀνῆλθε· καὶ ὅτι ἐλεύσεται. Ἀλλὰ καὶ περὶ τὸ τῆς Θεότητος μεγαλεῖον ἑπτὰ ἡμῖν ἄρθρα πιστεύεται· ὅτι εἷς ὁ Θεὸς, ἤγουν μία Θεότης ἐστίν· ὅτι ὁ Πατὴρ ἐν αὐτῇ θεωρεῖται· ὅτι Υἱός· ὅτι Παράκλητος· ὅτι ποιητὴς ἡμῶν ὁ αὐτὸς ἐστὶ καὶ προνοητής· ὅτι αὐτὸς ἡμῖν ἐχαρίσατο υἱοθεσίαν διὰ βαπτίσματος· καὶ ὅτι ἀνάστασιν ἡμῖν σαρκὸς, καὶ ζωὴν χαρίσεται τὴν αἰώνιον. Ἀπὸ Ἀβραὰμ ἕως Χριστοῦ ἑξάκις ἑπτὰ γενεὰς ὁ Εὐαγγελιστὴς Ματθαῖος ἐκδίδωσι· καὶ ἑπτὰ Ἐκκλησίαις ὑπ' Ἀγγέλων ἑπτὰ τηρουμέναις τὴν πρὸς αὐτὸν ἀποκάλυψιν ὁ θεολόγος διέξεισι· καὶ δῆτα τὸ ἐκφερόμενον παρ' αὐτοῦ ἐν τῇ Ἀποκαλύψει ταύτῃ βιβλίον, ἐσφραγισμένον φησὶν εἶναι σφραγῖσιν ἑπτά. Ἀρετῶν ἑπτάδα τῇ πίστει ἐπιχορηγεῖν ὁ κορυφαῖος ὑποτίθεται Πέτρος· καὶ ὁ θειότατος Παῦλος δυσὶν ἑπτάσιν Ἀποσό-

λων

λων τὴν Ἐκκλησίαν κατακοσμεῖ. Ἑβδόμη ὥρᾳ τοῦ πυρετοῦ ἀπηλλάχθαι τὸν τοῦ Βασιλικοῦ παῖδα ἐν τοῖς Εὐαγγελίοις ἀκούομεν· καὶ τὴν προφῆτιν Ἄνναν ἑπτὰ ἔτη μετὰ τοῦ ἀνδρὸς αὐτῆς ζήσασαν.

Ἑπτὰ βαθμοὶ ἱερωσύνης, ἢ τάγματα τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν πυκάζουσιν· Ἀναγνῶσται, Ὑποδιάκονοι, Διάκονοι, Ἱερεῖς, Ἐπίσκοποι, Μητροπολῖται, καὶ Πατριάρχαι· καὶ ἑπτὰ Σύνοδοι οἰκουμενικαὶ κλονουμένην αὐτὴν ἐπεστήριξαν. Ἑπτὰ δεκάκις Προφητῶν ἐξαίρετοι τὸν Χριστὸν ἐκήρυξαν· καὶ ὀπαδοὶ τῶν δώδεκα Ἀποστόλων, ἑπτὰ δεκάκις Ἀπόστολοι παρ᾽ αὐτοῦ ἀνεδείχθησαν· ὧν τοὺς μὲν, αἱ δώδεκα πηγαὶ τῶν ὑδάτων, τοὺς δὲ τὰ ἑβδομήκοντα τῶν φοινίκων στελέχη εἰς τὴν Ἐλεὶμ, ἤτοι τὴν Ῥαιθῶ προετύπωσαν. Ἑπτὰ Διάκονοι, πρώτως ὑπό τῶν Ἀποστόλων κεχειροτόνηνται, Στέφανος, Φίλιππος, Πρόχωρος, Νικάνωρ, Τίμων, Παρμενᾶς, καὶ Νικόλαος. Ἑπτὰ παῖδες ἀνδρικώτατα μέχρις αἵματος ἤθλησαν ὑπὲρ τῶν Πατρίων οἱ Μακκαβαῖοι· Ἄβιβος, Ἀντωνῖνος, Γουρίας, Ἐλεάζαρ, Εὐσεβωνᾶς, Σαμωνᾶς τε, καὶ Μάρκελλος. Καὶ ἑπτὰ παῖδες ἐκ νεκρῶν ἀναστάντες τὴν κοινὴν ἀνάστασιν ἐπιστώσαντο οἱ ἐν Ἐφέσῳ. Μαξιμιλιανὸς, Ἰάμβλιχος, Ἐξακουστοδιανὸς, Διονύσιος, Ἀντωνῖνος, Κωνσταντῖνος, καὶ Ἰωάννης. Ἁγίων τάγματα ἑπτὰ εἰσὶν ἐν τοῖς οὐρανοῖς· Ἀπόστολοι, Μάρτυρες, Προφῆται, Ἱεράρχαι, Ὅσιοι, Δίκαιοι, καὶ τῶν ἁγίων γυναικῶν ἡ πληθύς. Καὶ ἑπτὰ ἱερεῖς Εὐχελαίῳ τοὺς κάμνοντας σώζουσι. Τῶν ἐπισήμων αἱ ἐτήσιοι μνῆμαι τῆς Θεοτόκου ἑπτὰ, Σύλληψις, Γέννησις, Εἰσόδια, Ἐπιλόχια, Ἀκάθιστος, τὰ Καταθέσια τῆς τιμίας Ἐσθῆτος, καὶ τὰ τῆς Ζώνης αὐτῆς· ἡ γὰρ Κοίμησις ταύτης ταῖς δεσποτικαῖς ἑορταῖς, οὐ μέντοι ταύταις συναριθμεῖται· καθὰ δὴ ὅ, τε θεῖος Εὐαγγελισμὸς, καὶ ἡ ταύτης Ὑπαπαντή. Καὶ αἱ τοῦ θείου Προδρόμου ὡσαύτως ἑπτά· Σύλληψις, Γέννησις, Ἀποτομὴ, τῆς αὐτοῦ δεξιᾶς Ἀνακομιδὴ εἰς τὴν βασιλεύουσαν, καὶ τριττὴ Εὕρεσις τῆς αὐτοῦ Κάρας.

Ὅτι ἑπλὰ ἀναστάσεις πρὸ τῆς τȣ̃ Κυρίȣ γεγόνασι· πρώτη, ἡ τȣ̃ τῆς Σαραφθείας παιδός· δευτέρα, ἡ τȣ̃ τῆς Σωμανίτιδος· τρίτη, ἡ τῷ λειψάνῳ Ἐλισσαίȣ γενομένη· τετάρτη, ἡ ἐν Ναΐν· πέμπλη, ἡ τῆς τȣ̃ Ἰαείρȣ θυγατρός· ἕκτη, ἡ τȣ̃ Λαζάρȣ· καὶ ἑβδόμη, ἡ ἐν τῷ πάθει τȣ̃ Χριςȣ̃· πολλὰ γὰρ σώματα τότε τῶν κεκοιμημένων ἠγέρθη· αἷς ἐπηκολȣ́θησεν ὀγδόη ἡ τȣ̃ Κυρίȣ· δηλȣ̃ντος τȣ̃ πράγματος, ὡς ἡ κατὰ τὸν ὄγδοον αἰῶνα ἐσομένη ἀνάςασις, ȣ̓κέτι θανάτῳ διακόπλεται. Ἑβδόμη τῆς νυκτὸς ὥρᾳ ἡ τȣ̃ Κυρίȣ ἀνάςασις γέγονε, καὶ ἡ παγγενὴς τȣ̃ γένȣς ἡμῶν ἐξανάςασις, νυκτὸς ὥρᾳ ἑβδόμῃ τοῖς εὐσεβέσιν ἐλπίζεται. Ἑπλά τινα ἦσαν ἀναγκαιότατα, ἐν τῇ ἐπὶ γῆς τȣ̃ Θεȣ̃ Λόγȣ ἐνσάρκῳ πορείᾳ γενέσθαι, ὥςε τȣ̃τον Θεὸν καὶ ἄνθρωπον γνωρισθῆναι, ἅπερ δὴ πάντα καὶ γέγονε τῇ τȣ́τȣ χάριτι ἐναργῶς· πρῶτον, κήρυξις τȣ̃ μέλλοντος, ὅτι ἔρχεσθαι μέλλει καὶ ȣ̔́τω παθεῖν· δεύτερον, ἐναλλαγὴ καὶ νίκη τῆς φυσικῆς τάξεως ἐν αὐτῷ· τρίτον, τὸ πάντα αὐτὸν ἀμέμπλως τὰ ἀδιάβλητα πάθη ὑποςῆναι, ἅτε τέλειον ἄνθρωπον· τέταρτον, πάντα τὰ τȣ̃ νόμȣ πληρῶσαι ἐντάλματα· πέμπλον, ὅσα ἂν εἶπε προςάγματι, ἢ προῤῥήσει, ἀπαραβάτως γενέσθαι· ἕκτον, μαρτυρηθῆναι πρὸς τȣ̃ Θεȣ̃· καὶ ἕβδομον, τὸ καὶ ὡς Θεὸν καὶ δεσπότην ἐπιγνωσθῆναι παρὰ πάσης τῆς κτίσεως.

Ἡ τῶν ὀρθοδόξων νηςεία ἑπλὰ ἑβδομάσιν ἐκτείνεται· καὶ οἱ ἑπλὰ λογισμοὶ τῆς κακίας ὑπὸ ἑπλὰ ἀρετῶν ἀντιθέτων αὐτοῖς ἀφανίζονται· ἀναιρεῖται γὰρ ὑπὸ μὲν τῆς ἐγκρατείας ἡ γαςριμαργία, ὑπὸ δὲ τῆς τῶν μελλόντων ἐφέσεως ἡ πορνεία, ὑπὸ δὲ τῆς συμπαθείας τῆς πρὸς τȣ̀ς πένητας ἡ φιλαργυρία, ὑπὸ δὲ τῆς πρὸς τȣ̀ς πάντας ἀγάπης ἡ ὀργὴ, ὑπὸ δὲ τῆς πνευματικῆς χαρᾶς ἡ κοσμικὴ λύπη, ὑπὸ δὲ τῆς ὑπομονῆς ἡ ἀκηδία, ὑπὸ δὲ τῆς κρυπλῆς τῶν ἀρετῶν ἐργασίας ἡ κενοδοξία. Ἑπλὰ ἐλεημοσῦναι σωματικαὶ, ἤγȣν εἰς τὰ σώματα τῶν ἐλεȣμένων γινόμεναι· τρέφειν τὸν πεινῶντα, ποτίζειν τὸν διψῶντα,

ψῶντα, ἐνδύειν τὸν γυμνὸν, συνάγειν τὸν ξένον, ἐπισκέπτεσθαι τὸν ἀσθενῆ, λυτροῦσθαι τὸν αἰχμάλωτον, καὶ θάπτειν τὸν τεθνηκότα· καὶ αἱ πνευματικαὶ ἑπτὰ, δηλαδὴ αἱ τὰς ψυχὰς τῶν δεχομένων αὐτὰς τρέφουσαι· διδάσκειν τοὺς ἀμαθεῖς, συμβουλεύειν τοῖς διστάζουσι, παραμυθεῖσθαι τοὺς λυπουμένους, σωφρονίζειν τοὺς ἁμαρτάνοντας, ἀφιέναι τοῖς προσκρούσασι, φέρειν τοὺς φορτικοὺς, καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν. Ἐπὶ πᾶσι τούτοις, οὐ φοβεῖται θάλασσαν ὁ μὴ πλέων, οὐδὲ πόλεμον ὁ μὴ στρατευόμενος, οὐδὲ λῃστὰς ὁ οἰκουρῶν, οὐδὲ συκοφάντας ὁ πένης, οὐδὲ φθόνον ὁ ἰδιώτης, οὐδὲ σεισμὸν ὁ ἐν Γαλάταις, οὐδὲ κεραυνὸν ὁ ἐν Αἰθιοπίᾳ· ὁ δὲ τὴν ἁμαρτίαν ποιῶν, καὶ ἐγρηγορὼς ἀεὶ καὶ καθεύδων, καὶ τὰ ἑπτὰ δέδοικεν. Ὑψηλὰ τὰ Καυκάσια ὄρη, καὶ πλατέα τὰ πεδία τῆς Λιβύης, κατακρατεῖ τὸ ψύχος εἰς Βορρᾶν, καὶ ὁ καύσων εἰς τὸν Νότον. Ἰσχυρὸς ἐν τετράποσι Λέων, καὶ Ἀετὸς ἐν πετεινοῖς, καὶ Δράκων ἐν ἑρπετοῖς· ὁ δὲ τὸν Θεὸν φοβούμενος, καὶ τὰ ἑπτὰ ὑπερβὰς, πάντων ἐστὶν ὑψηλότερος.

Καὶ ταῦτα μὲν ἡμῖν ἐκ τῶν σποράδην εἰλημμένων συντέτακται· ὁ δὲ Γρήγορος καὶ θεολογικώτατος νοῦς τῆς τοῦ ἑπτὰ τιμῆς πολλὰ μὲν εἶναι τὰ μαρτυρία λέγει, ὀλίγα δὲ τούτων ἡμῖν ἐξαρκεῖν· ὡς ἑπτὰ μὲν ὀνομαζόμενα πνεύματα, κεκαθαρμένα δὲ τὰ λόγια τοῦ Κυρίου ἑπταπλασίως· καὶ ὁ μὲν δίκαιος ἑξάκις ἐξαιρούμενος, ἐν δὲ τῷ ἑβδόμῳ μηδὲ πληττόμενος· ὁ δὲ ἁμαρτωλὸς οὐχ ἑπτάκις μόνον, ἀλλ' ἑβδομηκοντάκις ἑπτὰ συγχωρούμενος· καὶ Κάϊν μὲν ἐκδικούμενος ἑπτάκις, ὁ δὲ Λάμεχ ἑπτάκις ἑπτά· οἱ δὲ πονηροὶ γείτονες ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν ἀπολαμβάνοντες· ἑπτὰ μὲν στύλοις ὁ τῆς Σοφίας οἶκος ἐπερειδόμενος· τοσούτοις δὲ ὀφθαλμοῖς ὁ τοῦ Ζοροβάβελ λίθος κοσμούμενος· ἑπτάκις δὲ τῆς ἡμέρας ὁ Θεὸς αἰνούμενος· καὶ μὴν καὶ στεῖρα τίκτουσα ἑπτὰ, ἡ τῆς ἀτελοῦς ἐν τέκνοις ἀντίθετος· ὁ ἕβδομος ἐν τοῖς προγόνοις Ἐνὼχ τῇ μεταθέσει τετιμημένος· ὁ εἰκοστὸς πρῶτος Ἀβραὰμ τῇ

Πατριαρχία δεδοξασμένος· ὅ, τε νέος Ἀδὰμ ἑβδομηκοστὸς ἕβδομος ἀπὸ τοῦ παλαιοῦ ἀριθμούμενος· ἑπτὰ σάλπιγγες Ἰησοῦ τοῦ Ναυῆ, καὶ ἑπτὰ ἱερεῖς ἐν ἑπτὰ ἡμέραις, καὶ ἑπτὰ περιόδοις, τὰ Ἱεριχόντια τείχη κατέσεισαν· ἡ ἑβδόμη κατασκοπὴ τοῦ νέφους, τῷ τοῦ Ἠλιοῦ παιδαρίῳ προστεταγμένη· Ἐλισσαίου ἡ ἴση διάκαμψις ἐπὶ τὸν παῖδα τῆς Σωμανίτιδος· καὶ ἡ ἑπτάλυχνος τοῦ ναοῦ λυχνία· ἐν ἑπτὰ ἡμέραις ὁ ἱερεὺς τελειούμενος, καὶ ἐν ἑπτὰ ἡμέραις ὁ λεπρὸς καθαιρόμενος· ἐν τοσαύταις δὲ ὁ Ναὸς ἐγκαινιζόμενος· ἑβδομηκοστῷ δὲ ἔτει ὁ λαὸς ἐκ τῆς αἰχμαλωσίας ἐπαναγόμενος· ἑπτὰ ἄρτοις τετράκις χιλίους ἄνδρας ὁ Κύριος ἔθρεψεν ἐν ἐρήμῳ τὸ δεύτερον, ὧν τὰ λείψανα σπυρίδες πλήρεις ἑπτά· ἡ τῶν ἡμερῶν ἑβδόμη τιμία, τὸ Σάββατον παρ' Ἑβραίοις, καὶ ἡ τῶν ἑπτὰ ἑβδομάδων ἐσχάτη ἡμέρα κλητὴ ἡ Πεντηκοστή· ὁ ἑβδοματικὸς ἐνιαυτὸς ἀφέσιμος παρ' αὐτοῖς, καὶ ὁ τεσσαρακοστὸς ἔνατος τιμιώτατος· καὶ ἵνα μὴ μακρηγορῶμεν ἀπέραντα, ἐπεὶ πάντα τὰ ἐν τῷ κόσμῳ, καὶ ὁ χρόνος αὐτὸς, ἢ δι' ἑπτά τινων συνίσταται, ἢ εἰς ἑπτὰ μερίζεται, ἢ εἰς ἑπτὰ τελευτᾷ, ὡς ἔδειξεν ἀπὸ μέρους τὰ εἰρημένα, καὶ τὸ συμπαρεκτεινόμενον ἄρα χρονικὸν τῇ συστάσει τοῦ κόσμου διάστημα, τῷ ἐνεστῶτι τούτῳ ἑβδόμῳ αἰῶνι συγκαταλήξειν δοκεῖ.

Ἀλλ' ἐπεὶ ὅσον ἐγὼ φιλοτιμοῦμαι δαπανῆσαι τὸν λόγον, τῷ πλεῖστα παράγειν τὰ συνιστῶντα τοῦτον μαρτύρια, αὐτὸς ἑτεροτρόπως, ὡς ὁρῶ, μᾶλλον αὔξεται, λοιπὸν παραιτησάμενος τὸ φιλότιμον, ἐπὶ τὴν συνήθη παραίνεσιν τρέπομαι, τὸ περὶ συντελείας εἰπεῖν ἀκριβέστερον ταμιευσάμενος εἰς τὴν ἐπιοῦσαν ἀκρόασιν. Καὶ δὴ συνέτε, ὅτι ὥσπερ τῆς κοινῆς συντελείας ὁ καιρὸς ἀπὸ τοῦ Ἀδὰμ ἔλαβε τὴν ἀρχὴν, καὶ πρόεισι καθ' ἑκάστην, οὕτω καὶ τῶν ἀνθρώπων ἑκάστου τὸ τέλος ἀφ' ἧς ἡμέρας γεγένηται ἤρξατο, καὶ κατ' αὐτὸν ἐκεῖνον, ὁποῖος ἂν εἴη, καὶ ὅταν, συντέλεια ἐστὶν ἀληθής· ναὶ δὴ καὶ τῆς συντελείας τοῦ κόσμου προδήλως ἐγγύτερον· εἰ δὲ τοῦτο μὲν ἐγγυτέρω καὶ πρότερον, ἐκεῖνο δὲ πορρωτέρω καὶ ὕστερον,

περὶ

περὶ μὲν ἐκείνου ζητεῖν ἐατέον, περιττὴ γὰρ ἡ τοιαύτη ζήτησις· τί γὰρ ἡμᾶς ὠφελήσει τὸ μαθεῖν, ἢ ἐπίςασθαι ἀκριβῶς, πότε ἔςαι συντέλεια; ὅτι πρὸ ἐκείνης αὔριον ἴσως, ἢ καὶ πρὸ τῆς αὔριον ἀποθνήσκομεν· περὶ δὲ τούτου φροντιςέον καὶ πάνυ, οὐ τὸ μαθεῖν πότε τὸ ἐμὸν, ἢ τὸ σὸν τέλος ἔςαι, ἀλλ᾽ ἑτοιμασθῆναι πρὸ τοῦ ἡμῖν ἐπιςῆναι τὴν ὥραν ἐκείνην αἰφνίδιον· καὶ ταύτην γὰρ συμφερόντως ἀπέκρυψεν ἡμῖν ὁ Θεὸς, ὥσπερ ἄρα καὶ τὴν παντὸς τοῦ κόσμου συντέλειαν· εἰ γὰρ προήδειμεν ταύτας, οὐδεὶς ἂν ἡμῶν πρὸ χρόνου ἡτοίμαςο πρὸς τὴν ἔξοδον· καὶ πλεῖςοι ταῖς λύπαις τηκόμενοι, πρὶν ἂν ἀποθανεῖν ἐτεθνήκεσαν· καὶ αὖ διὰ τὴν ἀσθένειαν, καὶ τὸν ἄλογον πρὸς τὸν θάνατον φόβον, τοῦ τελευταίου πολλοῖς μηνὸς ἐπιςάντος προαπέθνησκον ἂν, τὸ τοῦ λόγου, ἵνα μὴ ἀποθάνωσιν. Ἀλλ᾽ ἐκείνῳ μὲν δόξα καὶ χάρις, οἰκονομοῦντι πανσόφως τῷ οἰκείῳ πλάσματι τὰ σωτήρια· ἡμῖν δὲ πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν ἑτοιμαςέον, ὅτι ἡ ἑτοιμασία δευτέρα ἐςὶ δημιουργία, καὶ τὸ ἀνέτοιμον ἐπὶ πάντων προτέρα συντέλεια.

Καὶ δὴ περὶ ἑτοιμασίας ἀπαραιτήτου ἐνλεῦθεν σκοπεῖτέ μοι λέγοντι· σκοπήσατε πάντα τὸν περίγειον κόσμον κοιλίαν εἶναι τινὰ μητρικήν· βρέφη δὲ διαμορφούμενα ἐν αὐτῷ, ὡς ἑκάςῳ προαίρεσις, πάντας τοὺς ζῶντας ἀνθρώπους· ἐννεάμηνον δὲ χρόνον τὸν τῆς ζωῆς ἡμῶν δίαυλον· κόσμον δὲ ἄλλον εἰς ὃν γεννώμενοι πρόειμεν καὶ βιοῦμεν ἀπέραντα, τὸν μέλλοντα ἐκεῖνον αἰῶνα· ὡς οὖν ἕκαςος ἡμῶν προαιρεῖται, οὕτως ἑαυτὸν διαρθροῖ πλάσιν ἀρίςην, ἢ αἰχίςην διάπλασιν, ὥςε ἢ φωςῆρα γενέσθαι ἀνέσπερον, ἢ τέρας γεννᾶσθαι, καὶ μένειν ἐξῆς δακρύων ἄξιον θέαμα. Εἰ δὴ ταῦθ᾽ οὕτως ἔχει, πάντες οἱ θέλοντες αὐτοὺς καλῶς διαπλάσαι, πρόσχωμεν ἀκριβῶς, πῶς λόγος ὁ παντουργέτης ἑρμηνεύει τοὺς αὐτῷ πειθομένους μεταποιεῖσθαι καὶ ἀναπλάττεσθαι. Μακάριοι οἱ πτωχοὶ τῷ Πνεύματι· αὕτη ἀρχὴ, καὶ κεφαλὴ τῆς νοητῆς διαπλάσεως. Μακάριοι οἱ πενθοῦντες, ταῦτα τὰ ὄμματα. Μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐ-

τὸν,

τὸν, ἴδε τὰ ὦτα. Μακάριοι οἱ πραεῖς, ὁρᾷς εἶναι εὔθετον; Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, τοῦτο τὸ στόμα. Μακάριοι οἱ ἐλεήμονες, αὗται αἱ χεῖρες. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, τοῦτο τὸ στῆθος ἅγιον. Μακάριοι οἱ εἰρηνοποιοὶ, ἥδε ὀσφύς. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, οὗτοι οἱ πόδες. Ταῦτα τὰ καίρια μέρη, τῇ προῤῥηθείσῃ κεφαλῇ κάλλιστα ἐπιπρέποντα· αὕτη ἡ διάπλασις ἐκείνων τῶν νηπίων· ταύτης τῆς κεφαλῆς μερὶς ἀναφαίρετος ἡ βασιλεία τῶν οὐρανῶν· οὗτοι οἱ ὀφθαλμοὶ παρακληθήσονται ἐν θέᾳ φωτὸς ἀνεσπέρου· ταῦτα τὰ ὦτα ἀκούσεται, δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· αὕτη ἡ ὄσφρησις, καὶ τὴν γῆν τῶν πραέων κληρονομήσει, καὶ τὰ τῆς Ἐδὲμ ἄνθεα ὀσφρανθήσεται· τοῦτο τὸ στόμα φάγεται ἄριστον, καὶ καινὸν ποτήριον πίεται ἐν τῇ τραπέζῃ τοῦ Θεοῦ· αὗται αἱ χεῖρες ἐλεηθήσονται ἐφαψάμεναι τοῦ ξύλου τῆς ζωῆς· αὕτη ἡ καρδία τὸν Κύριον, οὐκ ἐν αἰνίγμασιν οὐδ᾽ ἐν ἐσόπτροις, πρόσωπον δὲ πρὸς πρόσωπον ὄψεται· αὕτη ἡ ὀσφὺς, εἰρήνην περιζώσεται διηνεκῆ καὶ ἀνέκφραστον· καὶ οὗτοι οἱ πόδες, εἰς ἔδαφος τὸν ἀνωτάτω ἕξουσιν οὐρανόν.

Ἐμάθετε τῆς σωζομένης ψυχῆς τὴν διάπλασιν παρὰ τοῦ πλάστου ἡμῶν; εἴδετε οἷα ταύτης τὰ ὁλόκληρα μέλη; ἐσκέψασθε τούτων τὸ χρήσιμον; στοχάσασθε δὴ καὶ τῶν μὴ ἑαυτοὺς διαρθρούντων τὴν ἀμορφίαν καὶ τὴν ζημίαν, ὅτι ὡς ἄχρηστοι πάντη πόῤῥω ῥίπτονται ζωῆς καὶ κόσμου καὶ τοῦ Θεοῦ. Οὐκοῦν ὡς ἔτι κατεχόμεθα ἐν τῇ μητρῴᾳ ταύτῃ νηδύϊ καλῶς διαμορφώσωμεν ἑαυτοὺς καὶ τελεσιουργήσωμεν καὶ διαρθρώσωμεν πρὸ τῆς ἐπιούσης ἑκάστῳ γεννήσεως, ἢ τῆς κοινῆς παλιγγενεσίας, ἢ τῆς παγκοσμίου μετοικεσίας· μετὰ γὰρ ταύτας οὐκ ἔστιν ἔτι ἑτοιμασίᾳ τινὶ, ἡ διάπλασις.

Δεῖ δὲ πάνυ καλῶς κἀκεῖνο εἰδέναι, καὶ γινώσκειν ὡς ἔχει τὰ πράγματα φύσεως· οἷον ὅτι εἰς τρία ὁ κόσμος οὗτος διῄρηται· ὧν τὸ μὲν ἄνω καὶ οὐράνιον, τὸ δὲ κάτω

καὶ

καὶ ᾅδης, τὸ δὲ μέσον καὶ ἐπίγεια λέγεται· τούτων ὁ μὲν οὐρανὸς ἀγγέλων καὶ ἁγίων· τὰ δὲ καταχθόνια δαιμόνων καὶ ἁμαρτωλῶν πέφυκεν οἰκητήριον· τὰ μέντοι ἐπίγεια κοινὸν ἁπάντων ἐστὶν ὁρμητήριον· ὅθεν ἐν μὲν οὐρανοῖς ἁμαρτία ἀπελήλαται πᾶσα, καὶ ἀρετὴ πολιτεύεται, καὶ θέλημα ἐν πληροῦται τοῦ Θεοῦ· ἐν δὲ τῷ ᾅδῃ ἀρετὴ πᾶσα ἀπέδρα, καὶ τυραννεῖ ἁμαρτία, καὶ βούλημα ἐν μόνον ἐνεργεῖται τὸ τοῦ ἐχθροῦ· ἐν μέντοι τῇ γῇ, ὡς μετεχούσῃ τῶν δύο ἄκρων, ἐνεργεῖται μὲν ὡς ἐπὶ τὸ πολὺ τὰ τῆς κακίας, ἔστι δ' ὅτε καὶ ἀρετῆς ἔν τισι, μᾶλλον δὲ ἐν τοῖς ἅπασιν ἐπιμέλεια· οὐδεὶς γὰρ ἀνθρώπων πάντῃ ἀμέτοχος τοῦ καλοῦ, ὥσπερ ἄρα καὶ οὐδεὶς ἀναμάρτητος. Πάλιν, εἰς μὲν τὰ οὐράνια φῶς ἀνέσπερον φαίνει, Θεὸς τῶν ἐκεῖ ἄρχει πάντων, καὶ ἀδιάπαυστος ὕμνος τελεῖται· ἐν ᾅδου δὲ σκότος ἀφεγγὲς περικέχυται, ἄρχων συγερώτατος δαιμόνων ἐστὶ, καὶ Θεοῦ λήθη διηνεκής· ἐν ᾅδου γὰρ φησὶ τίς ἐξομολογήσεταί σοι; εἰς δὲ τὰ ἐπίγεια ὁτὲ μὲν φῶς, ὁτὲ δὲ σκότος· καὶ τῶν μὲν Θεὸς ἄρχει, τῶν δὲ δαίμων· καὶ οἱ μὲν Θεὸν ὑμνοῦσιν, οἱ δὲ βλασφημοῦσι. Καὶ ἐξ ὑπαρχῆς, ἐν ᾅδου μὲν ὀδύνη, λύπη, αἰσχύνη, καὶ δεινὸν ἅπαν ἀφόρητον· καὶ ἐν τῇ γῇ τὸ τῆς ζωῆς ἡμῶν πλέον κόπος καὶ πόνος, ὡς γέγραπται· ἀλλ' ἐν τῷ οὐρανῷ, ἀνάπαυσις, χαρὰ, καὶ δόξα ἀδιάπαυστος· ὡς ἐκ τῶν διῃρημένων καὶ φαινομένων συνάγεσθαι, ὅτι τῶν ζώντων ἀνθρώπων πειρατήριον καὶ δοκιμαστήριον οὗτοσὶ ὁ περίγειος κόσμος ἐστίν.

Ὅτι δὲ τοῦτ' ἀληθὲς, καὶ τὸ μέσον εἶναι τῶν ἄκρων συμμαρτυρεῖ· κἂν ἐγγυτέρω ἡμῖν τῆς οὐρανίου σφαίρας ὁ ᾅδης ἐστὶν, ὧν μεταξὺ βιοῦντες ἡμεῖς διὰ πάσης ἡμῶν τῆς ζωῆς πρὸς λογισμῶν καὶ παθῶν καὶ δαιμόνων δοκιμαζόμεθα· ὅτι καὶ οἱ πειρασμοὶ, καὶ αἱ θλίψεις, καὶ τὰ δοκίμια πολλοῦ παρὰ τῷ Θεῷ ἠξίωνται λόγου, καὶ σύντροφοι ἐξ ἀρχῆς τῇ καθ' ἡμᾶς εὐσεβείᾳ γεγόνασιν· ἐξ αὐτῆς γὰρ τῆς εἰς γῆν καταβολῆς τοῦ κηρύγματος αὐτίκα συνανεφύησαν· καὶ τί λέγω τοῦ κηρύγματος; αὐτὸς γὰρ ὁ ἡμέτερος Σωτὴρ, ἡνίκα τὸ τῆς ἡμετέρας φύσεως

φύραμα

φύραμα εἵλετο ὑποδῦναι, ἐξ αὐτῆς εὐθὺς τῆς εἰς τὸν βίον προόδου συνεπλάκη τοῖς πειρασμοῖς· ὅ, τε γὰρ τῆς Ἰουδαίας κρατῶν τηνικαῦτα πρὸς φόνον αὐτοῦ καθωπλίζετο, καὶ εἰς Αἴγυπτον μὲν μετὰ τῆς Μητρὸς ἐδραπέτευεν, ἐξ Αἰγύπτου δὲ πάλιν εἰς τὴν Ἰουδαίαν, κἀκεῖθεν εἰς Ναζαρὲτ, τοὺς φονῶντας ἀποδιδράσκων. Ἆρα δὲ τῶν πειρασμῶν οὕτω κατ᾽ ἐκείνου πνεόντων, ἐκεῖνος πρὸς ἄνεσιν ὅλως ἢ περιφάνειαν ἑώρα τὴν ἔξωθεν; οὐμενοῦν· ἀλλ᾽ ἐξ αὐτοῦ τόκου μέχρι τῆς τελευτῆς τῇ κατ᾽ ἄνθρωπον πενίᾳ καὶ λιτότητι χαίροντα μετὰ πολλῆς εὑρίσκομεν τῆς περιουσίας· τί γὰρ σπηλαίου ταπεινότερον; τί δὲ τοῦ μὴ ποῦ κλῖναι τὴν κεφαλὴν ἔχειν, εἰς λόγον πενίας ὑπέρτερον; καὶ τὸ τέλος δὲ τῆς ἐνταῦθα ζωῆς ὁποῖον; ὡς λίαν περιώδυνον, καὶ ἀτιμίας μεστόν· ἐπὶ γὰρ διαβολῇ ἀνταρσίας ὁ οὐράνιος Βασιλεὺς τὸ θνήσκειν κατεψηφίζετο· καὶ τέλος μετὰ τὰς ἀνυπερβλήτους ὕβρεις ἐκείνας, τὴν πορφυρὰν χλαῖναν, τοὺς χλευασμοὺς, τοὺς ἐμπτυσμοὺς, τοὺς κολαφισμοὺς, τὰ ῥαπίσματα, καὶ τὰς μάστιγας, τῷ Σταυρῷ γυμνὸς δι᾽ ἐμὲ καταδικασθεὶς, κακούργου δίκην Χριστέ μου ἐκρέμασο· καὶ οὐχ ἡ μὲν κατὰ τὸ ἀνθρώπινον ζωὴ, τῷ Σωτῆρι οὕτω διήνυσται, ἑτέρως δὲ εἶχον οἱ λόγοι, ἀλλ᾽ ἐν πᾶσιν οἷς τὰ πρακτέα διδάσκειν ἐβούλετο, οὐδὲν ἕτερον ὅτι μὴ τὸ ἑαυτῶν ἀφειδεῖν ἐν ταῖς θλίψεσιν ὁρῶμεν διδάσκοντα· καὶ οὐχὶ τοὺς πλούτῳ βρίθοντας, καὶ χαίροντας, καὶ τρυφῇ προσκειμένους, ἀλλὰ τοὺς πτωχοὺς τῷ Πνεύματι, τοὺς κλαίοντας, τοὺς μισουμένους, τοὺς δι᾽ αὐτὸν ὑβριζομένους, τοὺς διωκομένους, τούτους μακαρίους καὶ ζηλωτοὺς ἀποτείνεται, καὶ τῆς εἰς τὰ δεινὰ καρτερίας ἔπαθλον τὴν ἐν τοῖς οὐρανοῖς βασιλείαν χαρίζεται.

Τούτου ἄρα κατ᾽ ἴχνος οἱ θεῖοι Ἀπόστολοι, καὶ μετὰ τοὺς Ἀποστόλους οἱ Μάρτυρες πορευόμενοι, τοὺς μυρίους ἄθλους ἐκείνους διήνεγκαν, καθ᾽ ἑκάστην ἐλαυνόμενοι τὴν ἡμέραν, εἰς διάφορα κατακλειόμενοι δεσμωτήρια, μαστιζόμενοι, ὑβριζόμενοι, προσπαλαίοντες κρύει, λιμῷ καὶ δίψει συνεχῶς πιεζόμενοι, καὶ πολυτρόποις θανάτων ἐπαγωγαῖς ἀπαλλαττόμενοι καὶ τοῦ ζῆν· καὶ ταῦτα ἐν ἀρχαῖς

τοῦ

τοῦ κηρύγματος, ὅτε μάλιστα ἡμῖν ἔδει τῆς ἐκείνων ζωῆς, καὶ αὐτοὺς τῆς ἄνωθεν ἐχρῆν ἀπολαύειν ῥοπῆς, ὥστε μὴ τὴν τοῦ κηρύγματος ἐπίδοσιν εἴργεσθαι· ἀλλ' ὅμως οὐκ ἦν ἄλλως αὐτοὺς μιμήσασθαι τὸν Διδάσκαλον. Τούτων καὶ ὁ τῶν ἀσκητῶν θεῖος ὅμιλος τοὺς μαρτυρικοὺς ἄθλους ζηλώσας, τὸ κατὰ προαίρεσιν καὶ οὗτος μαρτύριον ἤνεγκε· ταῦθ' ἑκουσίως ὑπερχόμενοι πάντες, ἅπερ ἀκουσίως ἐκείνοις συνέπιπτεν· ἐπεὶ γὰρ μὴ ἦν ὑφ' ὅτου διώκτου τηνικαῦτα βασάνοις ἐκδίδοσθαι, αὐτουργοί, οἷον εἰπεῖν, αὐτοὶ ἑαυτοῖς τῶν βασάνων γινόμενοι, ταῖς τῆς ἀσκήσεως μάστιξι τὰ σώματα κατατείνοντες, καὶ ἀπονεκρώσει τῆς σαρκὸς τρόπον ἕτερον ἑαυτοὺς θανατοῦντες, τὸν τῆς ζωῆς αὐτῶν ἅπαντα διετέλεσαν χρόνον· ὥστε μᾶλλον κεχαρισμένοι Θεῷ, οἱ πειρασμοῖς καὶ θλίψεσι προσπαλαίοντες, ὧν καὶ αὐτοὶ τῆς μερίδος γενοίμεθα· αὕτη γάρ ἐστιν ἡ τεθλιμμένη ὁδός, ἡ πρὸς ζωὴν τοὺς ταύτην ὁδεύοντας ἄγουσα· ἐπεὶ ἀγώνων δίχα νομίμως οὐδεὶς ἐστεφάνωται. Ἀλλὰ τῆς ὥρας ἐπιλειπούσης ἡμᾶς, ὡς ὁρῶ, τριῶν γὰρ σημάντρων κρούματα ἐν ταὐτῷ πρὸς τοὺς ἑσπερινοὺς ὕμνους καλεῖ· λοιπὸν καὶ περὶ ἐξοδίου ἑτοιμασίας εἰπεῖν ἐφεξῆς τελεώτερον ὑπισχνούμεθα· τέως δὲ καὶ ἡμεῖς τοὺς ἁγίους ζηλοῦντες, μεθ' ὑπομονῆς καὶ εὐχαριστίας ἐχώμεθα τῆς προθέσεως, ὥστε καὶ τῶν αὐτῶν αὐτοῖς ἀξιωθῆναι γερῶν, ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα σὺν τῷ Πατρὶ αὐτοῦ καὶ τῷ Πνεύματι. Ναί. Ἀμήν. Γένοιτο.

# ΛΟΓΟΣ Β.

## ΠΕΡΙ ΣΥΝΤΕΛΕΙΑΣ.

Λαληθεὶς ἐν τῷ Παλατίῳ, ἐπὶ παρουσίᾳ πολλῶν Ἀρχιερέων· τὰς τῶν πολλῶν περὶ ταύτης δόξας ἀποκρουόμενος, καὶ συμπεραίνων, ὅτι εἰ μὴ τὸ ἐκπεσὸν ἐκεῖνο τάγμα, ταῖς τῶν ἁγίων ψυχαῖς τέλεον ἀναπληρωθῇ, Συντέλεια οὐ γενήσεται.

Θεὸς τοῖς πᾶσι φοβερὸν καὶ παντέφορον ὄμμα, ἐπὶ μετεώρου καὶ ἐπηρμένου θρόνου καθήμενος, πάντα σκοπεύει τὰ ἐν τῷ κόσμῳ τούτῳ γινόμενα· θεαταὶ δὲ σὺν αὐτῷ καὶ ἄγγελοι πάντες, καὶ οἱ τῶν ἁγίων χοροὶ, ἐξ ἀπόπτου τινὸς καὶ ὑψηλοτάτης περιωπῆς πάντα καὶ αὐτοὶ κατοπτεύοντες τὰ ἡμέτερα· τρέχουσι γοῦν τὸν τοῦ σταδίου αὐτοῖς προκείμενον δρόμον, ἅπαντες οἱ κατὰ γενεὰς διαφόρους παραγενόμενοι εἰς τὸν βίον, καὶ σωθῆναι σπεύδοντες ἄνθρωποι, ὁ μὲν τούτων ἀρχόμενος ἀφ᾽ ἧς ἡμέρας γεγέννηται, ὁ δ᾽ ἀφ᾽ ἧς ἐβαπτίσατο, ἄλλος ἀφ᾽ οὗ μετενόησεν, ἕτερος ἀφ᾽ οὗ ἀπετάξατο· τέλος δὲ κοινὸν αὐτοῖς τοῦ σταδίου ὁ θάνατος. Ὅτι δὲ τοιοῦτος ὁ βίος, καὶ τῆς ἡμέρας φανώτερον· χρὴ γοῦν τὸν σωθῆναι προθέμενον Παύλῳ πεισθῆναι τῷ θείῳ, τοῖς μὲν ἔμπροσθεν ἐπεκτεινόμενον, τῶν δ᾽ ὄπισθεν ἐπιλανθανόμενον, ἅτε τοσούτους καὶ τοιούτους θεωροῦντας συμμετροῦντα, ἀπὸ φυλακῆς πρωΐας μέχρις ἑσπέρας δραμεῖν τὰ ὀλύμπια πρὸς τὸν ἀρχηγὸν καὶ τελειωτὴν τοῦ δρόμου ἀποσκοποῦντα Χριστόν· ἀρχὴν μὲν ὥσπερ τοῦ κόσμου τὸ εἰς αὐτὸν ἧκον, τὴν ἑαυτοῦ

εἰς τὸν βίον λογιζόμενον εἴσοδον, συντέλειαν δὲ ἰδίαν τὸν χωρισμὸν τῆς οἰκείας ψυχῆς ἐκ τῦ σώματος.

Οὕτω γῦν κατὰ φύσιν, ἢ φύσεως κίνησιν, ἢ ἁμαρτήσαντος γονῦς ὀφειλὴν ἀπαραίτητον, τῆς ζωῆς ἡμῶν ὁσημέραι συντελυμένης, ἐπεὶ περὶ συντελείας εἰπεῖν ἐπιχειρήσαντες πρότερον διεκόπημεν συμπνιγέντες ὑπὸ τῦ πλήθυς τῶν νοημάτων, καὶ διὰ τῦτο ἐπηγγειλάμεθα εἰς τὴν ἐπιῦσαν ἡμέραν, ἢ συνάξιν περὶ ταύτης ἐρεῖν, νῦν λοιπὸν περὶ συντελείας ἀκύσατε, καὶ πληροφορήθητε ἀληθῶς ὅτι τῶν ἀνθρώπων οἱ πλείυς ἀλογίᾳ φερόμενοι ἐν τῇ συντελείᾳ τῶν αἰώνων μετὰ τὴν κοινὴν τῶν ἀνθρώπων ἀνάστασιν, καὶ τὴν δευτέραν Χριστῦ παρυσίαν, τὴν αἰσθητὴν πᾶσαν κτίσιν ἀπολέσθαι νομίζυσιν· ἤγυν πάντα τὸν ὐρανὸν, καὶ πᾶσαν τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ τὰ ἐν αὐτοῖς ἅπαντα, τελείῳ παραδοθῆναι ἀφανισμῷ· καὶ πρὸς τῦτο φαντάζονται συνηγόρυς κεκτῆσθαι, πολλὺς μὲν ἴσως καὶ ἄλλυς, ὐχ ἥκιστα δὲ τὸν Προφήτην Δαυὶδ λέγοντα ἐν τῇ τῶν οἰκείων Ψαλμῶν βίβλῳ πρὸς τὸν Θεὸν „κατ' ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας „καὶ ἔργα τῶν χειρῶν συ εἰσὶν οἱ ὐρανοί· αὐτοὶ ἀπολῦνται „κτ. καὶ τὸν Ἀπόστολον Πέτρον γράφοντα ἐν τῷ τρίτῳ τῆς ἑαυτῦ Β΄. Ἐπιστολῆς, οἱ ὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, „στοιχεῖα δὲ καυσύμενα λυθήσονται· αὐτόν τε τὸν Σωτῆρα „Χριστὸν ἀποφαινόμενον ὑτωσὶ „ ὁ ἥλιος σκοτισθήσεται, „καὶ ἡ σελήνη ὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσῦνται ἀπὸ τῦ ὐρανῦ· καὶ ὁ ὐρανὸς καὶ ἡ γῆ παρελεύσονται. „Τῦτο γῦν ζήτημα ἐστὶ μέγα· διὰ τῦτο γὰρ καὶ ἡ πέμπτη τῶν οἰκυμενικῶν συγκεκρότηται Σύνοδος, καὶ τῦτο τὸ παράλημμα Ὠριγένυς ἐστὶ τῦ Ἀδαμαντίνυ, ὃς ἐφλυάρει προϋπαρξιν, καὶ ἀποκατάστασιν· ὃν ἡ ῥηθεῖσα Σύνοδος, καὶ πάντας τὺς τὰ αὐτὰ φρονῦντας ἐκείνῳ ἀνεθεμάτισε· τῇ δὲ τῶν ὀρθοδόξων Ἐκκλησίᾳ τὐναντίον ἅπαν δοκεῖ· ἤγυν, ὅτι γέγονε μὲν τὰ ὁρώμενα ἐκ τῦ μὴ ὄντος ἅπαντα εἰς τὸ εἶναι διὰ τὸν ἄνθρωπον, διὰ δὲ τὴν τῦ ἀνθρώπυ παράβασιν ὑπόκειται πάντα φθορᾷ· ἀλ-

λαὶ φθορᾷ προσκαίρῳ, οὐκ ἀπωλείᾳ, οὐδ᾽ ἀφανισμῷ παντελεῖ· ἀλλαγήσεται γὰρ πάντα· τουτέστιν ἀλλοιωθήσεται ἀπὸ τοῦ εἶναι τρεπτὰ καὶ φθαρτὰ, εἰς τὸ εἶναι ἄτρεπτά τε καὶ ἄφθαρτα, ὥσπερ ἄρα ὁ δι᾽ ὃν ταῦτα συνέστη ἄνθρωπος.

Καὶ τοῦτο καὶ οἱ τῆς παλαιᾶς Προφῆται, καὶ οἱ τῆς νέας Διαθήκης διδάσκαλοι σαφῶς ἐκδιδάσκουσιν· ὁ μὲν
„ γὰρ τῶν Προφητῶν φησὶν „ ἔσται ὁ Οὐρανὸς καινὸς, καὶ ἡ
„ γῆ καινή· καὶ ὁ μὲν ἥλιος ἑπταπλασίων ἑαυτοῦ, ἡ δὲ
„ σελήνη ὡς ὁ ἥλιος· ὁ δὲ, ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα
„ (τουτέστι κατὰ τοῦτον τὸν ῥέοντα καὶ φθειρόμενον) καὶ εἰς
„ τὸν αἰῶνα τοῦ αἰῶνος (ἤτοι κατὰ τὸν μέλλοντα ἐκεῖνον καὶ
„ ἀδιάῤῥευσον·) εἶτα τὸ ἀμετάπτωτον εἶναι τὴν τούτων στά-
„ σιν δεικνὺς ἐπάγει, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. Καὶ ταῦτα μὲν, καὶ τοιαῦτα μυρία οἱ Προφῆται τῆς παλαιᾶς, ταυτὰ δὲ τούτοις καὶ οἱ τῆς Ἐκκλησίας φωστῆρες δοξάζουσι· τούτων γὰρ ὁ μὲν θειότατος Παῦλος
„ ἐν τῷ τῆς πρὸς Ῥωμαίους ὀγδόῳ φησὶν, „ ὅτι καὶ αὐτὴ ἡ
„ κτίσις ἐλευθερωθήσεται, ἀπὸ τῆς δουλείας τῆς φθορᾶς,
„ εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ· ὁ δὲ τοῦ Χριστοῦ ἐπιστήθιος μαθητὴς, ἐν τῷ πρώτῳ καὶ εἰκοστῷ
„ τῆς Ἀποκαλύψεως οὕτω διέξεισι „ καὶ εἶδον Οὐρανὸν και-
„ νὸν, καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐρανὸς, καὶ ἡ πρώ-
„ τη γῆ ἀπῆλθον, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι· καὶ τὴν
„ πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινὴν εἶδον καταβαίνουσαν
„ ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ ἡτοιμασμένην, ὡς νύμφην κε-
„ κοσμημένην τῷ ἀνδρὶ αὐτῆς. Ὁ δὲ τὴν γλῶτταν χρυσοῦς ἐν μὲν τῷ εἰς τοὺς Ἀνδριάντας ἑνδεκάτῳ λόγῳ διεισιν
„ οὑτωσὶ „ φθαρτὴ ἡ κτίσις γέγονε διὰ τὸ γένος τὸ ἡμέ-
„ τερον· ἐπειδὴ γὰρ φθαρτὸν ἔμελλε τρέφειν ἄνθρωπον,
„ καὶ αὐτὴν τοιαύτην εἶναι ἐχρῆν· οὐ γὰρ δὴ φθαρτὰ σώ-
„ ματα ἔμελλεν ἀφθάρτῳ ἐνδιαιτᾶσθαι κτίσει, ἀλλ᾽ ὅμως
„ οὐ μένει τοιαύτη, ἀλλὰ καὶ αὐτὴ ἐλευθερωθήσεται ἀπὸ
„ τῆς δουλείας τῆς φθορᾶς· ὅταν γὰρ ἀναστῶμεν φησὶ, καὶ
„ ἄφθαρτα λάβωμεν σώματα, τότε καὶ τοῦ οὐρανοῦ τὰ

σώμα-

σώματα, καὶ τῆς γῆς, καὶ τῆς κτίσεως ἁπάσης, ἄφθαρ- “
τα ἔσται καὶ ἀκήρατα· ἐν δὲ πεντεκαιδεκάτῃ ὁμιλίᾳ τῆς “
πρὸς Ῥωμαίους Ἐπιστολῆς ἐξηγούμενος τὸ τοῦ μακαρίου Παύ- “
λου ῥητὸν, τὸ λέγον „ τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπε- “
τάγη οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα, ἐπ᾽ ἐλπίδι, “
ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας “
τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ “
Θεοῦ· τοῦτο γοῦν ἐξηγούμενος τὸ χωρίον οὕτω φησὶ, τί ἐστι “
τῇ ματαιότητι ἡ κτίσις ὑπετάγη; ἀντὶ τοῦ φθαρτὴ γέ- “
γονε· τίνος ἕνεκεν, καὶ διατί; διὰ σὲ τὸν ἄνθρωπον· “
ὅτι δὲ καὶ ὁ οὐρανὸς μετὰ τῆς γῆς παλαιούμενος πρὸς τὴν “
ἀμείνω λῆξιν ὕστερον μεταστήσεται, ἄκουσον τοῦ Προφήτου “
λέγοντος, κατ᾽ ἀρχὰς σὺ Κύριε τὴν γῆν ἐθεμελίωσας, “
καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦν- “
ται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθή- “
σονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλα- “
γήσονται· καὶ Ἡσαΐας δὲ τὰ αὐτὰ ἐμφαίνων ἔλεγεν, “
ἐμβλέψατε εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω, “
ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη, ἡ δὲ γῆ ὡς ἱμάτιον πα- “
λαιωθήσεται· οἱ δὲ κατοικοῦντες αὐτὴν ὡς πρὸς ταῦτα “
ἀπολοῦνται. Εἶδες πῶς ἐδούλευσε τῇ ματαιότητι ἡ κτί- “
σις, καὶ πῶς ἐλευθερωθήσεται ἀπὸ τῆς φθορᾶς; ὁ μὲν “
γὰρ φησὶν, ὡς ἱμάτιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται· “
ὁ δὲ, οἱ κατοικοῦντες αὐτὴν ὡς ταῦτα ἀπολοῦνται· οὐ παν- “
τελῆ λέγων ἀπώλειαν· οὐδὲ γὰρ οἱ κατοικοῦντες αὐτὴν, “
τουτέστιν οἱ ἄνθρωποι, τοιαύτην ὑποστήσονται, ἀλλὰ τὴν “
πρόσκαιρον, καὶ δι᾽ αὐτῆς ἐπὶ τὴν ἀφθαρσίαν μεταστή- “
σονται, ὥσπερ οὖν καὶ ἡ κτίσις· ἅπερ ἅπαντα, διὰ τοῦ “
εἰπεῖν ὡς ταῦτα, παρεδήλωσεν· ὅπερ οὖν καὶ ὁ Παῦλος “
λέγει σαφῶς· τί λέγεις φησί; κακῶς ἔπαθε διὰ σὲ, καὶ “
φθαρτὴ γέγονεν ἡ κτίσις; ἀλλ᾽ οὐδὲν ἠδίκηται· καὶ γὰρ “
ἄφθαρτος διὰ σὲ πάλιν ἔσται· τοῦτο γάρ ἐστι τὸ ἐπ᾽ ἐλπί- “
δι· εἰπὲ δὴ ποίᾳ ἐλπίδι; ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθε- “
ρωθήσεται· τί ἐστι καὶ αὐτή; οὐχὶ σὺ μόνος, ἀλλὰ καὶ “
ὅσον ἐστὶ καταδεέστερον, καὶ οὐ μετέχει λόγου οὐδὲ αἰσθή- “
σεως, καὶ τοῦτό σοι κοινωνήσει τῶν ἀγαθῶν· ἐλευθερω “

„ θήσεται γάρ φησὶν ἀπὸ τῆς δουλείας τῆς φθορᾶς· τουτέ-
„ στιν, οὐκέτι ἔσαι φθαρτὴ, ἀλλ᾽ ἀκολουθήσει τῇ σώματος
„ ἀφθαρσίᾳ τοῦ σοῦ· ὥσπερ γὰρ γενομένου φθαρτοῦ γέγο-
„ νε καὶ ἐκείνη τοιαύτη, οὕτως ἀφθάρτου καταςάντος καὶ
„ αὐτὴ ἕψεται πάλιν· ὅπερ οὖν καὶ δεικνὺς ἐπήγαγεν εἰς
„ τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ· τουτέςι
„ διὰ τὴν ἐλευθερίαν· καθάπερ γὰρ τιθηνὸς παιδίον τρέ-
„ φουσα βασιλικὸν, ἐπὶ τῆς ἀρχῆς ἐκείνου γενομένου τῆς
„ πατρικῆς, καὶ αὐτὴ συναπολαύει τῶν ἀγαθῶν, οὕτω
„ καὶ ἡ κτίσις φησίν· Οὕτω καὶ Πατέρες ποιοῦσι τοῦ Υἱοῦ
„ μέλλοντος ἐπὶ ἀξιώμασι φαίνεσθαι, καὶ τοὺς δούλους λαμ-
„ προτέραν ἐνδύουσι ςολὴν, εἰς τὴν τοῦ παιδὸς δόξαν· ὥσπερ
„ οὖν καὶ ὁ Θεὸς τὴν κτίσιν ἀφθαρσίᾳ περιβαλεῖ εἰς τὴν
„ ἐλευθερίαν τῆς δόξης τῶν τέκνων. Καὶ ταῦτα μὲν οὕτω
κατὰ λέξιν διεισιν ὁ τὴν γλῶτταν χρυσοῦς.

Ὁ δὲ Θεολόγος Γρηγόριος ἐν τῷ λόγῳ οὗ ἡ ἀρχὴ, χθὲς τῇ λαμπρᾷ τῶν φώτων, ἐν Λόγῳ δευτέρῳ τῆς νέας Δεκαλόγου, παντὶ παραινεῖ ὀρθοδόξῳ οὕτω πιςεύειν λέ-
„ γων „ πίςευε τὸν σύμπαντα κόσμον, ὅσος τε ὁρατὸς, καὶ
„ ὅσος ἀόρατος, ἐξ οὐκ ὄντων παρὰ Θεοῦ γενόμενος, καὶ προ-
„ νοίᾳ τοῦ ποιήσαντος διοικούμενος, δέξεσθαι τὴν εἰς τὸ κρεῖτ-
„ τον μεταβολήν. Ὅ, τε Νύσσης ὡσαύτως ὁ συνώνυμος τού-
του, ἐν τῇ εἰς τοὺς Ψαλμοὺς ἐξηγήσει λέγει πρὸς τὸν Θεὸν,
„ σὺ μόνος ὦ Δέσποτα τὸ ἀΐδιον ἔχεις, ἅτε Θεὸς ὤν· οἱ δὲ
„ ἄνθρωποι, εἰ καὶ μέγα τι καὶ ἐξαίρετον ὑπάρχουσι κτίσ-
„ μα, ἀλλ᾽ ὅμως καὶ αὐτοὶ ὑποβληθήσονται φθορᾷ, ἡ δὲ
„ φθορὰ αὕτη γενήσεται αὐτοῖς εἰς ἀνακαινισμόν· ἑλιχ-
„ θήσονται γὰρ εἰς βέλτιον σχῆμα μεταβαλλόμενοι.

Καὶ τί δεῖ πάντας παράγειν εἰς μέσον, ὅσοι περὶ τῆς τοῦ παντὸς βελτιώσεως ἔγραψαν; Εἰ δέ τις ἴσως προβάλλοιτο, τὸ, ὁ ἥλιος σκοτισθήσεται, καὶ τὸ, ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, καὶ τοιαῦτα τινὰ, οὐκ αὐτὸν, ὁποῖος ἂν εἴη, δεξόμεθα τούτων ἐξηγητὴν, ἀλλὰ τοὺς τῆς Ἐκκλησίας, ὡς ἐπὶ πάντα, εἰσηγητάς· τί οὖν φασὶν ἐξηγούμενοι ταῦτα οἱ θεῖοι διδάσκαλοι; ἄκουε· ὁ ἥλιος

σκοτισθήσεται ἐκ ἀφανιζόμενος, ἀλλὰ νικώμενος τῷ φωτὶ τῆς παρουσίας αὐτοῦ· καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι· τουτέστι τὰ πεπηγότα ταῦτα καὶ ἀκίνητα στοιχεῖα εὐκολώτερον ἀφανισθῆναι, ἢ τῶν λόγων τῶν ἐμῶν τι διαπεσεῖν· ἀκούεις; ὥστε οὕτω χρὴ νοεῖν τὰς Γραφὰς, καὶ ταύταις πιστεύειν ὡς οἱ διδάσκαλοι βούλονται, οὐχὶ δὲ στοιχεῖν τῇ ἰδίᾳ συνέσει, καὶ παρασύρεσθαι ταῖς ἐνίων ἀπάταις καὶ ἐλπίσι κεναῖς· ἀμετάπτωτος γὰρ ἡ θεία βουλὴ, καὶ ὁ θεῖος προορισμὸς ἀπαράτρεπτος.

Εἰ γὰρ πιστεύοιτό ποτε ὁ Θεὸς θέλειν τὶ, ἀναγκαῖον ἐστὶ τοῦτο θέλειν ἀεί· εἰ καὶ μὴ ἀναγκαῖον ἐστὶ θέλειν ἵν' ᾖ ἀεὶ, ὅπερ θέλει ποτέ· ὁ γὰρ θέλων τὶ, δι' αὐτὸ θέλει αὐτὸ εἶναι ἀεὶ, διὰ τὸ δι' αὐτὸ θέλειν αὐτό· ὁ Θεὸς δὲ τὸ σύμπαν τῶν δημιουργημάτων θέλει δι' αὐτὸ, εἰ καὶ δι' ἑαυτὸν αὐτὸ θέλει εἶναι· ταῦτα τὰ δύο οὐ διαμάχεται· θέλει γὰρ ὁ Θεὸς τὰ ὄντα εἶναι διὰ τὴν ἑαυτοῦ ἀγαθότητα, ἵνα ταύτην δηλαδὴ τῷ σφῶν αὐτῶν τρόπῳ μιμοῖντο καὶ παριστῶσιν, ὃ καὶ ποιοῦσι διὰ τὸ ἀπ' αὐτῆς ἔχειν τὸ εἶναι, κἂν ταῖς αὐτῶν φύσεσιν ὑφεστάναι· ὅθεν τὸ αὐτὸ ἐστὶ λεγόμενον, ὅτι ὁ Θεὸς δι' ἑαυτὸν πάντα πεποίηκεν, ὡς λέγεται ἐν τῷ ἑξκαιδεκάτῳ τῶν Παροιμιῶν „ πάντα δι' ἑαυτὸν εἰργάσατο ὁ Θεός· καὶ τὸ τὰ ὄντα ποιῆσαι διὰ τὸ αὐτὰ εἶναι, ὃ λέγεται ἐν τῷ τῆς Σοφίας πρώτῳ „ ἔκτισε γὰρ ὁ Θεὸς τὰ πάντα εἶναι· καὶ ἐξ αὐτοῦ τοῦ τὸν Θεὸν τὰ πάντα δημιουργῆσαι, φαίνεται θέλειν ἀεὶ διαμένειν αὐτὰ, οὐ τὸ ἐναντίον διὰ τὸ αὐτοῦ ἀκίνητον οὐδέποτ' ἂν συμβαίη· οὕτω γὰρ ὁ Θεὸς ἑκάστην φύσιν ἐδημιούργησεν, ὡς μὴ ἀφελέσθαι ταύτης τὴν αὐτῆς ἰδιότητα· ὅθεν λέγεται ἐν τῷ τῆς πρὸς Ῥωμαίους ἐνδεκάτῳ, ἐν τῇ ἑρμηνείᾳ „ ὅτι ὁ Θεὸς ὁ τῶν φύσεων δημιουργὸς, παρὰ τὰς φύσεις οὐ ποιεῖ.

Καὶ ἐκ τῆς περὶ ἡμᾶς δὲ τοῦ Λόγου οἰκονομίας, τοῦτο φωτὸς ἐστὶ φανερώτερον· ὅτι οἱ μὲν Βασιλεῖς ἅπαντες τοὺς ποτὲ δούλους ἀντάρτας αὐτῶν γινομένους ἐπὰν χειρώ-

σωνται, ἀφανισμῷ τελείῳ καὶ αὐτοὺς καὶ πάντα τὰ αὐτῶν, σὺν τῇ ἁμαρτίᾳ, ἤτοι τὸ τολμηθὲν αὐτοῖς ἄρδην παραδιδόασιν· ὁ δὲ τῶν ὅλων Βασιλεὺς καὶ Θεὸς διὰ τὴν ἄκραν αὐτοῦ ἀγαθότητα, τὴν μὲν ἁμαρτίαν τὴν εἰς αὐτὸν ὑπὸ τοῦ Ἀδὰμ γεγενημένην ἐξαφανίσαι ἠθέλησε διὰ τοῦ θανάτου, αὐτὸν δὲ τὸν ἁμαρτήσαντα, ἢ τὴν αὐτοῦ κτίσιν, τὸν κόσμον τοῦτον οὐδαμῶς· οὐ γὰρ ὀργισθεὶς τὸν θάνατον ἐπήγαγεν, ἀλλὰ φιλανθρωπευσάμενος, καὶ ὡς ἀγαθώτατος ἰατρὸς, καὶ σοφὸς οἰκονόμος, τὴν ἀπάτην, τὴν πλάνην, τὸ μὴ ὂν ἀφανίσαι ἀφίκετο, οὐ τὸ ὂν, ἢ τὸν δι' ὃν ἦλθε, τὸν ἄνθρωπον.

Ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ πιστεύειν ὡς τὰ κτίσματα πάντα χωρήσει ἐκ τοῦ εἶναι εἰς τὸ μὴ ὂν, ὅτι καίτινα κτίσιν ἄλλην πρὸς τούτοις νέαν, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγομένην ὁρῶ πρὸς Θεοῦ, καὶ χαριζομένην ἐξόχως τοῖς ἐκλεκτοῖς εἰς ἀνάπαυσιν· ποίαν δὲ ταύτην; ἣν ὁ τῆς Βροντῆς υἱὸς Ἰωάννης ἐν τῇ Ἀποκαλύψει φησίν· οὐδὲν δὲ κωλύει καὶ κατὰ λέξιν εἰπεῖν ἅπερ
» αὐτὸς ἐκεῖ δίεισι „ καὶ ἦλθε πρόσμε τις ἐκ τῶν ἑπτὰ Ἀγ-
» γέλων, καὶ ἐλάλησε μετ' ἐμοῦ λέγων, δεῦρο δείξω σοι τὴν
» γυναῖκα τὴν νύμφην τοῦ ἀρνίου, καὶ ἀπήνεγκέ με ἐν
» Πνεύματι, ἐπ' ὄρος μέγα καὶ ὑψηλὸν, καὶ ἔδειξέ μοι τὴν
» πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ, καταβαίνουσαν ἐκ τοῦ οὐρα-
» νοῦ, ἐκ τοῦ Θεοῦ, ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ· ὁ φωστὴρ αὐ-
» τῆς λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰάσπιδι κρυσταλλίζοντι·
» ἔχουσαν τεῖχος μέγα καὶ ὑψηλόν· ἔχουσαν πυλῶνας δώ-
» δεκα, ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα, καὶ ὀνόματα
» ἐπιγεγραμμένα, ἅ ἐστιν ὀνόματα τῶν δώδεκα φυλῶν υἱῶν
» Ἰσραήλ· ἀπὸ ἀνατολῶν πυλῶνες τρεῖς, καὶ ἀπὸ βορρᾶ
» πυλῶνες τρεῖς, καὶ ἀπὸ νότου πυλῶνες τρεῖς, καὶ ἀπὸ
» δυσμῶν πυλῶνες τρεῖς· καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον
» θεμελίους δώδεκα, καὶ ἐπ' αὐτῶν δώδεκα ὀνόματα τῶν
» δώδεκα Ἀποστόλων τοῦ ἀρνίου. Καὶ ὁ λαλῶν μετ' ἐμοῦ εἶ-
» χε κάλαμον χρυσοῦν, ἵνα μετρήσῃ τὴν πόλιν, καὶ τοὺς
» πυλῶνας αὐτῆς, καὶ τὸ τεῖχος αὐτῆς· καὶ ἡ πόλις τε-

τρά-

τετράγωνος κεῖται· καὶ τὸ μῆκος αὐτῆς τοσοῦτον ἐστὶν, " ὅσον τὸ πλάτος· καὶ ἐμέτρησε τὴν πόλιν τῷ καλάμῳ " ἐπὶ σταδίους χιλιάδων δώδεκα· τὸ μῆκος καὶ τὸ πλάτος " καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστί· καὶ τὸ τεῖχος αὐτῆς ἑκα- " τὸν τεσσαράκοντα τεσσάρων πηχῶν μέτρον ἀνθρώπου, ὅ " ἐστιν Ἀγγέλου. Καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς ἴα- " σπις· καὶ ἡ πόλις χρυσίον καθαρὸν, ὅμοιον ὑάλῳ καθα- " ρῷ· οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως, παντὶ λίθῳ τι- " μίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος ἴασπις, ὁ δεύτε- " ρος σάπφειρος, ὁ τρίτος χαλκηδὼν, ὁ τέταρτος σμά- " ραγδος, ὁ πέμπτος σαρδόνυξ, ὁ ἕκτος σάρδιος, ὁ ἕβδο- " μος χρυσόλιθος, ὁ ὄγδοον βήρυλλος, ὁ ἔννατος τοπάζιον, " ὁ δέκατος χρυσόπρασος, ὁ ἐνδέκατος ὑάκινθος, ὁ δωδέ- " κατος ἀμέθυστος· καὶ οἱ δώδεκα πυλῶνες, δώδεκα μαρ- " γαρῖται, ὧν εἷς τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου, καὶ " ἡ πλατεῖα τῆς πόλεως χρυσίου καθαροῦ, ὡς ὕαλος διαυ- " γὴς, καὶ Ναὸν οὐκ εἶδον ἐν αὐτῇ, ὁ γὰρ Κύριος ὁ Θεὸς ὁ " παντοκράτωρ Ναὸς αὐτῆς ἐστὶ, καὶ τὸ ἀρνίον· καὶ ἡ πό- " λις οὐ χρείαν ἔχει τοῦ ἡλίου, οὐδὲ τῆς σελήνης ἵνα φωτί- " ζωσιν· αὐτὴ γὰρ ἡ δόξα τοῦ Θεοῦ ἐφώτιζεν αὐτὴν, καὶ ὁ " λύχνος αὐτῆς τὸ ἀρνίον. Καὶ περιπατήσουσι τὰ ἔθνη " διὰ τοῦ φωτὸς αὐτῆς· καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι " τὴν δόξαν αὐτῶν εἰς αὐτήν· καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ " κλεισθῶσιν ἡμέρας, νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ· καὶ οἴσουσι τὴν " δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν· καὶ οὐ μὴ εἰ- " σέλθη εἰς αὐτὴν κοινὸν, καὶ ποιῶν βδέλυγμα καὶ ψεῦ- " δος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρ- " νίου. Καὶ ἔδειξέ μοι ποταμὸν ὕδατος ζωῆς, λαμπρὸν ὡς " κρύσταλλον ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ Θεοῦ καὶ τοῦ ἀρ- " νίου, ἐν μέσῳ τῆς πλατείας αὐτῆς· καὶ τοῦ ποταμοῦ ἐν- " τεῦθεν καὶ ἐντεῦθεν ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕνα ἕκαστον ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ· καὶ " τὰ φύλλα τοῦ ξύλου, εἰς θεραπείαν τῶν ἐθνῶν. Καὶ πᾶν " κατάθεμα οὐκ ἔσται ἔτι· καὶ ὁ θρόνος τοῦ Θεοῦ καὶ τοῦ ἀρ- " νίου ἐν αὐτῇ ἔσται, καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ· " καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ "

„ τῶν μετώπων αὐτῶν· καὶ νὺξ οὐκ ἔσται ἐκεῖ· καὶ χρείαν
„ οὐκ ἔχουσι λύχνου, καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φω-
„ τίσει ἐπ' αὐτούς· καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας
„ τῶν αἰώνων.

Ὥστε δῆλον ἐκ τούτων, ὅτι ἡ ἐλπιζομένη πρὸς πάντων συντέλεια τοῦ παντὸς, οὐκ ἔσται τις ἀπὸ τοῦ ὄντος εἰς τὸ μὴ εἶναι παραγωγή· ἄπαγε τῆς ἀπάτης! ἀλλ' ἀπὸ τοῦ φθαρτὸν αὐτὸ καὶ ἐπίκηρον εἶναι, εἰς τὸ ἄφθαρτον καὶ ἀκήρατον μεταποίησις· ὁ γὰρ ἐκ μὴ ὄντων τοιαύτην πόλιν τοῖς ἁγίοις παράγων, οἵαν ὁ τοῦ Θεοῦ ὑπέγραψεν Ἄγγελος, πῶς τὸν τοσοῦτον καὶ τοιοῦτον κόσμον ἀφανιεῖ; ἢ ὁ μὲν παραβὰς τὰς τοῦ Θεοῦ ἐντολὰς πολυτρόπως ἀφθαρτισθήσεται, μόνος ὁ ἄνθρωπος, ἡ δὲ μηδὲν ἁμαρτήσασα κτίσις ἀφανισθήσεται εἰς τὸ παντελές; καὶ ποῦ τοῦτο δίκαιον;

Πότε οὖν ἔσται συντέλεια, σαφῶς οἶδεν ἀνθρώπων οὐδείς· συντέλειαν δὲ προφανῶς γινομένην, καὶ τοῖς ὁπωσοῦν συνορῶσιν ἔστιν ὁρᾷν, καὶ ταύτην μὴ μόνον ἐς τόδε τὸ μέρος τῆς γῆς, ἢ τὴν πληθὺν τῶν ἀνθρώπων, ἀλλ' εἰς πάντα σχεδὸν τὰ ἀνθρώπινα· ὅθεν συντέλεια ἀρετῆς, συντέλεια ἀληθείας, εὐσεβείας συντέλεια, συντέλεια θείου φόβου· καὶ ἑνὶ λόγῳ, συντέλεια πάντων ἐστὶ τῶν καλῶν. Πάλιν, Ἀπόστολος πλέον οὐ γίνεται, ἅπας τοῦ λοιποῦ Προφήτης ἐπαύσατο, μάρτυρα νομίμως ἀθλοῦντα οὐκ ἔστιν ὁρᾷν· καθάπερ πᾶς ὁ λαὸς, οὕτω γέγονε καὶ πᾶς ἱερεύς· ὁσίου καὶ βεβήλου οὐκ ἔστι διαστολή· δίκαιος ἐστὶν οὐδεὶς, εὐλάβεια ὤλετο, ἔρρει πᾶν τὸ δι' ὃ γέγονεν ἄνθρωπος, καὶ τίς οὐκ ἂν ἀποφήνοιτο μὴ ὅσον οὔπω παρεῖναι τὴν τοῦ κόσμου συντέλειαν; ἡ ἀνθρωπότης γὰρ κατ' ἐμὴν γνώμην, ἔοικε δένδρῳ οὐ κατ' ἔτος μόνον ὀφείλοντι καρποὺς ἀποδιδόναι τῷ κτίσαντι ἀρεστοὺς, ἀλλὰ καθ' ἑκάστην, ὡς εἰπεῖν, χρονιαίαν ῥοπήν· ἐπεὶ δέ ποτε μυρίους φέρον ἀρίστους, νῦν τοῦ προάγειν τοιούτους ἐπαύσατο, οὐδὲν ἄλλο χρὴ ἐπ' αὐτὸ φθάσαι λοιπὸν, ἢ ῥιζόθεν τομὴν καὶ συντέλειαν. Διὸ κἂν τοῖς κοσμικοῖς ἔστι συντέλεια πρό-

δηλος

δηλος· τῶν γὰρ ἀνὰ τὴν οἰκουμένην ἐπαρχῶν ὁποίαν θέλητις σὺν λόγῳ κατιδεῖν, εὑρήσει τὴν πρὸ ἐτῶν πεντακοσίων ἑκατὸν πόλεις πλουτοῦσαν εὐθιουμένας, μόλις δύο ἢ τρεῖς κεκτημένην σήμερον πενομένας· καὶ πᾶσαν αὖθις Μητρόπολιν τὴν πρὸ χρόνων τριακοσίων χιλιάς ἔχουσαν Κώμας, μόγις ἄρχουσαν εἴκοσιν· Καὶ πᾶσαν πολυάνθρωπον Κώμην τὴν πρὸ διακοσίων ἐτῶν οἰκίας τῶν ἑκατὸν πλείους δεικνῦσαν εὐδαίμονας, δέκα μόλις, καὶ δεινῶς πενομένας, κεκτημένην τὸ τήμερον.

Ὅτι περ ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τόδε τὸ πᾶν ὑποστησαμένη Θεότης οὐδέ τι ἔλαττον ἐστοχάσθη προνοητικῶς τῆς ἀπολήξεως τούτου, ἢ τῆς ἀρχῆς καὶ τῆς διεξαγωγῆς· καὶ ὥσπερ οἱ στρόβιλοι ἐκ τῆς πρώτης αὐτοῖς δοθείσης πληγῆς τὰς ἐφεξῆς ποιοῦνται περιστροφὰς, ὅταν πήξαντες τὸ κέντρον ἐν ἑαυτοῖς περιφέρωνται, οὕτω καὶ τοῦ κόσμου ἡ σύστασις ἐκ τοῦ θείου προστάγματος τὴν ἀρχὴν δεξαμένη, πρὸς πάντα τὸν ἐξ ἀρχῆς διεξέρχεται χρόνον μέχρις ἂν πρὸς τὴν κοινὴν συντέλειαν τοῦ παντὸς καταντήσῃ· καὶ ὃν τρόπον ἑκάστῳ τῶν ἁμαρτωλῶν θάνατος ἐπιφέρεται εἰς ἁμαρτίας διακοπὴν, ὡς ἂν μὴ ἀθάνατον ᾖ τὸ κακὸν, οὕτω καὶ τῷ κόσμῳ συντέλεια ἔπεισι, φθορᾶς ἁπάσης καὶ κακίας ἀπώλεια, ἵνα μὴ τὰ κακὰ βασιλεύῃ διὰ παντός· καὶ ὥσπερ ἐστὶ συντέλεια ἐν φυτοῖς, τομὴ καὶ καῦσις καὶ σῆψις· καὶ ἐν ζώοις, σφαγὴ πνιγμὸς ὄλεθρος· καὶ ἐν ἀνθρώποις, χωρισμὸς ψυχῆς ἀπὸ σώματος, ὃ λέγεται θάνατος· ἐν τῇ πόλει, τειχομαχία λεηλασία καταστροφὴ καὶ ἐρήμωσις· ἐν τοῖς συνθέτοις, εἰς τά ἐξ ὧν ἕκαστον συνετέθη ἀνάλυσις· καὶ κατακλυσμὸς πυρὸς, ἢ καὶ ὕδατος ἐν στοιχείοις· οὕτως ἄρα καὶ κοινὴ τοῦδε τοῦ κόσμου συντέλεια ἐστὶ, θανάτου ἀπόθεσις, καὶ κακίας ἀπαλλαγὴ, καὶ φθορᾶς χωρισμὸς, καὶ δουλείας ἐλευθερία, καὶ ταραχῆς παῦλα, καὶ πολέμων ἀναίρεσις, καὶ σκότους ὑποχώρησις, καὶ πόνων ἄνεσις, καὶ βράσματος ἠρεμία, καὶ αἰσχύνης συγκάλυμμα, καὶ παθῶν ἀποφυγὴ, καὶ πάντων, ἵνα συνελὼν εἴπω, τῶν κακῶν περιγραφή.

Συμβάλλεται δὲ καὶ ἄλλως ταύτην ὅσον ἔπω παρεῖναι τὴν ἐλπιζομένην συντέλειαν, ὅτι καθὼς ὁ μέγας ἔγραψε Παῦλος, ἰδὲ γεγόνασιν οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἀρνησάμενοι· πάντα γὰρ ταῦτα προοίμια συντελείας ἐστὶν, ἵνα μὴ λέγω συντέλεια πρόδηλος. Διὸ καὶ πολλοὶ τῶν ἀνθρώπων, μετὰ τὸν ἕβδομον τοῦτον αἰῶνα εὐθὺς ἐν τῷ τέλει τοῦ ἔτους, τῇ τοῦ δωδεκάτου μηνὸς τελευταίᾳ ἡμέρᾳ, καὶ τῆς ὑστάτης νυκτὸς ὥρᾳ ἑβδόμῃ, ταύτην γενέσθαι στοχαστικῶς ἀποφαίνονται, ἢ ἐλπίζουσι· χρὴ γὰρ, φασὶν, ἐκεῖ τελευτῆσαι τὸν πρόσκαιρον τοῦτον πάντως αἰῶνα καὶ χρόνον, ὅθεν ἤρξατο πρότερον· ὅτι δὲ ἐκ τῆς πρώτης τοῦ πρώτου μηνὸς τὴν ἀρχὴν ἔτος ἔχεν, ὁ Θεὸς πολλαχοῦ, καὶ ἡ φύσις τοῦ κόσμου, καὶ ὁ θεόπτης Μωσῆς μάρτυρες· καὶ ὅτι περ ἡ ἐσχάτη ἡλικία τοῦ κόσμου παραβάλλεται, ὥς που φησὶν ὁ ἱερὸς Αὐγουστῖνος, τῇ ἐσχάτῃ ἡλικίᾳ τῇ τοῦ ἀνθρώπου· ἀπὸ δὲ τῆς τοῦ κόσμου συστάσεως ἕως ἄρτι, ἑβδόμη ἡλικία τρέχει· ἀλλ᾽ ὅσον αἱ προλαβοῦσαι διήρκεσαν ἡλικίαι ἴσμεν, κἀντεῦθεν ἄρα νομίζομεν καὶ περὶ τῆς ἐνεστώσης εἰδέναι, ἄχρι τίνος ἀρκέσει. Ἄρτι, ὡς ἔχομεν συνορᾷν ἐν ὅλοις τοῦ κόσμου τοῖς πράγμασι, χειμὼν ἐστὶ προφανὴς, ἀλλὰ τὸ μὲν ἔαρ διαδέχεται θέρος, τὸ δὲ θέρος φθινόπωρον, καὶ τοῦτο δήπου χειμὼν, τὸν δὲ χειμῶνα τίς ἄλλη διαδέξεται ὥρα, εἰ μὴ τοῦ ὅλου χρόνου συντέλεια; καθάπερ ἀμέλει, τὴν μὲν τοῦ νηπίου ἡλικίαν ἡ τοῦ παιδὸς διαδέχεται, τὴν δὲ ἡ τοῦ μείρακος, ταύτην δὲ ἡ τοῦ νεανίσκου, τὴν δὲ ἡ τοῦ ἀνδρὸς, καὶ ταύτην ἡ τοῦ γέροντος, μεθ᾽ ἣν ἡ πρεσβυτικὴ, τὴν δὲ πρεσβυτικὴν οὐκ ἄλλη τις ἡλικία, εἰ μὴ μόνη ἡ τελευτὴ διαδέχεται. Πρὸς τούτοις ὁ διαγινόμενος καιρὸς μετὰ τὴν τοῦ Χριστοῦ ἐπιδημίαν ἄχρι τέλους τοῦ κόσμου, λέγεται εἶναι βραχύτατος, ὡς ἔνεστιν ἐν τῷ ἑβδόμῳ τῆς πρὸς

Κοριν-

Κορινθίους πρώτης ἰδεῖν Ἐπιστολῆς „ ὁ καιρὸς συνεσταλμένος ἐστί· καὶ ἐν τῷ δεκάτῳ τῆς αὐτῆς „ ἡμεῖς ἐσμὲν εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε· καὶ ἐν τῇ πρώτῃ τοῦ Ἰωάννου, ἐν τῷ τετάρτῳ „ τεκνία ἐσχάτη ὥρα ἐστί. Ταῦτα τοίνυν λέγεται πάντως παρεξεταζομένου τούτου τοῦ χρόνου πρὸς τὸν ἡγησάμενον, ὥστε ἐκ πάντων ἔστι συνάγειν, ὡς ἐφέστηκεν ἡ συντέλεια. Καὶ τάδε μὲν καὶ Γραφικά τε καὶ εὔλογα, δοκοῦσι προβάλλεσθαι οἱ πολλοί.

Πλὴν, εἰ μὴ ὁ τῶν ἐκλεκτῶν ἀριθμὸς τῷ αἰῶνι τούτῳ συμπληρωθῇ, παρεκτανθήσεται καὶ αὐτὸς, ὡς οἶδεν ὁ τῶν αἰώνων ποιητὴς, καὶ τῶν ἁγίων δεσπότης Θεός· οὐ γὰρ διὰ τὸ τὸν αἰῶνα πληροῦσθαι, συμπληροῦται τούτῳ καὶ ὁ τῶν ἐκλεκτῶν ἀριθμὸς, ἀλλὰ διὰ τὸ πληρωθῆναι ποτὲ τὸν ἀριθμὸν τῶν ἁγίων, συμπληρωθήσεται ἅμα καὶ ὁ αἰών· ὅτι ὁ αἰὼν γέγονε διὰ τοὺς ἁγίους, οὐχ οἱ ἅγιοι διὰ τὸν αἰῶνα. Τὸ μυστήριον τοῦτο τῷ ὄντι μέγα ἐστί· κἂν φθάσῃ προφθάσαι, τὸ τῶν ἐκλεκτῶν τοῦτο πλήρωμα, τὴν συμπλήρωσιν τοῦ ἑβδόμου αἰῶνος, αὐτίκα ἔσται συντέλεια· τί γὰρ δεήσει τὸν κόσμον ἵστασθαι πλέον, τῶν ὧν χάριν καὶ συνέστη καὶ ἵσταται ὁλοτελῶς πληρωθέντων;

Περὶ μέντοι τοῦ τῶν ἐκλεκτῶν ἀριθμοῦ ὅσος, ἄλλων ἄλλα λεγόντων ἀκούομεν. Οἱ μὲν γὰρ, ὅσον ὅλον τὸ κτισθὲν ἐξ ἀρχῆς Ἀγγέλων πλῆθος, τοσούτους ἔσεσθαι λέγουσιν, ὡς ἂν ἰσάριθμοι ὦσιν ἄγγελοί τε καὶ ἄνθρωποι. Οἱ δὲ, ὅσον τὸ ἐκπεσὸν τάγμα μόνον οὐρανόθεν ἐκεῖνο, τὸ νῦν λεγόμενον δαίμονες, ὡς ἂν ἀναπληρωθῇ ὁ ἄνω κόσμος φασίν. Ἄλλοι, ὅσαι ἡμέραι μεταξὺ τῶν ἄκρων αἰώνων γεγόνασι καὶ γε ἔσονται. Καὶ ἕτεροι τῷ τῶν ἄστρων πλήθει ἰσάριθμον, διὸ τὸ „ ὅτε ἐγένετο ἄστρα, ἤνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου καὶ ὕμνησαν, λέγεται. Δοκεῖ δὲ περὶ τούτου κρείττων δόξα πασῶν, ἣν ὁ Εὐαγγελιστὴς Ἰωάννης ἐν τῇ Ἀποκαλύψει διέξεισιν, οὕτω πρὸς λέξιν τιθεὶς „ καὶ εἶδον, καὶ ἰδοὺ τὸ ἀρνίον ἑστὼς ἐπὶ τὸ ὄρος Σιὼν· καὶ μετ᾽ αὐτοῦ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες ἔχουσαι τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ὄνομα τοῦ Πατρὸς αὐτοῦ γεγραμ-

„ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν· εἰσὶ δὲ οἵ τοῦτο λέγουσιν, οὐ πᾶν τὸ πλῆθος τῶν ἁγίων, μὴ γένοιτο τοῦτο λέγοντες, τῶν μακαρίων τὸν κύκλον ὀλιγοστὸν οὕτως εἶναι, ἀλλὰ μόνους τοὺς μετὰ τὴν ἔνσαρκον τοῦ Λόγου οἰκονομίαν εἰς ἐκεῖνον πιστεύσαντας· ὅθεν καὶ τὸ αὐτοῦ ὄνομα εἰς τὰ μέτωπα φέρουσιν· ἄλλοι δὲ τοὺς ἐξ Ἰουδαίων πεπιστευκότας ἐπὶ τὸν Κύριον· ὅθεν ἀφ᾽ ἑκάστης φυλῆς, πλὴν τῆς δεῖνος, τόσοι καὶ τόσοι γεγράφαται. Καὶ ἁπλῶς πολλή τις ἐστὶν ἡ περὶ τοῦ τῶν ἐκλεκτῶν ἀριθμοῦ πρὸς τοὺς ἀνθρώπους διαφωνία, καὶ ὡς ἂν ἐγὼ τίθημι, μόνῳ γνωστός ἐστιν ὁ ἀριθμὸς αὐτῶν τῷ Θεῷ· καὶ ταῦτα μὲν περὶ συντελείας εἰρήσθωμοι· καιρὸς δὲ περὶ ἑτοιμασίας διαλαβεῖν, καὶ τὴν πρὸς ὑμᾶς ἐκπληρῶσαι ὑπόσχεσιν.

Καὶ δὴ ἰστέον, ὅτι μετὰ πολλῶν ἄλλων ὁμοιοτήτων, ὁ κόσμος οὗτος ἔοικε πανηγύρει, καὶ ἀγορᾷ· καὶ γὰρ κἀν τούτῳ χρήματα πάντα εἰς ἐμπορίαν τοῖς βουλομένοις ἅπασι πρόκειται· πρὸς δὲ, τρυτάνῃ τινὶ παρεικάζεται ὁ ἀνθρώπινος βίος, πλάστιγγας δύο φερούσῃ τὴν μὲν εἰς οὐρανοῦ ὕψος ὑψοῦσαν ἀεὶ, τὴν δὲ εἰς τάρταρον ᾅδου καταβιβάζουσαν, τοὺς ἐπιτιθεμένους αὐτῇ· πλὴν ἐφ᾽ ὅσον μένομεν ἐνθάδε χρόνον, ὑπὸ τὴν τῆς ἡμετέρας ἐξουσίας ῥοπὴν αἱ πλάστιγγες αὗται κινοῦνται τῶν ἄκρων, ὅπῃ, καὶ ὡς ἂν ἡμεῖς νεύσωμεν θᾶττον φερόμεναι, καὶ ταῖς τῶν ἡμῶν θελημάτων ῥοπαῖς ἐπακολουθοῦσαι, κἂν μυρίοι ὦσιν οἱ ἐμποδίζοντες. Πάλιν, παραπλήσιος ἐστὶν ὁ τῆς ζωῆς ἡμῶν χρόνος ποταμῷ ῥέοντι, καὶ οὐδαμῶς παυομένῳ τοῦ ῥέειν, μυρία δὲ κέρδη ἐπιφέροντι διαρκῶς· ἡμεῖς δ᾽ ἀνθρώποις παρὰ τὴν τούτου ὄχθην ἑστῶσι, καὶ ταῦθ᾽ ἁρπάζουσι σὺν σπουδῇ, ἢ παρορῶσιν ἄλλως· ὡς οὖν ἐκεῖ, ἂν ἡ ὥρα παρέλθῃ τῆς πανηγύρεως, οὐκ ἔστιν ὁ πωλῶν, οὐδ᾽ ὁ ἀγοράζων, οὕτω κἀνταῦθα, εἰ παραδράμοι τὸ κέρδος, ἀνόνητος ἡμῖν ἡ πρὸς τὴν ὄχθην ἐπιμονή. Αὖθις, ἀγρῷ καὶ ἀγῶνι παρόμοιος ἅπας ὁ πρόσκαιρος οὗτος αἰὼν, ἡμέρα δὲ μία πᾶσα ἡ ἑνὸς ἑκάστου ζωή· ἀγωνισταὶ μέντοι τοῦ ἀγῶνος, καὶ ἐργάται τοῦδε τοῦ ἀγροῦ, πάντες ἐσμὲν οἱ

Χριστιανοί· οἰκοδεσπότης δὲ, καὶ ἀγωνοθέτης Ἰησοῦς ἐστὶν ὁ Χριστὸς, ἐργασίας μισθὸν τοῖς ἐργάταις, καὶ νίκης ἆθλα δωρούμενος τοῖς ἀγωνισταῖς. Ἐπὶ τούτοις, ὅμοιος ἐστὶν οὗτος ὁ κόσμος δένδρῳ μεγάλῳ καὶ ὑψηλῷ, καρπὸν μὲν ἄλλον οὐδένα, ὀνειράτων δὲ εἴδη δύο καρποφορῶν ἡδέα τὸ δοκοῦν, καὶ πικρά· καὶ τὰ μὲν ἐγρηγοροῦσι, τὰ δὲ ὑπνώττουσιν ἐμφανίζων ἡμῖν. Ἐπὶ πᾶσι, φρουράτις ἐστὶν ὁ παρὼν βίος, καὶ φρουρᾶς ὄντως χείρων· ὅτι ὀδύνας συνεχεῖς, καὶ φροντίδας, καὶ θλίψεις ἀλλεπαλλήλους, καὶ βίας τοῖς βιοῦσιν ἐπάγει δεινὰς, στενοχωρῶν αὐτοὺς καὶ πικραίνων ταῖς καθ' ἑκάστην μεταβολαῖς, καὶ τὰς ἀΰλους τούτων ψυχὰς, ὥσπερ εἴς τινας λάκκους δυσώδεις κατέχων τούτοις τοῖς σώμασιν.

Εἰ τοίνυν ταῦτ' ἀληθῆ, καὶ τοιοῦτον ὁ βίος, ὑπομείνωμεν ἀνδρείως καὶ τὰ τούτου δεινὰ, παρέρχεται γάρ· μὴ πιστεύωμεν ὀνείρασιν αὐτοῦ τοῖς ἀπατηλοῖς, μήτε τοῖς ἐκφοβοῦσι, μήτε τοῖς σαίνουσιν· ἐρῶτα γὰρ παρατρέχει, καὶ ληφθέντα διαφεύγει, καὶ μικρόντι ταῦτα φανέντα, εὐθὺς ἀποκρύπτεται· ἕως ἡμέρα ἀγῶνος, καὶ καιρὸς ἐργασίας, ἐργασώμεθα καλῶς, καὶ γενναίως ἀγωνισώμεθα, μισθῶν ἀθανάτων καὶ ἀμαράντων στεφάνων προκειμένων ἡμῖν· παρατρέχει ὁ χρόνος ἀπαύστως· διώξωμεν τὴν ἀρετὴν ὡς φεύγουσαν, καὶ κατάσχωμεν· ἕως τὸ μέσον οἰκοῦμεν, φύγωμεν τὴν τοῦ ᾅδου σκοτόμαιναν, ἀνανεύσωμεν πρὸς τὴν θείαν ἀκτῖνα, πρὸς τὸν οὐρανὸν ἀναβάσεις ποιώμεθα, μὴ ᾅδης ἡμᾶς διαδέξηται· σωτηρία πωλεῖται, πρὸ τοῦ λυθῆναι τὴν πανήγυριν πραγματευσώμεθα· οὕτως ἑτοιμάζεται ἄνθρωπος πρὸς τὴν ἔξοδον, οὕτω παρασκευάζεται κατὰ τὸν Προφήτην εἰς τὸν ἀγρόν· ὅτι τὸ ἡμερονύκτιον μικρὸς ἐστὶν ἐνιαυτὸς, καὶ ὁ ἐνιαυτὸς μέγα ἡμερονύκτιον· ἡ τῶν ἀνθρώπων ἑκάστου τελεία ζωὴ καιροῖς ἀνάλογος τέσσαρσι, καὶ ἡ τῶν φύσει γινομένων ἑκάστου ὅθεν σύνεσιν ἀνάλυσις, ἔοικεν ἔτει ἑνί· ὅγε βίος ἑκάστου βραχὺς αἰὼν ἄντικρυς, καὶ ὁ ἀφ' οὗ ἐπλάσθη Ἀδὰμ, ἄχρι τῆς συντελείας πᾶς χρόνος, βίος ἐστὶ μακρός·

ἀμέλει

ἀμέλει, καθάπερ ἐδεὶς ἐν χειμῶνι τὰ τῦ ἔαρος ἀπαιτεῖ, ἐδ᾽ ἐν γήρᾳ τὰ τῆς νεότητος, ἐδ᾽ ἐν ἑσπέρᾳ τὰ πρωϊνὰ, ἐδ᾽ ἑνὶ λόγῳ, ἐν τέλει τὰ τῆς ἀρχῆς· ὕτως ἄρα ἐδὲ νῦν ἐν τῇ συντελείᾳ τῦ κόσμε χρεὼν ἀπαιτεῖν, τὰ κατὰ τὴν ἀκμὴν τύτε γενόμενα, ἢ κατ᾽ ἀρχὰς, ἀλλ᾽ ὅσα ὁ χρόνος τῆς συντελείας φέρει, τὰ τῆς ἀρχῆς τῦ κόσμε πάντως ἀντίθετα, καθ᾽ ὃν τρόπον ἐκεῖ, ὁ τῆς ἑσπέρας καὶ τῦ γήρως καὶ τῦ χειμῶνος ἀπήτει καιρός.

Ὅτι ὁ Χρόνος καθάπερ τις τροχὸς καλινδέμενος, καὶ ἑαυτῷ τὲς ζῶντας συμπεριάγων, τὲς μὲν σπεδαίες εἰς ἐράνιον ὕψος ἐπαίρει ταῖς ἀρεταῖς, τὲς δὲ ῥαθύμες εἰς κακίας βόθυνον συνωθεῖ, καὶ δεῖ νήφειν ἀεὶ μὴ παρασυρῶμεν εἰς ὄλεθρον. Πάλιν, τῦ ἐν Ἐδὲμ παραδείσε εἰκὼν ὁ κόσμος ἕτος ἐςίν· ὡς γὰρ ἐκεῖ Ἀδὰμ, καὶ Εὔα, καὶ ξύλον ζωῆς, καὶ γνώσεως ἄλλο, καὶ ὄφις ἦν σκολιὸς, ἕτω κἀνταῦθα αὐτὰ δὴ ταῦτα, ἢ παραπλήσια τέτων εἰσίν· ὄφις μὲν, ὁ καὶ τὴν ἀκαῦτα πρὸς ἡμετέραν ἀπάτην, ὀργάνῳ τῷ ὄφει χρησάμενος· φυτὸν γνώσεως ἡ κακία, τὴν ἡδονὴν προβαλλομένη ὡς θέλγητρον· ξύλον ζωῆς ἡ ἀρετὴ, ὡς ἀθανασίας τοῖς μετέχεσι πρόξενος· τὸ τῶν γυναικῶν φῦλον Εὔα, καὶ τὸ τῶν Ἀνδρῶν γένος Ἀδάμ. Ὡς ἐν εἰδότες τίνες ἐσμὲν, καὶ ὅπῃ διάγομεν, καὶ τίνα τὰ καθ᾽ ἡμᾶς, φυλαξώμεθα μὴ καὶ αὖθις ἀπατηθῶμεν· ἁψώμεθα τῦ ξύλε τῆς ζωῆς, ὡς ἂν ἀθάνατα ζήσωμεν· ἐ γὰρ ὕτως ἐςὶν ἀναγκαῖον αἰσθάνεσθαι τῦδε τῦ κόσμε, ἐπεὶ ἐν αὐτῷ διατρίβομεν, ὡς τὸ μεμνῆσθαι τῦ παραδείσε· ὅτι ὅσον ἔπω ἑτοιμασθέντας ἐκεῖνος ἡμᾶς διαδέξεται· πάροικοι γὰρ ἐσμὲν ἐν τέτῳ, καὶ ξένοι, καὶ παρεπίδημοι ἐ μόνον, ὅτι τὰ πρόσκαιρα πάντα καὶ ἐνταῦθα εὕρομεν, καὶ ἄκοντες ὧδε καταλείψομεν πάλιν, ἀλλ᾽ ὅτι πόλις ἡμῶν ἐςὶν ἀληθὴς ἡ ἄνω Ἰερεσαλὴμ, ἡ ἐλευθέρα Μητρόπολις, καὶ οἰκίαν ἔχομεν ἀχειροποίητον ἐν τοῖς ἐρανοῖς τὰς αἰωνίες μονὰς, καὶ ὁ παράδεισος ἡ Ἐδὲμ, τῆς τρυφῆς τὸ χωρίον, οἰκιςὰς ἡμᾶς καὶ θεωρὲς ἀπεκδέχεται· καὶ δεῖ λοιπὸν Πατρίδος καὶ ἀποικίας

ἐπισταμένους τὸ μέσον, πάντα μετατιθέναι διὰ τῆς χρηστῆς μεταδόσεως, ὅπου μετὰ μικρὸν ἀπέρχεσθαι μέλλομεν· καὶ ὁσημέραι παρασκευάζεσθαι, πρὸς τὴν εἰς τὴν πατρίδα ἐπάνοδον, μηδὲν καταλιπόντας ἐνταῦθα, ἀλλὰ μεθ' ἡμῶν πάντα ἐπαγομένους, ὅσα ἐν ταύτῃ τῇ ἐξορίᾳ παρὰ Θεοῦ ἐκτησάμεθα.

Οὐκοῦν ἐξαίρετός τε καὶ ἀνεπίληστος λογισμὸς ὑμῖν πᾶσιν, οὗτος προκείσθω· καὶ ἅπαξ ὑμῶν ἑκάστου, καὶ πάλιν, καὶ αὖθις, καὶ πολλάκις τοιαῦτα λογιζομένου καὶ λέγοντος ἑαυτῷ, ἢ καὶ ταῦτα τὰ ῥήματα. Ἤδη πρὸ τῶν παρῳχηκότων δέκα τούτων ἐνιαυτῶν, ἢ πρὸ πέντε μηνῶν, ἢ ἡμερῶν τοσῶνδε, ὁ δεῖνά μοι συγγενὴς ὁ σπουδαῖος, καὶ ὅδε ἄρχων ὁ ἐλεήμων, καὶ ὁ τὴνδε τὴν ἀρετὴν μετιὼν Μοναχὸς ἐκοιμήθησαν· ἆρα ποῦ προαπῆλθον ἐκεῖνοι; εἰς τὸν οὐρανὸν δηλαδή, ὅπου καλῶς ἐθησαύρισαν· καὶ τίνων ἐκεῖ καλῶν ἀπολαύουσιν; ὁρῶσιν ἀνέσπερον Φῶς, τοὺς Ἀγγέλους, τοὺς Ἀρχαγγέλους, τὰς Ἀρχάς, τὰς Ἐξουσίας, τὰς Κυριότητας, τὰς Δυνάμεις, τὰ Χερουβίμ, τὰ Σεραφίμ, καὶ τοὺς Θρόνους· θεωροῦσι τὴν ἐκ τοῦ θείου θρόνου πηδῶσαν ἀστραπήν· βλέπουσι ὅλους ἑαυτούς, καὶ ἀλλήλους· τὸ στρατόπεδον ἅπαν, τὰς αὐλὰς τὰς βασιλικάς, τὰς αἰωνίους σκηνάς· ἀγάλλονται πάντοτε, ψάλλουσιν ἄπαυστα, καὶ ἑορτάζουσιν ἄληκτα. Πάλιν, ἐντὸς τῶν εἰρημένων ἐτῶν, πρὸ πέρυσι, πέρυσι, ἔναγχος, ὁ δεῖνά μοι γεννήτωρ ὁ ῥᾴθυμος, καὶ ὅδε ἄρχων ὁ κατ' ἐμὲ ἄδικος, καὶ ὁ δεῖνα Μοναχὸς ὁ ἀμαθὴς καὶ φιλάργυρος ἀνηρπάσθησαν· ἆρα ποῦ κατετάγησαν; ὅσον ἀπὸ τῶν ἔργων αὐτῶν εἰς ᾅδου· κἀκεῖ δὲ τί πάσχουσιν; ἐν σκότει κάθηνται πάντως, καὶ σκιᾷ τοῦ θανάτου, πεπεδημένοι ἀλύτοις δεσμοῖς, κλαίουσιν ἄπαυστα, μετανοοῦσιν ἀνωφελῆ, φύλακας κέκτηνται δυσειδεῖς, ἀγρίους τε καὶ ἀνελεήμονας· καὶ οὐδὲν ἄλλο ἔστιν ἀκούειν ἐκεῖ, εἰμὴ ἀβάλε! οὐαί! ὤ! οἴμοι! αἶμε! φεῦμοι! τί πέπονθα! ὢ μυστήριον!

Ἐγὼ

Ἐγὼ πάντας εἶδον οἰκείοις ὀφθαλμοῖς, καὶ ἔτι τοὺς τῶν προσώπων αὐτῶν χαρακτῆρας ἀναπολῶ κατὰ νοῦν· πῶς ἐν οὕτως ὀλίγῳ χρόνῳ, οἱ μὲν τὸ παλάτιον τοῦ Βασιλέως τῶν ὅλων εἰς ἐνδιαίτημα ἐκληρώσαντο, καὶ τὰ τοσαῦτα ἀγαθὰ, οἱ δὲ τὴν ἐχάτην τῶν καταδίκων φρουρὰν οἰκεῖν δυςυχῶς κατεκρίθησαν; ὃ γάρ ἐςι βασίλειον Βασιλέως ἐν πόλει, τοῦτο ἐςὶ Θεοῦ παλάτιον, ὁ οὐρανὸς ἐν τῷ παντί· καὶ ὅπερ ἐςὶν εἱρκτὴ καταδίκων ἐν πολιτείᾳ, ζοφῶδες οἴκημα καὶ δυσῶδες, τοῦτο ἐν κόσμῳ ὁ ἅδης, ἁμαρτωλῶν δεσμωτήριον· ὅθεν τὸν μὲν οὐρανὸν ὁριζόμεθα, περιοχὴν ὁρατῶν τε καὶ ἀοράτων κτισμάτων, καὶ χωρίον φωτὸς ἀνεσπέρου πεπληρωμένον· τὸν δὲ ἅδην χωρίον ἀφεγγὲς, σκότους αἰωνίου καὶ ζόφου πεπληρωμένον, ἢ κοινὸν ἁμαρτωλῶν πανδοχεῖον, καὶ θρήνου ἐργαςήριον· Τί ταῦτα βούλεται πάντα, καὶ ἐπὶ τίνα τείνει σκοπόν; ἢ πάντως ὡς ἂν ἐγὼ εἰς συναίσθησιν ἐλθὼν τούτων μεταβάλωμαι, καὶ ἢ τῷ πόθῳ τῶν ἐν οὐρανοῖς ἀγαθῶν, ἢ τῷ φόβῳ τῶν εἰς ἅδου δεινῶν, κακίας ἀπόσχωμαι, καὶ δράξωμαι ἀρετῆς, καὶ πῇ πορεύσομαι ἴδω, καὶ παρασκευασθῶ πρὸς τὰ μέλλοντα. Εἰδὴ ταῦθ' οὕτω προδήλως οἰκονομεῖται καὶ γίνεται δι' ἐμὲ, τί τῶν ἁγίων ἄξιον καὶ αὐτὸς ποιῶ, δι' οὗ ἐντεῦθεν ἀπελθὼν σὺν αὐτοῖς ἀναπαύσομαι; οὐδέν. μᾶλλον δὲ, εἴπερ ὅσα καὶ οἷα εἰργάζοντο ζῶντες οἱ νῦν ἐν σκιᾷ τοῦ θανάτου καθήμενοι, ταῦτα καὶ πλείω κἀγὼ διαπράττομαι, πάντως ὅσον οὔπω καὶ αὐτὸς εἰς ἅδου καταχθήσομαι. Ἀλλὰ μή μοι γένοιτο τοῦτο! ἀφίςαμαί σου ἐπάρατε ἡδονή· ἔῤῥε κόσμε πλάνε, καὶ κοσμοκράτωρ ἀπατεὼν· οὐ χωρισθήσομαί σου φίλη Πατρίς· ἰδοὺ γὰρ γνωρίζω καὶ ἀληθείᾳ αἰσθάνομαι, ὅτι ζῶ ζωὴν παρερχομένην καὶ ῥέουσαν, καὶ ὅσον οὔπω φθάνει τὸ τέλος αἰφνίδιον, καὶ ἀναλῦσαι εἰς ἑτοιμασίαν οὐκ ἔνι· ὁδὸς γάρ ἐςιν ἡμῶν ἡ ζωὴ ἀμετάςρεπτος, ἀπὸ γεννήσεως ἄχρι καὶ τελευτῆς παρεκτεινομένη· πανδοχεῖον οὗτος ὁ κόσμος, καὶ καταγώγιον πάντων ἀνθρώπων ἐςὶ, καὶ τὰ ἐν τούτῳ πάντα σήμερον ἡμῶν, καὶ αὔριον ἄλλων, καὶ οὐδέποτέ τινος· καὶ λόγον ἔχω δοῦναι ἐνώπιον πάσης τῆς

κτίσεως

κτίσεως περὶ πάντων τῶν εἰργασμένων μοι· χθὲς ἐγεννήθην, σήμερον ζῶ, καὶ αὔριον ἀποθνήσκω· ὁ γὰρ αὐτὸς κόσμος χωρίον ἐςὶ ζώντων, καὶ θνησκόντων τάφος. Ὡς ἂν ἔχω καιρὸν σπουδάσω εὐαρεςῆσαι Χριςῷ· ἐν ὅσῳ αἰσθήσεις κέκτημαι, δοξάσω διὰ τούτων τὸν ποιητήν· ἕως ὑπάρχω, ἐργάσομαι τἀγαθόν· ἐφ' ὅσον Κύριος εἰμὶ τῶν ἐμῶν κτημάτων, πέμψω ἐξ αὐτῶν ὅπου χρείαν ἕξω μετὰ μικρόν· ἕως Κύριος εἰμὶ τοῦ γενέσθαι οὐράνιος καὶ μὴ καταχθόνιος, ἑτοιμασθήσομαι ἀνελθεῖν εἰς τὸν οὐρανόν.

Θαλάσσῃ γὰρ ἔοικεν ὁ τῶν ἀνθρώπων βίος, πλοίῳ ἡ θέλουσα σωθῆναι ψυχὴ, κυβερνήτης ὁ νοῦς, πολυτελεῖ φορτίῳ ἡ ἀρετὴ, καὶ λιμένι ὁ οὐρανός. Ἔτι ὁμοία ἐςὶν ἡμῶν ἡ ψυχὴ πλοίῳ ἑτοίμῳ, μὴ γινώσκοντι πότε ἐξέρχεται εἰς αὐτὸ ὁ ἄνεμος· καὶ ςρατῷ, μὴ ἐπιςαμένῳ πότε σαλπίσει ἡ σάλπιγξ· καὶ ὁ κληθῆναι προσδοκῶν παρὰ Βασιλέως τῇ αὔριον, τίνος ἐν φροντίδι ἄλλου ὀφθήσεται, ἢ περὶ πραγμάτων καὶ λόγων μελέτης τῶν εἰς ἐκείνου τυγχανόντων ἀρέσκειαν; τοίνυν εἰπὲ τῷ σωματίσου ψυχή· ἰδοὺ διπλῆ ἔφθασεν ἐφ' ἡμᾶς συντέλεια, καὶ τὸ γῆρας τοῦ κόσμου, καὶ τὸ γῆρας τὸ σόν· ἤδη κέκλικεν ἡ ἡμέρα, καὶ πρὸς δυσμὰς ἡμῶν ὁ ἥλιος γέγονε· τὶ ποιοῦμεν ἐν τῷ κόσμῳ; ὀλίγος ἐςὶν ὁ καιρὸς ἡμῶν· μέλλεις ὅσον οὔπω ἀπέρχεσθαι εἰς μνημεῖον καὶ φθείρεσθαι· εἰπὲ καὶ σαυτῇ, τὶ ποιεῖς ὧδε; ἄπελθε, πρόσφυγε τῷ Θεῷ, μήπως κολασθῇς εἰς πῦρ αἰώνιον· ἕως πότε ἡδονή; μέχρι τίνος προσπάθεια; ἕως πότε δουλεία; πολὺν ἔζησας τῷ κόσμῳ χρόνον, ζῆσον ποσῶς καὶ σαυτῇ· μακρᾷ δεδούλευκας τῇ ἀπάτῃ, ἐλευθερώθητι ταύτης ὀψέ· ἀναλόγισαι τὰ παρελθόντα ἔτη, μνήσθητι ἐκ πόσου ταῦτα ἀναβάλλῃ, καὶ ποσάκις προθεσμίας λαβοῦσα παρὰ τοῦ Θεοῦ, οὐ χρᾷ ταύταις; δεῖ δὲ ἤδη ποτὲ αἰσθέσθαι, ὅτι ὅρος ἔςι σοι περιγεγραμμένος τοῦ χρόνου, ᾧ ἐὰν εἰς τὸ μὴ ἐργάσασθαι χρήσῃ, οἰχήσεται, καὶ σὺ οἰχήσῃ, ἢ αὖθις οὐκ ἐξέςαι (*) ταπεινὴ ψυχή· χρυσὸν ὁ ἀπολέσας,

σας, εὗρεν ἄλλον ἀντ' αὐτοῦ, καιρὸν δὲ ὁ ἀπολέσας, οὐδέποτε· ἴδε, ἔφθασε τὴν θύραν ὁ ἀπαιτήσων σε Ἄγγελος, ἤγγισέ σου τὸ τέλος, τί κάθῃ ἀμέριμνος; τί ἐπαγάλλῃ εἰς ἃ μέλλεις ὅσον οὔπω καταλιπεῖν, καὶ ὧν τῆς θέας στερηθήσῃ εἰς τοὺς αἰῶνας; ἀνάνηψον, ἀπόταξαι πᾶσι, πρόσπεσον τῷ Θεῷ· ἀποδημία ἐστὶν αἰώνιος, μὴ ἔχουσα πάλιν ἐπάνοδον· ἐν ὅσῳ ἔχεις πόδας, δράμε ὀπίσω τῆς ἐργασίας τῶν καλῶν· ἐν ὅσῳ ἔχεις ὀφθαλμοὺς, πλήρωσον αὐτοὺς δακρύων, πρὸ τοῦ σκεπασθῆναι αὐτοὺς ὑπὸ τοῦ κονιορτοῦ· ἐν ὅσῳ ἔχεις χεῖρας, ἔργασαι τὸ ἀγαθόν· ὁ καιρὸς συντέμνει, διανάστηθι· ἔγειραι, κάμε, σπούδασον· ἑτοιμασθῶμεν ὦ ψυχή· καιρὸς ἐξόδου ἥκει. Ἀλλὰ σῶσόν με, σῶσόν με ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα, ἡ ἁγνὴ Τριάς! σῶσόν με ὁ εἷς καὶ μόνος Θεός· ὅτι σοὶ πρέπει δόξα κράτος καὶ προσκύνησις εἰς τοὺς αἰῶνας, Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ

# ΛΟΓΟΣ Γ.

## ΕΝ ΤΩ ΑΥΤΩ ΡΗΘΕΙΣ ΠΑΛΑΤΙΩ, ΕΙΣ ΤΗΝ ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΜΟΥ ΕΟΡΤΗΝ.

Εἴρηται δὲ μετὰ ἐνιαυτὸν ἕνα τῆς τȣ͂ δευτέρȣ λόγȣ πρὸς αὐτὴν ἐκφωνήσεως.

Η῾ Βασίλισσα τῶν Ἀγγέλων, ἡ Δέσποινα τῶν ἀνθρώπων, ἡ Κυρία τȣ͂ κόσμȣ, σύμοι παράσχȣ λόγον, τὰ σὰ μεγαλεῖα διεξιέναι προθυμȣμένῳ· ἐκ σȣ͂ γὰρ ἡ αὐτοσοφία προῆλθεν· ἐν σοὶ ὁ τȣ͂ Θεȣ͂ ἐνυπόστατος Λόγος ὑπὲρ λόγον κατῴκησεν· καὶ εἰς σὲ ἀφορῶν πᾶς ὁ βȣλόμενος λέγειν ὀρθῶς, ȣ̓κ ἀστοχεῖ τῆς προθέσεως. Ἀλλ᾽ ὅτι μὲν αὐτὴ δώσεις, πέπεισμαι· αὐτοὶ δ᾽ ὦ Φιλακροάμονες Ἄρχοντες προσέχετε.

Θεὸν μὲν ἕνα τὸν ὅλων εἶναι πιστεύειν ὡς χρὴ καὶ ὁμολογεῖν, φύσεως λογικῶν, καὶ εὐγνώμονος ἴδιον· ἀπιστεῖν δὲ τȣ͂ εἶναι αὐτὸν, ἢ ἀρνεῖσθαι, ἀσυνέτȣ τῷ ὄντι ἢ ἀθέȣ ψυχῆς. Θεὸν δὲ ὁ πιστεύων εἶναι ὀρθῶς, ἀνάγκη καὶ δημιȣργὸν αὐτὸν πιστεύειν εἶναι· εἰ δ᾽ ȣ͂ν, καὶ ἀκίνητος, καὶ ἀνενέργητος ὁ Θεὸς ἔσται τȣ́τῳ, καὶ ἄλλȣ Θεȣ͂ εἶναι δόξει, τὰ ὁρατὰ πάντα καὶ τὰ ἀόρατα κτίσματα. Δημιȣργὸν δὲ τῶν ὅλων ὁ πιστεύων εἶναι Θεὸν, πάντως καὶ προνοητὴν τȣ́των, τὸν αὐτὸν εἶναι οἴεται· εἰ δ᾽ ȣ͂ν, ἄλλον μὲν εἶναι τὸν ποιητὴν τῶν κτισμάτων, ἄλλον δὲ τὸν ἄρχοντα τȣ́των, ἀνάγκη πᾶσα ὁμολογεῖν· τὸν μέντοι

πάντων προνοητὴν ὐδεὶς ἐςὶν ὁ μὴ ςέργων ἀγαθὸν εἶναι φύσει· ἀγαθῦ δὲ οἰκεῖον ἐλεεῖν καὶ οἰκτείρειν τὰ οἰκεῖα ποιήματα· ἐλεῦντος δὲ ταῦτα, τὸ πολυτρόπως ἐπιμελεῖσθαι· ἐπιμελομένυ δὲ, τὸ πάντα μετάγειν ἐπὶ τὸ βέλτιον.

Πάλιν, τῶν τῦ Θεῦ δημιυργημάτων, τὰ μὲν ἀναίσθητα εἰσὶ πάντη, τὰ δὲ αἰσθητικά· καὶ τὰ μὲν ἀλόγυ μετέχει αἰσθήσεως ὁπωσῦν, τὰ δὲ καὶ αἰσθήσεως, καὶ λόγυ, καὶ νῦ· ἀλλὰ τῶν μὲν ἀναισθήτων πάντων ἢ τῶν ἀλόγων ὐδὲν αὐτεξύσιον ὂν, ὐδὲν προσκρύει Θεῷ, τὰ δὲ τῷ αὐτεξυσίῳ τετιμημένα, ἐπεὶ δύναται καὶ τὸ ἀγαθὸν ὡς κακὸν, καὶ τὸ κακὸν ὡς καλὸν καὶ νομίζειν, καὶ πράττειν, πολλὰ προσκρύοντα Θεῷ, πολλῆς εὐσπλαγχνίας τῦ ποιήσαντος δεῖται, πολλῆς συμπαθείας, καὶ ἀμετρήτυ συγκαταβάσεως· εἰ δ' ῦν, ἀνάγκη πᾶσα καὶ τὸν δημιυργὸν τῦτον ἀσυμπαθῆ τινὰ καὶ ἄσπλαγχον εἶναι, καὶ τὸ δημιύργημα τῦτο τέλεον θᾶττον διαφθαρῆναι. Εἰ δὲ ταῦτα τῦτον ἔχει τὸν τρόπον, ἔςι δὲ ὁ εἷς πάντων καὶ μόνος Θεὸς, ὁ αὐτὸς καὶ ποιητὴς τῶν αὐτῶν καὶ προνοητὴς, ἥμαρτε δὲ πολλαχῶς τὸ πλάσμα τῦτο ὁ ἄνθρωπος, κἀντεῦθεν κατήντησεν εἰς φθορὰν, ἐχρῆν κατὰ πᾶσαν ἀνάγκην τῦτον ἐλεηθῆναι πρὸς τῦ οἰκείυ δεσπότυ, καὶ εἰς τὸ πρῶτον ἀφ' ῦ ἐκπέπτωκεν ἐπανελθεῖν ἀγαθόν· τῦτο δὲ πάντως, ὐκ ἄλλως ἔδει γενέσθαι, εἰ μὴ διὰ θαυμασίας καὶ ξένης τῦ πλάσαντος τῦτον ἀρχῆθεν, οἰκονομίας. Διάτοι ταῦτα ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τόδε τὸ πᾶν συςησάμενος Λόγος, καὶ πάντα μετασκευάζων καὶ πρὸ τῆς παλιγγενεσίας ἐπὶ τὸ κρεῖττον, ἐπεὶ τὸ ἑαυτῦ πλάσμα, δι' ὃ τὸ πᾶν τόδε συνέςη, οἰκονομικῶς ἀναπλάσαι ηὐδόκησεν, ὃν τρόπον ἐν τῇ κοσμοποιΐᾳ, ἓν κρᾶμα ἐξ ἀοράτυ καὶ ὁρατῆς κτίσεως, σοφίας μείζονος γνώρισμα, καὶ κόσμον τῦ κόσμυ τὸν ἄνθρωπον ἔπλασε, τόνδε τὸν τρόπον, καὶ ὑπὲρ τῦτον, ἐν ὑςέροις τοῖς χρόνοις μετὰ τὸ μακρυνθῆναι Θεῦ τὸ ἀνθρώπινον γένος, βυληθεὶς ἐν ταυτῷ καὶ τὴν πρώτην εἰκόνα

κόνα καινίσαι, καὶ κρείττονα ταύτης ἀσυγκρίτως συςήσασθαι, καὶ τελεώτερον. Ἀγγέλοις τε καὶ ἀνθρώποις, τὴν ἰδίαν περὶ τὰ οἰκεῖα ποιήματα καὶ δύναμιν καὶ ἀγάπην ἐνδείξασθαι, πάντα συνελὼν θελήσει μόνῃ, οἷς πάντα διελὼν πρὶν ἐκόσμησε, θείων πάντων καὶ ἀνθρωπίνων συνάφειαν, καὶ κόσμον ἀμφοτέρους ἐπικοσμοῦντα τοὺς κόσμους, καὶ ἑαυτῷ βασίλειον ἔνδυμα τὸν τοῦ ἀνθρώπου Υἱὸν (λέγω δὲ πᾶν τὸ πρόσλημμα, ᾧ καθ' ὑπόςασιν ἥνωται) ἐκ παρθένου μήτρας διέπλασεν.

Ὡς γὰρ τὸ λογικὸν τοῦτο ζῶον ὁ ἄνθρωπος, μέσον τοῦ νοῦ καὶ τῆς ὕλης ἱςάμενος, σύνδεσμός τις ἐςὶ κατὰ φύσιν πάσης ὁρωμένης τε καὶ ἀοράτου κτίσεως, οὕτως ἑνωθεὶς ὁ τοῦ Θεοῦ Λόγος, καὶ πάντων κτισμάτων δημιουργὸς τῇ φύσει τῆς ἀνθρωπότητος ὑπὲρ φύσιν, διὰ ταύτης καὶ πάσῃ τῇ κτίσει ἥ κατὰ λόγον ἥνωται, καὶ ὑπὲρ λόγον· ὑπὲρ λόγον μὲν, ἐπεὶ οὐδὲν τῶν λογικῶν κτισμάτων τὴν ἕνωσιν ταύτην ἑρμηνεῦσαι δύναται ὁπωσοῦν· κατὰ δὲ λόγον ἐξ ἀνάγκης ἀκόλουθον, ἐπεὶ ὁ μὲν ἄνθρωπος μεταίχμιον οἷον ἐςὶν ἀμφοτέροιν τοῖν κόσμοιν, ἄϋλος ὢν ὁ αὐτὸς ἅμα καὶ ὑλικὸς, ὁ δὲ καθ' ἕνωσιν ἀδιάςατον τούτου πάντως μετέχων, πάσης μετέχει τῆς κτίσεως· ἀμέλει καθάπερ ὁ ἐπὶ τῆς κορυφῆς τοῦ κρατοῦντος οὑτοσὶ τιθέμενος λίθος τῇ διαυγείᾳ εἰς ἑαυτὸν τὴν ἡλιακὴν ἀκτῖνα ἐφέλκεται, ὥςε καὶ δι' αὐτοῦ ὅλου χωρεῖν, καὶ τοὺς περὶ τὸν Ἄνακτα περιλάμπειν, οὕτω δὴ καὶ ἡ ἀξία τῆς ἑνώσεως ταύτης γενέσθαι μεσίτεια, τῷ τῆς καθαρότητος ὑπερβάλλοντι, τὸν πάσης ἐπέκεινα καθαρότητος πρὸς ἑαυτὴν ἐφελκύσατο, καὶ τὰ τῆς θείας χάριτος ἐξ αὐτῆς διέβη καὶ πρὸς ἡμᾶς· ἡ γὰρ δόξα τῆς προσειλημμένης σαρκὸς τῷ ποιήσαντι, διὰ τῆς ἐξ ἧς αὕτη προσείληπται, εἰς ἅπασαν τὴν ἡμῶν διαβαίνει φύσιν· καὶ γὰρ ἐκέκριτο ἄνωθεν, τῷ πάντα πανσόφως οἰκονομοῦντι Λόγῳ, μήτε πάντῃ τὰ καθ' ἡμᾶς ἀπανήνασθαι, μήτε μὴν τελείως προσήκασθαι· τὸ μὲν, ἵνα τὸ πρὸς ἡμᾶς συγκαταβατικὸν αὐτοῦ δείξῃ, καὶ τὸ κατὰ τὴν ἐνανθρώπησιν ἀψευδές· τὸ δὲ,

ἵνα παραστήσῃ καὶ τὸ ἑαυτοῦ πανσθενὲς, καὶ τὴν οἰκείαν τηρήσῃ Θεότητα ἄτρεπτον· καὶ ὥσπερ πλαστουργὸς ἄριστος, κάλλιστον θέλων ἀπεργάσασθαι σκεῦος, καθαρωτάτην τε καὶ χρησιμωτάτην ἀπολεξάμενος ὕλην, τὴν ἑαυτοῦ περὶ τὸ πλαστουργεῖν δύναμιν ἐν ταύτῃ μάλιστα δείκνυσιν, οὕτω δήπου καὶ ὁ ἀριστοτέχνης Θεὸς, ἱερὸν τῆς ἀειπαρθένου ἅγιον καὶ τὸ σῶμα, ἁγίαν καὶ τὴν ψυχὴν, ὅλην σκεῦος ἡγιασμένον, καὶ δεκτικὸν τῆς αὐτοῦ Θεότητος κατεσκεύασε.

Καὶ τοῦτο πάνυ καταλλήλως, καὶ λίαν Θεοπρεπῶς. Ἐχρῆν γὰρ τὴν μὲν ἐξ ἧς ἔδει πλασθῆναι τὸν γενάρχην Ἀδὰμ, ἅτε γηγενῆ προαγαγεῖν παρηγγελμένην ὑπὸ Θεοῦ, αὐτὸ τοῦτο γῆν εἶναι, καὶ μηδὲν πλέον· τὴν δὲ τὸν παντουργέτην προενεγκεῖν μέλλουσαν, φύραμα οἷον εἶναι οὐρανίων πάντων καὶ ἐπιγείων καλῶν, ὅτι ὁ ἐκ Θεοῦ ὢν, καὶ πρὸς Θεὸν ὢν, καὶ Θεὸς ὢν, καὶ ἀναιτίου, καὶ παναιτίου, καὶ διὰ ταῦτα πάντων ὑπὲρ ἄνω Πατρὸς συναΐδιος Λόγος, καὶ τοῦ ὑπεραγάθου γεννήτορος Υἱὸς ἀγαθώτατος, ἐξ αὐτῆς μόνης ὡς ἐξ ἁγίας γῆς καὶ ἐμψύχου καὶ λογικῆς καὶ ὑπεραγίας τὸ ἑαυτοῦ ὑπεράγιον σῶμα πλαστουργῆσαι ηὐδόκησε. Διάτοι τοῦτο καὶ τὸν παράδεισον ἐξ ἀρχῆς Ἐδὲμ ἐκάλεσεν ὁ Θεὸς, ὅπερ ἐστὶ παρθένος γῆ κατὰ τὴν Ἑβραίων φωνὴν, προδιαγράφων τὴν ἐκ παρθένου τοῦ θείου Λόγου γενησομένην προέλευσιν ἐν ὑστέροις καιροῖς· ἐκείνη γὰρ ἡ παρθένος, τῆς Παρθένου ταύτης τύπος ἦν ἄντικρυς· τί δήποτε; ὅτι καθάπερ ἡ γῆ ἐκείνη μὴ δεξαμένη σπέρματα, τῆς τρυφῆς ἡμῖν τὸ χωρίον ἐβλάστησε τὴν Ἐδὲμ, οὕτω καὶ αὕτη μὴ δεξαμένη σπέρμα ἀνδρὸς, τὴν ζωὴν ἡμῶν πάντων καὶ σωτηρίαν ἔτεκε τὸν Χριστόν· εἰ γοῦν πᾶν δημιούργημα θεῖον, θαύματος γέμει αὐτὸ καθ' αὐτὸ, καὶ τὸ ἐκ μὴ ὄντων αὐτὰ προελθεῖν εἰς τὸ εἶναι, θεῖόν τι χρῆμα, καὶ μέγα, καὶ οὐδεὶς ἀρκεῖ λόγος πρὸς τοῦτο ἀνθρώπινος, πόσῳ μᾶλλον θαυμασιώτερον καὶ θειότερον κατὰ λόγον ἀσύγκριτον πάντῃ καὶ παρὰ πάσης κτίσεως καὶ ὑπερθαυμάζεσθαι

ζεσθαι καὶ ὑμνεῖσθαι ἀναγκαιότατον, τὸ τὸν ὄντως ὄντα Θεὸν ἄνθρωπον ἀληθείᾳ γενέσθαι; καὶ τὸ τούτου ἀνάπαλιν, πάλιν ἄνθρωπον, οὐ δοκήσει, οὐ φαντασίᾳ, ἵνα δὲ τῶν πάντων ἀνθρώπων, διὰ τῆς Παρθένου γενέσθαι τὸν Θεὸν ἁμαρτίας χωρὶς, ἐξαίρετόν τι ἑκατέρωθεν ἔχοντα μόνον, τὸ μήτε Θεὸν γυμνὸν καὶ συλληφθῆναι καὶ γεννηθῆναι, μήτε ψιλὸν ἄνθρωπον, ἀλλὰ τὸ συναμφότερον ὅλον, ἤτοι Θεάνθρωπον, ἀναλλοιώτου πάντῃ μενούσης καὶ ἀτρέπτου ἑκατέρας τῆς φύσεως; ὅθεν ἡ καὶ τὴν ψυχὴν, καὶ τὸ σῶμα, καὶ τὸν λόγον, καὶ τὸ ἦθος, καὶ τὸν τρόπον κεκτημένη καθαρὰ, καὶ ῥύπου παντὸς ἀνεπίδεκτος, καὶ πάσης κηλῖδος ἐλευθέρα, τὸν τοῦ Θεοῦ Λόγον, τὸν φύσει ἄχραντον καὶ ἀμόλυντον συλλαβεῖν κατηξίωται· ὅτι Θεοῦ θέλοντος, καὶ τῶν πραγμάτων συνεισφερόντων, ἅπαντα δυνατά· ὥσπερ ἀμήχανα πάντα μὴ θέλοντος· καὶ τοῦτο ἐστὶ τὸ μυστήριον, τὸ παρ' ἡμῶν ἑορταζόμενον σήμερον.

Σήμερον γὰρ ἡ τοῦ Ἠσαΐου προφητεία πεπλήρωται λέγοντος „ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται. Σὺ δέ μοι ὅρα „ Προφήτου ἀκρίβειαν· οὐχ ἁπλῶς εἶπεν, ἰδοὺ Παρθένος, ἀλλ' ἰδοὺ ἡ Παρθένος, τῇ προσθήκῃ τοῦ ἄρθρου ἐπισημαίνοντά τινα, καὶ μόνην αὐτὴν γενησομένην ἡμῖν αἰνιττόμενος· ὅτι γὰρ ἡ προσθήκη αὕτη τοῦτο ἐδείκνυτο, δυνατὸν καὶ ἀπὸ τῶν Εὐαγγελίων μαθεῖν. Ἐπειδὴ γὰρ ἔπεμψαν πρὸς τὸν Ἰωάννην οἱ Ἰουδαῖοι ἐρωτῶντες τίς εἶ; οὐκ ἔλεγον σὺ εἶ Χριστός; ἀλλὰ σὺ εἶ ὁ Χριστός; οὐδὲ ἔλεγον, σὺ εἶ Προφήτης; ἀλλὰ, σὺ εἶ ὁ Προφήτης; ὧν ἕκαστον ἐξαίρετον ἦν· καὶ διὰ τοῦτο καὶ ὁ Ἰωάννης ἀρχόμενος τοῦ κατ' αὐτὸν Εὐαγγελίου, οὐκ εἶπεν „ἐν ἀρχῇ ἦν Λόγος, ἀλλ' ἐν ἀρχῇ ἦν ὁ „ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ „ Λόγος· οὕτω δὴ καὶ ἐνταῦθα. Σήμερον ἔλεος καὶ ἀλή- „ θεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν· „ ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρα- „ νοῦ διέκυψεν, ὁ Κύριος· καὶ Πατὴρ ἔδωκε χρηστότητα τὸν „ συναΐδιον Λόγον αὐτοῦ, καὶ ἡ γῆ ἡμῶν ἡ ὑπεραγία δέδωκε

τὸν κατὰ σάρκα καρπὸν αὐτῆς τὸν Χριστόν. Πολλὰ πολ-
λάκις οὐρανόθεν ἐπέμφθη τοῖς ἐπὶ γῆς ἀγαθὰ, οἷον δὲ
τὸ σήμερον κατελθὸν, οὐδέποτε τῷ ἀνθρωπίνῳ γένει ἐφί-
κετο· ὅτι τὰ μὲν πρὸ τοῦ τοῖς ἀνθρώποις δοθέντα παρὰ
Θεοῦ, εὐεργεσίαι ἦσαν καὶ χάριτες, τὸ δὲ νῦν ἀφιγ-
μένον ἐκεῖθεν, αὐτός ἐστιν ὁ ἐκ μὴ ὄντων ἡμᾶς εἰς τὸ
εἶναι παραγαγών. Σήμερον εὐδοκία Θεοῦ, ἐπὶ γῆς εἰρή-
νη κατῆλθε, περὶ ἧς ἄνωθεν ηὔχοντο οἱ Προφῆται λέ-
„ γοντες „ Κύριε ὁ Θεὸς ἡμῶν τὴν σὴν εἰρήνην δὸς ἡμῖν·
ἤγουν Θεοῦ καὶ Ἀγγέλων καταλλαγὴν πρὸς ἡμᾶς· περὶ
ἧς καὶ οἱ Ἄγγελοι ἐν τῇ τοῦ Λόγου γεννήσει ἐπὶ γῆς χο-
„ ρείαν στησάμενοι „ δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰ-
„ ρήνη, ἐν ἀνθρώποις εὐδοκία, κεκράγασιν· ἐπείπερ ἐπέ-
„ στη ὁ πᾶσι λέγων ἡμῖν εἰρήνη, καὶ εἰρήνην τὴν ἐμὴν δίδω-
„ μι ὑμῖν, καὶ εἰρηνοποιήσας τὰ ἀμφότερα, καὶ τὸ τῆς
„ ἔχθρας διαῤῥήξας μεσότειχον, καὶ τοῖς μαθηταῖς ἐπι-
„ τάξας, εὐαγγελιζομένους εἰρήνην τοῖς ἐγγὺς καὶ τοῖς
„ μακρὰν, καὶ ταῖς οἰκίαις, καὶ ταῖς καρδίαις τῶν δεχο-
„ μένων αὐτοὺς εἰσοικίζειν εἰρήνην, καὶ πᾶν ἀγαθόν· ἵνα
καὶ οἱ ἀπειρόκακοι παῖδες, διδαχθέντες παρὰ τοῦ Πνεύ-
ματος ἔκραζον ἐν τῷ Ἱερῷ, Ὡσαννά· εἰρήνη ἐν οὐρανῷ, καὶ
δόξα ἐν ὑψίστοις, ὅτι τὰ πρὶν ἐχθρὰ καὶ πολέμια νῦν γέ-
γονε φίλα καὶ ἀδελφὰ, καὶ μίαν Χριστῷ τῷ οὐρανίῳ καὶ
ἐπιγείῳ δεσπότῃ προσάγει δοξολογίαν, τά τε οὐράνια καὶ
τὰ ἐπίγεια. Σήμερον Γαβριὴλ ὁ τῷ Θεῷ παριστάμενος
Ἀρχιστράτηγος πρὸς Παρθένον ἀειπάρθενον οὐρανόθεν κα-
„ τέρχεται, εὐαγγελίσασθαι ταύτῃ, τὸ „ χαῖρε κεχαρι-
„ τωμένη, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν Γυναιξίν·
„ εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ· καὶ ἰδοὺ συλλήψῃ ἐν
„ γαστρὶ, καὶ τέξῃ Υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰη-
„ σοῦν· οὗτος ἔσται μέγας, καὶ Υἱὸς ὑψίστου κληθήσεται·
„ καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ Πα-
„ τρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς
„ αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Πνεῦ-
„ μα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπι-
„ σκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται

„ Υἱὸς

Υἱὸς Θεȣ̃. Τί τȣ́των τῶν εὐαγγελίων ἡδύτερον ἤκȣσαι; ἐκεῖν σκιρτάτω Δαυὶδ ἐν Πνεύματι λέγων τῇ Μαριὰμ „ἄκȣσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ ȣ̃ς σȣ· σιγάτω Σολομὼν ἐπὶ τȣ́τῳ, ȣ̓δὲν καινὸν γράφων ὑπὸ τὸν ἥλιον.

Σὺ δὲ ὅτι κατῆλθεν ὁ τȣ̃ Θεȣ̃ Λόγος ἀκȣ́σας, μὴ μετάβασιν τόπȣ, ἢ τροπῆς ἀποσκίασμα τȣ̃ πρὸς ἡμᾶς δι' εὐσπλαγχνίαν ἐλθόντος Λόγȣ νομίσῃς, ἀλλ' αἰχμαλώτιζε τὸ νόημα εἰς Χριϛὸν, τὸν σὸν προφορικὸν τȣ̃τον λόγον πρόχειρον ἔχων τȣ̃ λόγȣ παράδειγμα· ὡς γὰρ ὁ σὸς λόγος ȣ̃τος καὶ παρὰ σοὶ μένει ὁλόκληρος, καὶ πρὸς ἐμὲ μεταδίδοται διὰ τῆς φωνῆς, καὶ διὰ γραμμάτων ταῖς δέλτοις ἐκτίθεται, καὶ πρὸς τὰ τῆς γῆς ἄκρα πέμπεται, ὅλος μένων, καὶ ὅλως ἀπαθῶς μεταβαίνων, μεριζόμενος πολλαχȣ̃, καὶ ἀφιστάμενος πόῤῥω, καὶ κατὰ τȣ̃το μηδὲν ἐλαττȣ́μενος· καὶ ὡς ἡ τȣ̃ ἡλίȣ τȣ̃δε ἀκτὶς, ὅλη παρὰ τῷ δίσκῳ μένει ἀχώριϛος ἡ αὐτὴ, καὶ ὅλη ἀνελλιπῶς τὴν γῆν ἐπιλάμπει καὶ τὴν θάλασσαν, καὶ τῷ ἀέρι συγκέκραται· καὶ ἵνα τρίτῳ χρήσωμαι παραδείγματι, ὡς ἡ φλὸξ τῆς λαμπάδος, καὶ μεταδίδοται ἀκέραιος, καὶ μένει ἀμείωτος· ȣ̃τως ἄρα καὶ τὸ ἐκ Φωτὸς Φῶς, καὶ τὸ τὴν μοχθηρίαν ἀναλίσκον πῦρ, τὸ τῆς Πατρικῆς δόξης ἀπαύγασμα, ὁ τȣ̃ ὑπὲρ νȣ̃ν Νοὸς ὑπὲρ ἔννοιαν Λόγος, ὅλος μένων παρὰ τῷ Πατρὶ μετὰ καὶ τȣ̃ Πνεύματος, οἷα Θεὸς ἐν τοῖς ȣ̓ρανοῖς, ὅλος ὡς ἄνθρωπος συνανεϛράφη ἡμῖν ἐν τῇ γῇ· ὁ αὐτὸς κἂν τῇ μήτρᾳ τῆς Παρθένȣ τῇ σαρκὶ περιγραπτὸς, κἂν τῷ θρόνῳ τȣ̃ Πατρὸς, καὶ τὰ πάντα πληρῶν, καὶ ὑπὲρ πάντα ὢν, ἅτε Θεὸς ἀπερίγραπτος.

Τὰ παραπλήσια δὲ καὶ περὶ τȣ̃ αὐτȣ̃ θείȣ θελήματος λέγειν ἔχομεν· ὡς γὰρ ȣ̓κ ἦν τόπος ἐν ᾧ μὴ αὐτὸς ὁ πάντων δεσπότης Κύριος ἦν, ȣ̃τως ȣ̓κ ἦν χρόνος ὅτε τὸ μυϛήριον τȣ̃το τελεσθῆναι ȣ̓κ ἤθελεν· ἀλλ' ὥσπερ ἐπὶ τῶν ὑποϛατικῶν ἰδιοτήτων, ἀεὶ ἕκαϛον τῶν θείων προσώπων, ἀΐδιον τὴν ἑαυτȣ̃ ἰδιότητα κέκτηται, ȣ̃τω δὴ καὶ τὸ ἓν θέλημα

θέλημα τῶν τριῶν, καὶ ἀεὶ, καὶ πάντα ἐπίσης ἐκέκλητο· κἂν ἐν χρόνῳ καὶ προσφάτως τὸ παρ᾽ αὐτῶν θεληθὲν δείκνυται, τῷ χρονικὸν εἶναι δήπε τὸ, περὶ ὃ τῦτο γίνεται, ποίημα· εἰ γὰρ καλὸν τῷ Πατρὶ τὸ Προβολέα εἶναι αὐτὸν καὶ Πατέρα, ἐκ ἀεὶ δὲ ἦν Πατὴρ, ἐδ᾽ ἀεὶ Προβολεὺς, ἐκ ἀεὶ ἄρα τὸ καλὸν ἦν ἐν αὐτῷ. Αὐτὸ δὲ τῦτο καὶ περὶ τῦ Υἱῦ, καὶ περὶ τῦ Πνεύματος λέγειν ἔχομεν, ὅτι ἀεὶ ἦν ὁ μὲν Υἱὸς, τὸ δὲ Πρόβλημα· εἰ γὰρ καλὸν τύτοις, τὸ ὕτωπως ἐκ τῦ Πατρὸς εἶναι, ἐκ ἀεὶ δὲ τῦτο ἦν, ἐκ ἀεὶ ἄρα τὸ καλὸν ἦν ἐν αὐτοῖς· ὡσαύτως δὲ, καὶ εἰ καλὸν τῷ τῦ Θεῦ Λόγῳ, καὶ φιλάνθρωπον ἦν ἡ πρὸς ἡμᾶς αὐτῦ ἔλευσις, ἐκ ἀεὶ δὲ ταύτην ἐβέλετο, ἀλλ᾽ ὀψέποτε ταύτην ἠθέλησεν, ἐκ ἀεὶ ἄρα τὸ καλὸν ἤθελεν, ὅπερ βλάσφημον. Πίσευε τοίνυν, ὅτι ἀπέςειλεν ὁ Πατὴρ τὸν Υἱὸν ἐ μεταςὰς, ἐ μεταςήσας, ἐ διαιρεθεὶς, ἐ διαιρήσας· πλὴν ἡ ἀποςολὴ αὕτη εὐδοκίᾳ Πατρὸς, καὶ συνεργίᾳ Πνεύματος γέγονεν, ὡς καὶ τοῖς Διδασκάλοις, καὶ τοῖς Εὐαγγελιςαῖς, καὶ τοῖς Ἀγγέλοις δοκεῖ.

Φησὶ γὰρ ὁ μὲν ἅγιος Αὐγεςῖνος, ἐν τῷ πέμπτῳ τῦ „ δευτέρε περὶ Τριάδος „ καὶ τὸ Πνεῦμα τὸ ἅγιον τὸν „ Υἱὸν πέμπει, ὡς διὰ Ἡσαΐε αὐτὸς φησίν· εἰ δὲ τῦτο „ τάχατις βιάσεται λέγειν ἡμᾶς, ἤδη καὶ ἐξ αὐτῦ τὸν „ Υἱὸν ἀπεςάλθαι, ἡ γὰρ τῆς Μαρίας σύλληψις καὶ ὁ „ τόκος ἐνέργεια τῆς Τριάδος ἐςὶν, ἧς δημιεργέσης τὰ „ πάντα δημιεργεῖται. Ὁ δὲ Ματθαῖος ἐν τῷ πρώτῳ τῦ „ κατ᾽ αὐτὸν Εὐαγγελίε, μνηςευθείσης γὰρ τῆς Μητρὸς „ αὐτῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτὲς εὑρέ„ θη ἐν γαςρὶ ἔχεσα ἐκ Πνεύματος ἁγίε. Καὶ ὁ Ἀρχάγ„ γελος Γαβριὴλ, πρὸς μὲν τὸν τῆς Παρθένε μνηςῆρα, „ Ἰωσὴφ υἱὸς Δαυὶδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ „ τὴν γυναῖκάσε· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ Πνεύ„ ματος ἐςὶν ἁγίε· πρὸς δὲ ταύτην εὐαγγελιζόμενος λέ„ γει „ Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις „ ὑψίςε ἐπισκιάσει σοι· ὕψιςον τὸν Πατέρα λέγων, δύνα-

„ μιν

μιν τούτου τὸν Υἱὸν, καὶ Πνεῦμα τὸν Παράκλητον. Αὐτὸς δὲ ὁ Κύριος περὶ ἑαυτοῦ, νῦν μὲν „Πνεῦμα Κυρίου λέγει ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· νῦν δὲ, Κύριος ἀπέσταλκέ με καὶ τὸ Πνεῦμα αὐτοῦ· καὶ ὁ Ἀπόστολος ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ· ἐκεῖν οὐχ ὡς ἄνθρωπος ἀπεστάλη· πῶς γὰρ πρὸ τοῦ σαρκωθῆναι; ἀλλ' ὡς Θεὸς καὶ Κύριος· τὸ δὲ πῶς; μὴ ζήτει· ὅταν γὰρ ὁ Θεὸς ἐργάζηται, πίστεως χρεία μόνης, καὶ συγκαταβάσεως, καὶ ὁμολογίας. Πρὸς δὲ πίστωσιν τοῦ μυστηρίου τελειοτέραν, καὶ ὁ Πατὴρ λέγει διὰ Δαυὶδ τῷ Υἱῷ „ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησάσε· καὶ ὁ Υἱὸς διὰ τοῦ αὐτοῦ Δαυὶδ φησὶ πρὸς ἡμᾶς περὶ τοῦ Πατρὸς „Κύριος εἶπε πρός με, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. Καὶ αὖθις, οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Καὶ ὁ Εὐαγγελιστὴς „ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Καὶ ὁ Ἡσαΐας, „ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται Υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεός. Καὶ ὁ θειότατος Παῦλος „ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γεννώμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ· ὥστε καὶ δύο γεννήσεις ἔχει ὁ εἷς καὶ μόνος Χριστὸς, μίαν ἐκ Πατρὸς ἀχρόνως, καὶ ἄλλην ἐκ Μητρὸς ἀσπόρως· ὁ αὐτὸς ἄνω μόνος ἐκ μόνου μονογενὴς Υἱὸς τοῦ Πατρὸς διὰ τὴν Θεότητα· καὶ αὐτὸς κάτω μόνος ἐξ ἀειπαρθένου μόνης μονογενὴς διὰ τὴν ἀνθρωπότητα· καὶ μεμνηστευμένη ἀνδρὶ, καὶ κόρη ἄφθορος τοῦτον συνέλαβεν, ἢ καὶ κυοφορεῖ, καὶ ἀνδρὸς συνάφειαν ἀγνοεῖ· καὶ τίκτει, καὶ τὴν παρθενίαν τηρεῖ.

Ἀλλὰ πῶς μὲν τὴν ἄρρητον ταύτην ἐξείπω σύλληψιν; πῶς εὐφημήσω τὴν κύησιν; πῶς δὲ τὴν παράδοξον ἀνυμνήσω λοχείαν; ὑπὲρ λόγον ἡ σύλληψις· ὑπὲρ ἔννοιαν ἡ κυοφορία· ὠδῖνες ἀνώδινοι· λοχεία φύσεως ξένη·

καρπὸς

καρπὸς ἄνευ σπέρματος· τέκνον ἐπὶ γῆς, οὐκ ἔχον Πατέρα· Θεοῦ Πατρὸς εὐδοκία, ὑψίστου δυνάμεως ἐπισκίασις, καὶ Πνεύματος ἁγίου ἐπέλευσις· συλλήψεως ἅμα καὶ παρθενίας συνέλευσις· τόκου καὶ ἀφθορίας συνδρομή· φύσεως θείας καὶ ἀνθρωπίνης συνάφεια· Θεοτόκος ἡ Μήτηρ· τὸ παιδίον Θεός· τί οὖν λαλήσω; ἢ τί ἐρῶ; πῶς δὲ τὰ ὑπὲρ νοῦν καὶ λόγον ἐκθήσομαι; ποίαν δὲ τοῖς θαύμασι τούτοις ἀρκοῦσαν ἀναλάβω γλῶτταν; οὐ γὰρ κατὰ φύσιν ἐγεγόνει τὸ πρᾶγμα, ἀλλ' ὑπὲρ φύσιν ἐπράχθη τὸ τοῦ Θεοῦ παράδοξον τοῦτο βούλημα· διὸ καὶ πρὸ τοῦ πραχθῆναι, καὶ ἐν τῷ πράττεσθαι, καὶ μετὰ τὸ πραχθῆναι τοῦτο, μυστήριον λέγεται· καὶ τὸ πρὸ τῶν αἰώνων κεκρυμμένον μυστήριον, καὶ γιγνόμενον ἤδη, καὶ ἐνεργείᾳ προβαῖνον, μυστήριον ἔμενε· καὶ πέρας αὖθις λαβὸν, ὡσαύτως μένει μυστήριον· μυστήριον πιστευόμενον, ἀλλ' οὐ γινωσκόμενον· προσκυνούμενον, ἀλλ' οὐ πολυπραγμονούμενον· ὁμολογούμενον, οὐχὶ καταλαμβανόμενον· ὑπὲρ γὰρ νοῦν ἐστὶ πάντα καὶ λόγον, καὶ πάσης ἀνώτερον καταλήψεως. Τί τὸ θαῦμα! τί τὸ πρᾶγμα! τί τὸ ἀπόῤῥητον τοῦτο μυστήριον! ὁ προαιώνιος πρόσφατος, ἐν περιλήψει ὁ ἀπερίληπτος, καὶ ὑπὸ χρόνον ὁ ἄχρονος! τίς τῶν ἀπ' αἰῶνος, καὶ ἕως αἰῶνος ἀνθρώπων, εἶδε τοιαῦτα; τίς ἔγνω; τίς ἤκουσε; Θεὸς Υἱὸς γυναικός! ὢ τῶν παραδόξων πραγμάτων! ὢ φιλοτιμία Θεοῦ πρὸς ἀνθρώπους! ποίων διὰ τοῦ θήλεως ἡ ἡμετέρα φύσις χαρισμάτων ἠξίωται! ὢ τῆς ἀνεξιχνιάστου περὶ ἡμᾶς τοῦ Θεοῦ Λόγου φιλανθρωπίας, καὶ τῆς ἀῤῥήτου συγκαταβάσεως! τίς Μήτηρ τοῦ Θεοῦ τῶν Πατέρων ἐφάνη ποτέ; τίς ἅμα καὶ πλάστην καὶ πλάσμα συνέλαβε; τίς δὲ καὶ συλλαβοῦσα Υἱὸν, καὶ κυήσασα, καὶ τεκοῦσα, τὸ εἶναι παρθένος οὐκ ἀπεβάλετο; πρὸ τῆς συλλήψεως παρθένος! ἐν τῇ συλλήψει παρθένος! ἐν τῇ κυήσει παρθένος! ἐν τῷ τίκτειν παρθένος! καὶ μετὰ τὸ τεκεῖν ὡσαύτως παρθένος, καὶ ἀεὶ ἀειπάρθενος! ἡ γὰρ ἐν τῷ τῆς ζωῆς αὐτῆς παντὶ χρόνῳ, καὶ ὁράσει, καὶ γεύσει, καὶ ἀκοῇ, καὶ ἀφῇ, καὶ ὀσφρήσει, καὶ νῷ, καὶ διανοίᾳ, καὶ δόξῃ, καὶ φαντασίᾳ,

σία, καὶ αἰσθήσει, καὶ ἐν λόγῳ πάσαις δυνάμεσι καὶ ψυχικαῖς καὶ σωματικαῖς, ἄβατον λογισμοῖς ῥυπαροῖς ἑαυτὴν ὅλην τηρήσασα, εἰκότως ἂν ἀειπάρθενος λέγοιτο· ὅθεν οὐκ ἐνεπόδισεν ὁπωσοῦν τὸ χρῆμα τῆς παρθενίας ἡ ὑπὲρ φύσιν κυοφορία, οὐδὲ τὸ ἀειπάρθενον εἶναι ὁ θεῖος τόκος ἐκώλυσεν, οὔθ' ἡ σύλληψις τὴν νηδὺν ἐλυμήνατο, οὔθ' ὁ τόκος τὴν τεκοῦσαν διέφθειρε· καὶ τοῦτο ἐκ τῶν εἰκότων ἔπεσθαι μάλα φαίην ἂν ἔγωγε.

Ὁ γὰρ ὑπὲρ λόγον ἐν ταύτῃ σαρκὶ συλληφθεὶς τοῦ Θεοῦ Θεὸς Λόγος, τοιαῦτα τῇ ἑαυτοῦ Βασιλίδι Μητρὶ παραχεῖν προνόμια δίκαιος ἦν, οἷα μόνος αὐτὸς καθὸ φύσει Βασιλεὺς, οὐδεὶς δὲ τῶν δούλων ἐκέκτητο· καὶ ὃν τρόπον οὐδενὶ τῶν δούλων, κατὰ τὸν τρόπον τῆς γεννήσεως ὅμοιον εἶχεν αὐτὸς, οὕτω καὶ τῇ τοῦτον ἀῤῥήτως καὶ συλλαβούσῃ, καὶ κυησάσῃ, καὶ τεκούσῃ Μητρὶ, τοιαῦτα ἐχρῆν καὶ πρὸ τοῦ τόκου, καὶ ἐν τῷ τόκῳ, καὶ μετὰ τὸν τόκον, χαρίσασθαι χαρίσματα ἐξαιρέτως κεκτῆσθαι, οἷα πώποτε πρόσην τῶν δουλίδων οὐδεμιᾷ· διὸ καὶ τὸ χαῖρε κεχαριτωμένη, καὶ πρώτη, καὶ μόνη ἀκούει· ἦλθε γὰρ ἡ πάντων χαρὰ δι' αὐτῆς, τὰ λυπηρὰ μεταβαλεῖν εἰς χαράν· ἦλθε τὴν κατώδυνον ἀλλάξαι συνήθειαν· ἦλθε τὰ κάτω τοῖς ἄνω συνάψαι, καὶ πᾶν δάκρυον ἀφελεῖν· καὶ εὐλογημένη μόνη ἐν γυναιξὶν ὀνομάζεται, ὡς τὸν φύσει εὐλογημένον παντὶ τῷ κόσμῳ τεκοῦσα, καὶ μόνη γυναικῶν ἐξαιρέτως τὴν εὐλογίαν πλουτήσασα· καὶ ὅτι, ὁ μὲν πρῶτος Ἀδὰμ, κατάρας αἴτιος τῇ τοῦτον προενεγκούσῃ γεγένηται γῇ „ ἐπικατάρατος γὰρ φησὶν ἡ γῆ ἐν “
τοῖς ἔργοις σου· ὁ δὲ δεύτερος Ἀδὰμ τὴν τοῦτον τεκοῦσαν “
εὐλογημένην εἰργάσατο „ εὐλογημένη γὰρ ἐν γυναιξὶ “
παρὰ τοῦ Ἀγγέλου, καὶ πρὸς τῆς Ἐλισάβετ ἤκουσε, “
καὶ ἀκούει παρὰ πασῶν γενεῶν, ὅτι εὐλογημένος ὁ καρ- “
πὸς τῆς κοιλίας αὐτῆς· ὁ γὰρ ΚΑΙ σύνδεσμος ἐνταῦ- “
θα, ἀντὶ τοῦ ΟΤΙ τέθειται, ὡς ὑστερόπρωτόν τι τὸ σημαινόμενον εἶναι· ἤγουν, ὅτι εὐλογημένος ὁ τῆς κοιλίας αὐτῆς καρπὸς, διὰ τοῦτο καὶ αὐτὴ εὐλογημένη

ἐν

ἐν γυναιξὶν· ὅτι εὐλογημένος ὁ ἐρχόμενος ἐκ τοῦ Πατρὸς δι' αὐτῆς ἐν ὀνόματι Κυρίου· Θεὸς ἐν ὀνόματι Θεοῦ· Κύριος ἐν ὀνόματι Κυρίου· Υἱὸς ἐν ὀνόματι Πατρὸς· Λόγος Θεὸς ἐνυπόστατος ἐνυποστάτου Θεοῦ· εἰκὼν ἀπαράλλακτος ἀπαραλλάκτου εἰκόνος· φῶς ἀΐδιον φωτὸς ἀϊδίου ἀπαύγασμα· Βασιλεὺς παντοκράτωρ, Βασιλέως παντοκράτορος γέννημα· ὁ αὐτὸς καὶ Υἱὸς τοῦ Σὴθ διὰ τὴν Μητέρα, καὶ Υἱὸς τοῦ Θεοῦ διὰ τὴν πρὸς τὸν Θεὸν καὶ Πατέρα καὶ κατ' οὐσίαν καὶ κατ' αἰτίαν οἰκείωσιν. Καὶ τοῦ τύπου πρὸς αὐτὸν τὸ κατάλληλον ὅσον; ὁ μὲν γὰρ Σὴθ ἐτέχθη τῇ Εὔᾳ, ὡς αὐτὴ φησὶν, ἀντὶ Ἄβελ ὃν ἀπέκτεινε φθονήσας ὁ Κάϊν· ὁ δὲ τῆς ἀειπαρθένου τόκος Χριστὸς ἐγένετο πάσῃ τῇ κτίσει ἀντὶ τοῦ πρώτου Ἀδὰμ ὃν ἐθανάτωσε φθονήσας ὁ τῆς κακίας ἀρχηγός· ἀλλ' ὁ μὲν Σὴθ οὐκ ἀνέστησε τὸν Ἄβελ, τύπος γὰρ τῆς ἀναστάσεως ἦν· ὁ δὲ Κύριος ἡμῶν ὁ Χριστὸς, ἀνέστησε τὸν Ἀδάμ· αὐτὸς γὰρ ἐστὶν ἡ ἀληθὴς τῶν πάντων ἀνθρώπων ζωὴ καὶ ἀνάστασις, δι' ἣν ἄρα καὶ οἱ ἀπὸ τοῦ Σὴθ πρὸ τοῦ κατακλυσμοῦ τὸ γένος ἕλκοντες, κατ' ἐλπίδα θείας ἠξιώθησαν προσηγορίας, Υἱοὶ καλούμενοι τοῦ Θεοῦ, καὶ οἱ ἀπ' αὐτοῦ τοῦ Χριστοῦ τῆς χάριτος, εἰς υἱοθεσίαν κληθέντες, καὶ υἱοὶ λέγονται, καὶ κληρονόμοι Θεοῦ.

Ἀλλ' ὁ μὲν Ἕλλην, ἀνάξιον εἶναι πάντῃ νομίζει Θεοῦ, τὸ τὸν Θεὸν γενέσθαι ἄνθρωπον· καὶ ὁ Ἰουδαῖος ἄπιστον καὶ ἀδιανόητον ὅλως ἡγεῖται, τὸ γυναῖκα πρὸ τόκου παρθένον εἶναι, καὶ ἐν τῷ τίκτειν παρθένον, καὶ μετὰ τὸ τεκεῖν ὡσαύτως μεῖναι παρθένον. Οὐκοῦν τὸν μὲν ἐρωτητέον εὐθὺς οὑτωσί· τὶ τῶν ἐν τῷ κόσμῳ τιμιώτερόν τε καὶ ἀρχικώτερον; καὶ θείας σοφίας, καὶ πάσης χάριτος δεκτικόν; πάντως ἐρεῖ ὅτι ἄνθρωπος· εἰ οὖν τοῦτο ἅπασι πιστεύεται εἶναι τὸ κρεῖττον, καὶ οὐδεὶς νοῦ μετέχων ἄλλως ἐρεῖ, τὶ δήποτε Μόσχον ἄρα καὶ Τράγον, Ἔχιδναν καὶ Κροκόδειλον, καὶ τὰ τούτων ἀτιμότερα ζῶα τὸν Θεὸν ὑμῖν γίνεσθαι ἀξιοῦτε, ποτὲ μὲν τοῦτο, ποτὲ

δὲ

δὲ ἐκεῖνο μεταβαλλόμενον, τὸ δὲ πάντων θεοπρεπέστερον ἀσυγκρίτως, ἀνάξιον εἶναι πρὸς Θεοῦ κοινωνίαν νομίζετε; λέγω δὲ τοῦτο, πάντη ἀτρέπτου καὶ ἀναλλοιώτου μενούσης τῆς θείας μεγαλειότητος. Τὸν δὲ, αὐτὸς ἂν ἐροίμην ἡδέως αὐτίκα μάλα· πῶς αὐτὸς πιστεύεις, εἰπέ μοι, ὅτι ἐξ ἀκροτόμου πέτρας ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν, ἡ μέντοι πέτρα ὡς πρὶν διέμεινεν ἀῤῥαγής; πῶς δ᾽ αὖ, ὅτι ἰκμάδος δίχα καὶ σπέρματος, ἡ τοῦ Ἀαρὼν ῥάβδος ἐκείνη ἐβλάστησεν, ἅμα ἴουθησε, καὶ καρπὸν ἰούεγκεν ὥριμον; πῶς δὲ, ὅτι Ἄγγελος ἠδυνήθη τὸν Ἀββακοὺμ μετὰ τοῦ ἀρίστου, εἰς τὸν λάκκον καταγαγεῖν τῶν λεόντων, καὶ πάλιν ἐκεῖθεν ἀναγαγεῖν, καὶ τὰς ἐπικειμένας τῷ λάκκῳ σφραγίδας ἀλυμάντους πάντη καταλιπεῖν; ὁ δοῦλος ὅπερ θέλει ἀνύει, καὶ ὁ δεσπότης ὅπερ θέλει οὐ δύναται; ὥσπερ οὖν ἐκεῖνα Θεοῦ κελεύσαντος γέγονεν, οὕτω καὶ τοῦτο πέπρακται, τοῦ Θεοῦ θελήσαντος μόνον· νόμους γὰρ φύσεως ὁ Θεὸς ὑπερβαίνειν ἢ Θεὸς οὐκ ἀνέχεται, μὴ οὖν τὴν θείαν δύναμιν ἀνακρίνειν θελήσωμεν· ὅπου γὰρ Πνεῦμα ἅγιον ἐνεργεῖ, πάντα ἑτοίμως καὶ ὑπουργεῖ, καὶ θᾶττον ἢ λόγος ὑπερφυῶς ἀπαρτίζεται. Ἢ οὔπω πιστεύειν αἱρῇ, ὅτι Θεοῦ βουλομένου, καὶ χρόνος, καὶ φύσις, καὶ τρόπος, καὶ πάντα ὁμοῦ καὶ ἀλλοιοῦται, καὶ τρέπεται, καὶ μεθίσταται ἐπὶ τὰ ὑπὲρ φύσιν καὶ κρείττω καὶ τελεώτερα, καὶ οὐδὲν τῶν ἀπόρων ἐστὶν, ὃ μὴ Θεῷ ποριμώτατον;

Τούτου χάριν ἐκ γυναικὸς πηγάσαι τὰ κρείττονα τοῖς ἀνθρώποις ὁ σοφῶς τὰ πάντα οἰκονομῶν ἔκρινε δεῖν, ἵνα τῷ βέλει ᾧ πάλαι ὁ κοινὸς πάντων πολέμιος ἀνεῖλεν ἡμᾶς, ὑπ᾽ αὐτοῦ καὶ αὐτὸς ἀναιρεθῇ· ὅθεν ὁ πόλεμος ἤρξατο, ἐκεῖθεν ὁ βασιλεὺς τὴν εἰρήνην ἐβράβευσεν· ἥμαρτεν ἡ Εὔα, καὶ θανάτου παντὶ τῷ γένει πρόξενος γέγονεν, οὐχ ἥμαρτεν ἡ Μαρία, καὶ ζωῆς ἡμῖν αἰτία γεγένηται· διὰ παρθένου γυναικὸς ἀπέκτεινε πάλαι τὸν Ἀδὰμ ὁ ἐχθρὸς, διὰ παρθένου μετὰ ταῦτα τοῦτον κατηγωνίσατο ὁ Χριστός· καὶ ὥσπερ ἰατρὸς ἄριστος ταῖς τῆς

ἐχίδνης

ἐχίδνης σαρξὶν εἰς σωτήριον φαρμάκου κατασκευὴν ἀποχρῆται, καὶ τούτων οὐχ ἥκιστα τῶν ὑπ' ἐκείνης δηχθέντων, οὕτω καὶ ὁ πάντας ἰώμενος Κύριος τοῖς ἐκ γυναικὸς φαρμαχθεῖσι τὸ κατ' ἀρχὰς, διὰ γυναικὸς ἰαθῆναι θαυμαστῶς ἐν ὑστέροις καιροῖς ᾠκονόμησε· καὶ ἡ μεσίτης ἄνωθεν χρηματίσασα πρὸς τὸν ὄλισθον, μεσίτης ὕστερον γέγονε πρὸς τὴν ἐπανόρθωσιν.

Εἰ δὲ λέγοι τις πῶς μὴ νεύματι μόνῳ, ὁ πάντα τούτῳ ἰσχύων, τὴν τοῦ ἀνθρώπου ἀνάπλασιν ᾠκονόμησεν ὕστερον, ὡς ἄρα τὴν τούτου διάπλασιν τὸ κατ' ἀρχὰς ἐποιήσατο; Φημὶ, ὅτι ἄλλο ἐστὶν ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἑνὸς ἀνθρώπου παραγωγὴ, καὶ ἄλλο ἡ τοῦ παγγενῆ συντριβέντος γένους ἀνάπλασις· καὶ ὅτι τὸ διαπραττόμενον οἴκοθεν, ἄνθρωπον ἁμαρτάνοντα διὰ βίου ἀδιορθώτως, νεύματι μόνῳ σώζεσθαι παρ' ἑτέρου, οὐ μόνον Θεῷ, ἀλλὰ καὶ ἀνθρώποις νοῦν ἔχουσιν, ἐφάμαρτόν τι, καὶ ἀδικώτατον, καὶ ἀδύνατον· πρῶτον γὰρ δεῖ γενέσθαι τινὶ τὴν διόρθωσιν, καὶ τότε κατὰ λόγον ἐπακολουθῆσαι ταύτῃ καὶ τὴν συγχώρησιν· ἐπεὶ οὐχ ἡ συγχώρησις ἡγεῖται τῆς διορθώσεως, ἀλλ' ἡ διόρθωσις προτρέχει τῆς συγχωρήσεως· ὡς ἐὰν φθάσῃ προφθάσαι τὴν διόρθωσιν ἡ συγχώρησις τοῦ ἀδιορθώτου, κοινωνὸν τὸν συγχωροῦντα τούτῳ ἐργάζεται· καίγε οὔτε διόρθωσις ἐκείνη, οὔτε συγχώρησις αὕτη, ἀλλὰ διπλῆ καταστροφὴ, τοῦτε ἀλόγως συγχωροῦντος, καὶ τοῦ ἀδιορθώτως συγχωρουμένου γίνεται· οὕτω μὲν οὖν γενέσθαι ἀπείρηται· ἐπεὶ δὲ ηὐδόκησεν ὁ Θεὸς καὶ Πατὴρ τὸ ἡμέτερον γένος ἑλκύσαι πρὸς ἑαυτὸν, καὶ εἰς τὴν οὐράνιον βασιλείαν, τόγε εἰς αὐτὸν ἧκον, πάντας εἰσαγαγεῖν, δι' ἀνθρώπου δὲ ψιλοῦ τοῦτο ποιῆσαι ἀπρεπὲς ἦν, ἵνα μὴ ἄνθρωπον Κύριον ἔχοντες καὶ σωτῆρα ἀνθρωπολάτραι γενώμεθα, διὰ τοῦτο τὸν ἑαυτοῦ Υἱὸν καὶ Λόγον σάρκα γενέσθαι ἠθέλησε· διὸ καὶ πρὸ τοῦ συλληφθῆναι τοῦτον, τὸ ὄνομα αὐτοῦ δι' Ἀρχαγγέλου ἐκάλεσε Σωτῆρα· τοῦτο γὰρ δηλοῖ τὸ Ἰησοῦς μεθερμηνευόμενον· καὶ διὰ τοῦτο Υἱὸς ἀνθρώπου γέγονεν

ὁ Υἱὸς

ὁ Υἱὸς τȣ̃ Θεȣ̃, ἵνα οἱ Υἱοὶ τȣ̃ ἀνθρώπȣ, τȣτέςι τȣ̃ Ἀδὰμ, Υἱοὶ τȣ̃ Θεȣ̃ γένωνται. Ὁ γὰρ γεννηθεὶς ἄνωθεν ἐκ τȣ̃ Πατρὸς Λόγος ἀκαταλήπτως, ἐν χρόνῳ γεννᾶται κάτωθεν ἐκ παρθένȣ, ἵνα οἱ κάτωθεν πρότερον γεννηθέντες, ἐκ δευτέρȣ ἄνωθεν γεννηθῶσιν, ἐκ τȣ̃ Θεȣ̃ δηλαδή.

Αὐτὸς ȣ̃ν Μητέρα μόνον ἔχει ἐπὶ τῆς γῆς, καὶ ἡμεῖς Πατέρα μόνον ἔχομεν ἐν τοῖς ȣ̓ρανοῖς· καὶ διὰ τȣ̃το ἑαυτὸν ὑὸν ἀνθρώπȣ καλεῖ πολλάκις ἐπὶ τῆς γῆς, ἵνα οἱ ἄνθρωποι τὸν ἐν ȣ̓ρανοῖς Θεὸν καλέσωμεν Πατέρα· καὶ πολλαχȣ̃ τȣ̃ Εὐαγγελίȣ ἑαυτὸν ὑὸν τȣ̃ ἀνθρώπȣ, μετὰ τῆς τȣ̃ ἄρθρȣ προθήκης ὀνομάζει· τȣτέςι, τȣ̃ ἀναμαρτήτȣ ἀνθρώπȣ ἐκείνȣ, τȣ̃ παρθένȣ, τȣ̃ πρὸ τῆς παραβάσεως Ἀδάμ· καίγε εἰς πίςωσιν ταυτησὶ τῆς ἐννοίας, ἐξ ἀειπαρθένȣ παρθένȣ παρθένον ἀειπάρθενον σάρκα ἑαυτῷ συνεςήσατο, καὶ ταύτην καθάπαξ φορέσας εἰς αἰῶνας ἀχωρίςως φορεῖ· καὶ ἡμῶν δὲ πάντων Πατέρα, τὸν ἑαυτȣ̃ Πατέρα ὠνόμαζε· νῦν μὲν λέγων „ȣ̔́τως ȣ̃ν προσεύχεσθε ὑμεῖς, Πάτερ ὑμῶν ὁ ἐν τοῖς ȣ̓ρανοῖς· νῦν δὲ, εἷς γάρ ἐςιν ὑμῶν ὁ Πατὴρ ὁ ἐν τοῖς ȣ̓ρανοῖς· νῦν δὲ, ἀναβαίνω πρὸς τὸν Πατέραμȣ καὶ Πατέρα ὑμῶν· πλὴν ἑαυτȣ̃ μὲν Πατέρα καθ᾽ ὑπόςασιν τὴν Θεϊκὴν, ἡμῶν δὲ Πατέρα κατὰ χάριν, καὶ τὸν τῆς δημιȣργίας λόγον· Ὥσπερ τοίνυν ἡμεῖς οἱ φύσει δȣ̃λοι τȣ̃ Θεȣ̃, Υἱοὶ τȣ̃ Θεȣ̃ γεγόναμεν χάριτι, ȣ̔́τως ὁ φύσει Κύριος καὶ δεσπότης τῶν δȣ́λων, ὑὸς τȣ̃ δȣ́λȣ, τȣτέςι τȣ̃ Ἀδὰμ, γέγονε χάριτι θνητὸς, ἵνα οἱ τȣ̃ θνητȣ̃ Ἀδὰμ ὑοὶ ὄντες θνητοὶ, τȣ̃ ἀθανάτȣ Θεȣ̃ ὑοὶ γεγονότες, ἀθανασίας μετάσχωσιν. ὅθεν καὶ σαρκὸς μετέχει κατὰ τὸν σαρκικὸν αὐτȣ̃ Πατέρα, τȣ̃τον δὴ τὸν Ἀδὰμ, ἵνα οἱ τȣ̃ Ἀδὰμ ὑοὶ, διὰ τὸν κατὰ Πνεῦμα τȣ́των Πατέρα, θείȣ Πνεύματος μέτοχοι γένωνται. Ταύτητοι καὶ Θεὸν φύσει τȣ̃τον εἶναι ἐχρῆν, καὶ ἄνθρωπον τȣ̃τον ἔδει γενέσθαι, ὥσπερ ἄρα καὶ γέγονε· Θεὸς γὰρ τέλειος ὁ αὐτὸς, καὶ ἄνθρωπος τέλειος ὁ αὐτός· διὰ τȣ̃το καὶ Θεὸς Κύριος ἐπέφανεν ἡμῖν, παρὰ Θεȣ̃ Πατρὸς, καὶ Κυρίȣ Πνεύματος· καὶ ἄνθρωπος ἀληθεία,

ληθείᾳ, ἐ φαντασίᾳ, ὁ Κύριος γέγονεν· ἐ Θεοφόρος ἄνθρωπος, ἀλλὰ σαρκοφόρος Θεὸς, καὶ τὸ συναμφότερον ἅπαν Θεάνθρωπος.

Εἴτις ἔν τολμηρῶς ἐπὶ τέτοις, ἢ φιλοπευςῶν ἔροιτό με, πῶς συνελήφθη ὁ Λόγος; πῶς σεσάρκωται; πῶς γεγέννηται; εὐθὺς ἐρῶ ἐξ ἑτοίμε, ὡς οἶδεν αὐτός· ἠθέλησε γὰρ, καὶ τὸ κωλύον ἐδέν· ἤργησεν ἡ φύσις, καὶ ἐνήργησε τε δεσπότε τὸ θέλημα· ἐβελήθη, καὶ ἡ κτίσις ὑπέργησε, καὶ ἡ σύλληψις αὐτε πάντα νεν ὑπερέχει, καὶ ἡ σάρκωσις αὐτε πάντα λόγον νικᾷ, καὶ ἡ γέννησις αὐτε πᾶσαν ὑπερβαίνει διάνοιαν. Ὅτι μὲν γὰρ συνελήφθη δεδίδαγμαι, τὸ δὲ πῶς, ἐ μεμάθηκα· ὃ δὲ μὴ παρέλαβον, ἐδὲ λέγειν τολμῶ· ὑμνῶ τὸν σαρκωθέντα, ἐ τὸν τρόπον τῆς σαρκώσεως πολυπραγμονῶ· κηρύττω τὸ μυςήριον, ἐχ ἑρμηνεύω τὸ ἀνερμήνευτον· θαυμάζω τὸ γεγονὸς, τὸ δὲ πῶς γέγονεν ἐ ζητῶ.

Κεφάλαιον λόγε, τοιαῦτα σήμερον ἑορτάζομεν ἄνθρωποι· τοιετον ἡμῖν τὸ μυςήριον· καταλλαγὴ Θεε πρὸς ἀνθρώπες· τῆς ἀπωθείσης φύσεως πρόσληψις· ἐντεῦθεν σκιὰ παρατρέχει, ἡ ἀλήθεια φαίνεται, ἡ συναγωγὴ χηρεύει, ἡ Ἐκκλησία χορεύει, τὸ γράμμα σιγᾶται, τὸ Πνεῦμα παῤῥησιάζεται· δαίμονες καταισχύνονται, ἄπιςοι ἐγκαλύπτονται, αἱρετικοὶ διαῤῥήγνυνται, καὶ πιςοὶ διασώζονται· ἐρανοὶ εὐφραίνονται, ἡ γῆ ἀγάλλεται, τὰ ὄρη σκιρτῶσιν, οἱ βενοὶ ἄλλονται, θάλασσαι χαίρεσι, ποταμοὶ κροτεσιν, ἐγκαινίζονται νῆσοι, νάπαι καὶ πεδιάδες, ἐσχατιαὶ καὶ .... καὶ τὰ ἐν αὐτοῖς πάντα γέγηθεν ἀπὸ προσώπε Κυρίε, ὅτι πρὸς ἡμᾶς παρεγένετο· Προφῆται βοῶσιν, Ἀπόςολοι κηρύττεσι, Θεολόγοι διδάσκεσι, πᾶν γένος ἀνθρώπων, καὶ πᾶσα ἡλικία, καὶ πᾶν ἀξίωμα εὐχαριςηρίοις ὕμνοις τὸ θεῖον ὑμνεῖ, ὅτι μετὰ τῶν δέλων ὁ δεσπότης, μετὰ τῶν καταδίκων ὁ λυτρωτὴς, μετὰ τῶν ἀχαρίςων ὁ εὐεργέτης, μετὰ τῶν ὑπευθύνων ὁ ἀνεύθυνος, καὶ μετὰ τῶν ἀπεγνωσμένων ὁ πάντας πρὸς σωτηρίαν καλῶν· ἐκ ἐν τῇ τε Πατρὸς

τρὸς δόξῃ φαινόμενος, ἵνα μὴ καταπλήξῃ, ἀλλ' ἐν τῇ τῆς Μητρὸς ταπεινότητι, ἵνα ἐφελκύσηται καθορώμενος.

Ἀναλάβωμεν δὴ καὶ ἡμεῖς φωνὴν εὔφημον, μετὰ φόβου καὶ πόθου· εἴπωμεν εὐλαβῶς τῇ Παρθένῳ „ χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξί· τῶν ἐξ οὐρανοῦ μυστηρίων τὸ πλήρωμα, τῶν πασῶν ἑορτῶν ἡ ὑπόθεσις, τῆς ἀφθαρσίας τὸ ἐργαστήριον· εὐλογημένη σὺ καὶ ὑπερευλογημένη καὶ ὑπερύμνητος δέσποινα, ὅτι εὐλογημένος Θεός τε καὶ Κύριος ἐκ σοῦ τῷ κόσμῳ ἐπέφανε, καὶ διὰ σοῦ, καὶ μετὰ σοῦ συνανεστράφη τοῖς ἐπὶ γῆς, καὶ πρὸς νηπίων ἀκάκων ὑμνούμενος ἤκουσεν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, καὶ σὺν σοὶ ὅσον οὔπω ἔρχεται ἀκουσόμενος παρὰ πάσης τῆς κτίσεως, εὐλογημένος ὁ ἐρχόμενος Θεὸς Κύριος· εἰρήνη ἐπὶ τῆς γῆς, καὶ δόξα ἐν ὑψίστοις.

Ἀλλ' ἵνα ὅθεν ὁ λόγος μοι τὴν ἀρχὴν ὥρμηται, ἐκεῖσε πάλιν νοστήσῃ, λήξει τοῦ πρόσω χωρεῖν. Ὥσπερ οὖν ὕψωσας τὴν πάντῃ ταπεινωθεῖσαν φύσιν ἡμῶν, ἐταπείνωσας τὸν ὑψαύχενα τύραννον, τὰ διεστῶτα φυσικῶς ὑπὲρ φύσιν ἥνωσας, ἀνθρώπων γένος Ἀγγέλοις ἔμιξας, τὴν γῆν οὐράνωσας, ἡμᾶς ἐθέωσας, οὕτω μετὰ πάντων τῶν θαυμασίων σου μεγαλουργημάτων, καὶ ἅπαντας ἡμᾶς διὰ τῆς σῆς προστασίας τῆς δεξιᾶς τοῦ Υἱοῦ σου μερίδος παραστάτας ἀνάδειξον. Ἀμὴν Ἀμὴν, δέσποινα πάντων! γένοιτο γένοιτο!

ΤΟΥ ΑΥΤΟΥ

# ΛΟΓΟΣ Γ.

Ἐν τῷ αὐτῷ λαληθεὶς Παλατίῳ κατὰ τὴν ἐφεξῆς τῷ τότε μεγάλην Παρασκευήν· παριςῶν ἀριδήλως, ὅτι διὰ τὸ πωλεῖσθαι καθ᾽ ἑκάςην τὸ τȣ̃ Χριςȣ̃ σῶμα καὶ αἷμα παρὰ τῶν ἔτω λεγομένων Πνευματικῶν, καὶ ἀγοράζεσθαι παρ᾽ ἡμῶν, οἴμοι! τὸ ἡμέτερον γένος ἀφανισμῷ παραδίδοται, καὶ Ἰσμαηλίταις περιπίπτει.

Τȣ̃ Θεȣ̃ πάντων καὶ ποιητȣ̃ καὶ προνοητȣ̃ τῆς περὶ ἡμᾶς κηδεμονίας πολλὰ μὲν ϗ ἄλλα μαρτύρια, ϗ ταῦτα δὲ προ πολλῶν, ὅτι τȣ̃ τῶν ὀρθοδόξων ȣ̓χ ἥκιςα προνοȣ́μενος γένȣς, ἐπεὶ ἐκ ψυχῆς καὶ σώματος συνεςήκαμεν ἅπαντες, τῶν μὲν σωμάτων ἐπιςάτην τὸν Αὐτοκράτορα, τῶν δὲ ψυχῶν ἡμῶν ἐπιμελητὴν τὸν οἰκȣμενικὸν Πατριάρχην ἐπέςησεν, ὡς ἂν ἑκατέρωθεν φυλαττόμενοι, σωματικῶς μὲν ἐντεῦθεν, ψυχικῶς δὲ ἐκεῖθεν, ϗ ζῶντες εὐσεβῆ ζῶμεν βίον καὶ ἤρεμον, καὶ μεταςάντες πάλιν τῆς τῶν σωζομένων μερίδος μὴ διαμάρτωμεν. Οὗτοι τοίνυν οἱ μετὰ Θεὸν ἡμῶν καὶ ἐξȣσιαςαὶ καὶ δεσπόται καὶ κύριοι, ὧν δίχα χριςιανικῶς ζῆν ȣ̓κ εὐμήχανον, τῇ τῆς ἑαυτῶν ἐξȣσίας κᾀμὲ ψηφίσαντες μάςιγι, τὸν τόσα ἔτη ὑποχωρȣ̃ντα, καὶ μηδὲν κακὸν ἔχοντα, τῆς προθέσεως ἐκβαλόντες, εἰς τὴν πάνδημον ταύτην Ἐκκλησίαν φέροντες ἔςησαν· πάντως δ᾽ ȣ̓κ ἦν ἀντειπεῖν· ȣ̓κȣ̃ν ȣ̓δ᾽ ἀντεῖπον·

τοῦτον· τοῖς δὲ θελήμασί μου χαίρειν εἰπὼν, καὶ οἰμώζειν μακρὰν τῇ παρακοῇ, τὴν πρὸς αὐτοὺς προέκρινα μᾶλλον ὑπακοὴν, ἐκεῖνο κρίνας πρὸς ἐμαυτὸν, ὁ Βασιλεὺς ἐπιτάττει, καὶ τὶς αὐτῷ καλῶς προστάττοντι ἀντιστήσεται; ὁ Πατριάρχης κελεύει, καὶ τὶς αὐτῷ ἀπειθήσει ὀρθόδοξος; ὁ Θεὸς τοῦτο θέλει τὸ ἔργον, καὶ τὶς αὐτὸν παρακρούσεται; ἢ τὶ πρὸς αὐτῆς τῆς ἀληθείας ἐχρῆν με ποιεῖν; Φεύγειν ἐς (*) Σικελίαν; ἢ κρύπτεσθαι ὑπὸ ζοφώδη Στοάν; ἢ τὸν ἔξηχον ὑποκρίνασθαι; (ταῦτα καὶ γὰρ ὁ λογισμὸς ὑπετίθει ποιεῖν)· καὶ πρὸς ἀρχὰς οὕτω μεγάλας, ἔχθραν ἄσπονδον ἀναδέξασθαι; καὶ τίνα ἂν εἶχον προβάλλεσθαι τότε ἀπολογίαν, ἐπὶ τοῦ δικαίου κριτοῦ; ἢ τίνα πρόφασιν προφασίσασθαι τῷ λέγοντι τῇ ψυχῇ μου „ πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω; " Διὰ δὴ ταῦτα ὑπέκυψα, καὶ πάρειμι, ὡς ὁρᾶτε, τοῖς ἄρχουσι πληρῶν τὴν ὑπακοήν· ἐπεὶ τόγε εἰς τὴν ἐμὴν ἧκον πρόθεσιν, σιγῇ βιῶναι τὸ λοιπόν μοι τοῦ βίου προῄρημαι, καθὰ καὶ πρὸ τοῦ πολὺν σεσίγηκα χρόνον· καὶ τοῦτο οὐ πάντῃ ἀλόγως, ὡς ἐμαυτὸν πείθω, οὐδ᾽ ἄπο σκοποῦ, ἀλλὰ τὸν τοῦ σιγᾶν καιρὸν, ὃν ὁ σοφὸς Σολομὼν προηγόρευσεν, τοῦτον ἀτεχνῶς εἶναι νομίζων τὸν τήμερον· τὶ γὰρ ὄφελος τῷ ὄντι κεκραγέναι πρὸς ἄνεμον, οὕτω βιαίας ζάλης κατεχούσης τὸν βίον, ὑφ᾽ ἧς συχνὴ σκοτόμαινα τὰς Ἐκκλησίας ἐπέχει, τῶν λαμπτήρων τοῦ κόσμου, οὓς ἔθετο ὁ Θεὸς τὰς ψυχὰς τῶν λαῶν φωτίζειν, ἐξοικισθέντων; καὶ πᾶσα ἀκοὴ τούτοις βαρυτάτοις ψόφοις καὶ ἤθεσι κατακτυπεῖται, ὡς οὐ δυναμένης φωνῆς ἀνθρώπου διὰ τοσούτων θορύβων εἰσακουσθῆναι;

Καὶ τὸ προφητικὸν δὲ ἐκεῖνο καλεῖχε τὴν ἐμὴν γλῶτταν λόγιον, " ὅτι ὁ συνιὼν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται· διότι ὁ καιρὸς πονηρὸς ἐστὶν, ἐν ᾧ οἱ μὲν ὑποσκελίζουσι νῦν, οἱ δὲ ἐνάλλονται τῷ πεσόντι, ἄλλοι δὲ ἐπικροτοῦσιν, ὁ δὲ τῷ πεπτωκότι χεῖρα ὀρέγων ἐκ συμπαθείας οὐκ ἔστι· πόθεν; ὅπου γε διὰ πάντων τῆς ἀγάπης ψυγείσης, ἀνῄρηται μὲν ἀδελφῶν σύμπνοια, ὁμονοίας δὲ ἀγνοεῖται

νοεῖται καὶ τὄνομα, ἀνῄρηται δὲ ἀγαπητικαὶ νουθεσίαι, οὐδαμοῦ σπλάγχνον Χριστιανικὸν, οὐδαμοῦ δάκρυον συμπαθὲς, οὐδαμοῦ παράκλησις ἐν Χριστῷ, καὶ τοσοῦτον μῖσος τοῖς ὁμοφύλοις πρὸς ἀλλήλους ἐκκέκαυται, ὡς μᾶλλον τοῖς τοῦ πλησίον πτώμασιν, ἢ τοῖς οἰκείοις ἕκαστος κατορθώμασιν ἐπαγάλλονται. Διὰ δὴ ταῦτα πάντα, προτιμοτέραν τοῦ λόγου τὴν σιωπὴν ἐτιθέμην, καὶ ἔτι σιωπᾷν ἔδειμε, καὶ πραΰνειν ἀφ' ἡμερῶν πονηρῶν, ὅτι τὰ περιστοιχήσαντα τὸ ἡμέτερον γένος δεινὰ δάκνειμου τὴν καρδίαν, συγχέει τὸν νοῦν, καὶ ὀδινᾷ τὴν ψυχήν· ἐπεὶ οἱ ἄρτι καιροὶ χαλεποὶ ὑπὲρ ἅπαντας, πονηραὶ αἱ ἡμέραι, τῶν χρόνων τὰ τέλη, τὸ γῆρας τοῦ κόσμου, ἡ ἐκθυμία τοῦ σύμπαντος· ὅτι δεινὴ καὶ σφαλερὰ καὶ πικρίας ἀνάμεστος αὕτη ἡμῶν ἡ ζωὴ, καὶ κακῶν θαλάσσαις ὑπέραντλος· ἰδοὺ γὰρ γεγόναμεν ὑπερήφανοι, ἀλαζόνες, φιλάργυροι, φίλαυτοι, ἀχάριστοι, ἀπειθεῖς, λειποτάκται, ἀνόσιοι, ἀμετανόητοι, ἀδιάλλακτοι· οἱ ἄρχοντες ἡμῶν ἀνόμων κοινωνοὶ, οἱ ἐπιστατοῦντες τοῖς πράγμασιν ἅρπαγες, οἱ κριταὶ δωρολῆπται, οἱ μεσίται ψευδεῖς, οἱ νεώτεροι ἀκόλαστοι, οἱ γηράσαντες πάροινοι, οἱ ἀστικοὶ ἐμπαίκται, οἱ ἀγροῖκοι ἄλαλοι (*), καὶ οἱ πάντες ἀχρεῖοι· ὅθεν ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, ἐξέλιπε στοχαστὴς, οὐχ εὕρηται φρόνιμος, πάλαι παρήχθη σοφὸς, οὐκ ἔστιν ὁ συνιὼν, οὐκ ἔστιν ὁ διορθούμενος, ὁ ἐπιστρέφων οὐκ ἔστιν, οὐκ ἔστιν ὁ ἀσθενοῦντα τῇ πίστει προσλαμβανόμενος· πᾶς ἀδελφὸς πτέρνῃ πτερνιεῖ, καὶ πᾶς φίλος δολίως πορεύεται· ὁλόσωμος ἡ πληγὴ, ἡ νόσος καθολικὴ, χαλεπὸν τὸ τραῦμα, ἀπαραμύθητος ἡ συμφορὰ, καὶ παραπλησίως ἁπάσης μείζων· ἔφυγη τἀγαθὰ, ἔφυη τὰ λυπηρὰ, παρῴχηκε τὰ ἡμέτερα, κατίσχυσε τὰ ἀλλότρια, κατηνέχθημεν πάντῃ, ἀπολώλαμεν, διαπεφωνήκαμεν, καὶ ὡς τραυματίαι ἤδη καὶ παραπλῆγες, ἡμῶν αὐτῶν ἔξω γεγόναμεν· βιαστικῆτις τῶν καθ' ἡμᾶς πραγμάτων πρόοδος ἐπὶ τὰ χείρω καὶ διαρκής· τῶν χθὲς καὶ ἔναγχος ἀμεινόνων ἰδιωμάτων, σήμερον οὐδ' ἴχνος ἔστιν εὑρεῖν· καὶ τὰ

(*) Ἴσ. λάλοι.

τὰ πέρυσι βέλτιςα τῶν ἠθῶν, ἐδαμȣ̃ δίδωσι τὸ ἐφέτος ὁρᾷν· διὰ μέσȣ δὲ τέτȣ κἀκείνȣ ταῦτα τοσȣ̃τον μετήλλακται, ὅσον ἐδὲ λέγειν ἰχύς.

Ὅτι διεσκορπίσθημεν ἐν πάσαις ταῖς βασιλείαις τῆς γῆς, καὶ ἄρχει τὰ ἔθνη ἡμῶν, ἡμεῖς δὲ ἐκ ἄρχομεν, καὶ τὴν χώραν ἡμῶν ἐνώπιον ἡμῶν ἀλλότριοι κατεσθίȣσι, καὶ ἠρήμωται, καὶ κατέςραπται, καὶ ἐκ ἔςιν ὁ βοηθῶν! αἱ νεάνιδες τȣ̃ γένȣς ἡμῶν, καὶ οἱ νεανίσκοι πᾶσι τοῖς ἔθνεσι δεδομένοι, καὶ οἱ ὀφθαλμοὶ ἡμῶν ὁσημέραι βλέπȣσι ταῦτα, καὶ ἡ χεὶρ ἡμῶν ἐκ ἰχύει, ἀλλὰ καρδία ἀθυμȣ̃σα δέδοται μόνον ἡμῖν, καὶ ἐκλείποντες οἱ ὀφθαλμοὶ, καὶ τηκομένη ψυχή· καταπεφρόνηται τὰ τῆς Ἐκκλησίας, διέφθαρται τὰ τῆς Βασιλείας, διενοχλεῖται τὰ πόῤῥω, συγχεῖται τὰ πέρατα, καὶ δονεῖται τὸ πᾶν· ἔνθεν Ἀγαρηνοὶ διώκȣσιν ἡμᾶς, ἐκεῖθεν Σκῦθαι λυμαίνονται, ἀπὸ δυσμῶν Ἰσμαηλῖται τρυγῶσι, καὶ Πέρσαι ἐξ ἀνατολῶν ἐκριζȣ̃σι· τὸν Δράκοντα φεύγομεν, καὶ Βασιλίσκῳ συναντῶμεν· ἀποδιδράσκομεν Λέοντα, καὶ τῇ Ἄρκτῳ προσπίπτομεν· ὁ τὸν θάνατον φυγὼν ἐξ ἡμῶν περιπίπτει δȣλείᾳ, καὶ ὁ τῆς δȣλείας ἀπαλλαγεὶς τῇ σφαγῇ παραδίδοται· ὅπȣ ἂν, καὶ ἰωνικὰ ναυμαχίαι τε καὶ πεζομαχίαι, ἢ λεηλασίαι καὶ μετοικεσίαι γίνωνται, μέρος ἡμῶν φθείρειν πᾶσαι πάντως ἀκȣ́ονται· τὸ ἀθροισθὲν ποθεν ἐν οἰκίᾳ σκορπίζει φθόνος, καὶ τὸ σκορπισθὲν ἡμῶν ἐπὶ κέρδει ἁρπάζει λῃςής· τὸ διαδρὰν τὴν πολιορκίαν ἐπόντισε θάλασσα, καὶ τὸ τὸν βυθὸν ἐκφυγὸν εἰς τὰς τῶν ἐχθρῶν ἐνέπεσε χεῖρας· καθωρινοὶ πόλεμοι, ἀνδραποδισμοὶ ἄπαυςοι, τειχομαχίαι συχναὶ, σφαγαὶ, λοιμοὶ, καὶ λιμοὶ, πνιγμονὴ, ςενοχωρίαι ἐ φορηταὶ, ἀπώλειαι μυρίαι κύκλῳ, καὶ πανταχόθεν ἡ τȣ̃ Θεȣ̃ ὀργὴ ἀφικνεῖται· ἡμεῖς μέντοι ὡς μηδενὸς καινȣ̃ γενομένȣ, ἀναλγήτως ἅπαντες διακείμεθα· ὄψεις γὰρ ἡμῖν ἐγένοντο πόρνης, καὶ πρόληψις ἁμαρτίας, καὶ πώρωσις ἅμα καὶ λήθη καὶ σκότωσις, ὡς μηδὲ νομίζειν τὰ πάνδεινα κακὰ καὶ διαπραττομένȣς καὶ πάχοντας, πράττειν ἢ πάχειν κακά.

Ἀλλὰ τίς ἄρα σοφὸς ἐκτραγῳδήσοι ὡς δεῖ τὰ ἡμέτερα; πάντα γὰρ ὄντως ὑπερβέβηκε θρῆνον, καὶ παντὸς ταῦτα κατακαυχᾶται ὀλοφυρμοῦ, καὶ συνελόντα φάναι, ὅσα ποτὲ διὰ Μωσέως τῷ τῶν Ἑβραίων γένει καὶ ἠπείληται, καὶ ἐπῆλθε δεινὰ, τοσαῦτα καὶ τοιαῦτα ἡμῖν συνέπεσε· τίνα δὲ ταῦτα ἰδοῦ; καθὼς ἐκεῖ γέγραπ-
,, ται ,, εἰ ἐμμενεῖς ἐν λόγοις Κυρίου, φησὶ, τοῦ ποιῆσαι αὐ-
,, τοὺς, εὐλογημένος εἶ ἐν πόλει, καὶ εὐλογημένος εἶ ἐν ἀ-
,, γρῷ· εὐλογημένα τὰ ἔκγονα τῆς κοιλίας σου, καὶ τὰ
,, γεννήματα τῆς γῆς σου· τὰ βουκόλια τῶν βοῶν σου, καὶ
,, τὰ ποίμνια τῶν προβάτων· εὐλογημέναι αἱ ἀποθῆκαί σου
,, καὶ τὰ ἐγκαταλείμματά σου· εὐλογημένος εἶ ἐν τῷ ἐκπο-
,, ρεύεσθαί σε, καὶ εὐλογημένος εἶ ἐν τῷ εἰσπορεύεσθαί σε·
,, παραδώσει Κύριος ὁ Θεὸς τοὺς ἀνθεστηκότας σοι συντετριμ-
,, μένους πρὸ προσώπου σου· ἐν ὁδῷ μιᾷ ἐξελεύσονται πρὸς σέ,
,, καὶ ἐν ἑπτὰ ὁδοῖς φεύξονται πρὸ προσώπου σου· ἀποστεί-
,, λαι Κύριος πρὸς σὲ τὴν εὐλογίαν ἐν τοῖς ταμείοις σου, καὶ
,, ἐν πᾶσιν οὗ ἂν ἐπιβάλῃς τὴν χεῖρά σου· ἀνοίξαι σοι Κύ-
,, ριος τὸν θησαυρὸν αὐτοῦ τὸν ἀγαθὸν τὸν οὐράνιον, καὶ δα-
,, νειεῖς πολλοῖς, σὺ δὲ οὐ δανειῇ· καὶ ἄρξεις, σοῦ δὲ οὐκ ἄρ-
,, ξουσι· καὶ ἔσῃ ἐπάνω, καὶ οὐκ ἔσῃ ὑπὸ κάτω· οὐ παρα-
,, βήσῃ ἀπὸ πάντων τῶν λόγων ὧν ἐγὼ ἐντέλλομαί σοι σήμε-
,, ρον, δεξιὰ, ἢ ἀριστερά· εἰδ' οὖν, ἐπικατάρατος εἶ ἐν
,, πόλει, καὶ ἐπικατάρατος εἶ ἐν ἀγρῷ· ἐπικατάρατα τὰ
,, ἔκγονα τῆς κοιλίας σου, καὶ τὰ γεννήματα τῆς γῆς σου·
,, τὰ βουκόλια τῶν βοῶν σου, καὶ τὰ ποίμνια τῶν προβάτων
,, σου· ἐπικατάρατοι αἱ ἀποθῆκαί σου, καὶ τὰ ἐγκαταλείμ-
,, ματά σου· ἐπικατάρατος εἶ ἐν τῷ εἰσπορεύεσθαί σε, καὶ
,, ἐπικατάρατος εἶ ἐν τῷ ἐκπορεύεσθαί σε· παραδώσει σε
,, Κύριος ὁ Θεός σου τοῖς ἀνθεστηκόσι σοι, συντετριμμένον
,, πρὸ προσώπου αὐτῶν· ἐν ὁδῷ μιᾷ ἐξελεύσῃ πρὸς αὐτοὺς,
,, καὶ ἐν ἑπτὰ ὁδοῖς φεύξῃ πρὸ προσώπου αὐτῶν· ἐξαποστεί-
,, λαι σοι Κύριος τὴν ἔνδειαν, καὶ τὴν ἐκλιμίαν, καὶ τὴν
,, ἀνάλωσιν ἐπὶ πάντα, οὗ ἂν ἐπιβάλῃς τὴν χεῖρά σου,
,, ἕως ἂν ἐξολοθρεύσῃ σε· προσκολλήσαι Κύριος εἰς σὲ τὸν
,, θάνατον, ἕως ἂν ἐξαναλώσῃ σε ἀπὸ τῆς γῆς· πατά-

ξαι σε

ξαισε Κύριος ἀπορίαις, καὶ πυρετῷ, καὶ ῥίγει, καὶ ἐρεθισμῷ, καὶ φόνῳ, καὶ ἀνεμοφθορίᾳ, καὶ τῇ ὠχρίᾳ, καὶ καταδιώξονταίσε, ἕως ἂν ἀπολέσωσίσε· καὶ ἔσαισοι ὁ ἐρανὸς ὑπὲρ κεφαλῆς σε χαλκὲς, καὶ ἡ γῆ ὑποκάτωσε σιδηρά· δώη Κύριος τὸν ὑετὸν τῆς γῆς σε, κονιορτόν· διασκορπίσαισε Κύριος, καὶ ἔσῃ ἐν διασπορᾷ πάσαις ταῖς βασιλείαις τῆς γῆς· πατάξαισε Κύριος ἐν ἕλκει Αἰγυπτίῳ· ἕδραις, καὶ ψώρᾳ ἀγρίᾳ, καὶ κνίφῃ, ὥστε μὴ δύναθαίσε ἰαθῆναι· πατάξαισε Κύριος παραπληξίᾳ, καὶ ἀορασίᾳ, καὶ ἐκστάσει διανοίας, καὶ ἔσῃ ψηλαφῶν μεσημβρίας· γυναῖκα λήψῃ, καὶ ἀνὴρ ἕτερος ἄξει αὐτήν· οἰκίαν οἰκοδομήσεις, καὶ ἐκ οἰκήσεις ἐν αὐτῇ· ἀμπελῶνα φυτεύσεις, καὶ ἐ τρυγήσεις ἐξ αὐτε· τὰ κτήνησε δεδομένα τοῖς ἐχθροῖς σε, καὶ ἐκ ἔσαισοι ὁ βοηθῶν· οἱ ὑοίσε καὶ αἱ θυγατέρες σε δεδομένα τοῖς ἐχθροῖς σε, ἤτοι ἔθνει ἑτέρῳ, καὶ οἱ ὀφθαλμοίσε ὄψονται σφακελίζοντες εἰς αὐτὰ ὅλην τὴν ἡμέραν· καὶ ἐκ ἰσχύσει σε ἡ χεὶρ, καὶ ἔσῃ παράπληκτος διὰ τὰ ὁράματα τῶν ὀφθαλμῶν σε ἃ ὄψει· σπέρμα πολὺ ἐξοίσεις εἰς τὸ πεδίον, καὶ ὀλίγα συνάξεις· καταφάγεται αὐτὰ ἡ ἀκρίς· ἀμπελῶνα ἐργάσῃ, καὶ ἐκ εὐφρανθήσῃ ἐξ αὐτε, φάγεται γὰρ αὐτὸν ὁ σκώληξ· ἐλαῖαι ἔσονταίσοι, καὶ ἐ χρίσῃ ἐλαίῳ, ὅτι ἐκρυήσεταίσε ἡ ἐλαία· καὶ ἔσαι ἐν σοὶ σημεῖα καὶ τέρατα, καὶ ἐν τῷ σπερματίσε ἕως τε αἰῶνος· καὶ δώητοι Κύριος καρδίαν ἀθυμεσαν, καὶ ἐκλείποντας ὀφθαλμὲς, καὶ τηκομένην ψυχήν· τῷ πρωῒ ἐρεῖς, πῶς ἂν γένοιτο ἑσπέρας; καὶ τῷ ἑσπέρας ἐρεῖς, πῶς ἂν γένοιτο πρωΐ;

Ταῦτα δὴ πάντα, καὶ τοιαῦτα μυρία ἐπῆλθεν ἡμῖν ἀθρόον, ἐχ ὡς ἄντις νομίσῃ ἀλόγῳ φορᾷ, ἀλλ' ἐνδικώτατα παρὰ τῆς πάντων προνοίας, ὡς προϊὼν ὁ λόγος ἐρεῖ· πλὴν αὐτὰ ταῦτα καὶ τὰ τέτων παραπλήσια, ὁ μὲν ἀστρολόγος ὁρῶν τοῖς πρὸς ἀλλήλες τῶν ἀστέρων σχηματισμοῖς εἴποι ἂν συμβαίνειν ἡμῖν· ὁ δὲ φυσικὸς, τῷ μέσες εἶναι Περσῶν καὶ Σκυθῶν τῇ θέσει, Ἀγαρηνῶντε καὶ Ἰσμαηλιτῶν, καὶ τῇ φυσικῇ τῶν γινομένων

προόδῳ, ταῦτα ἡμᾶς ὑπομένειν ἐρεῖ· ὁ μέντοι ἄθεος ἀπὸ ταὐτομάτε χύδlω καὶ φύρδlω ἀποτελεῖσθαι· καὶ ὁ Ἕλλlω ἐξ εἱμαρμένης καὶ τύχης ὑπολάβοι ἂν ἅπαντα συμπίπτειν ἡμῖν. Πάλιν, ὁ μὲν Ἀγαρlωὸς, τὸ μὴ τῷ παλαμναίῳ Μωάμεθ πείθεσθαι, τέτων αἴτιον ἐρεῖ· ὁ δὲ Ἑβραῖος τὸ πιςεύειν ἡμᾶς εἰς Χριςόν· καὶ ὁ μὲν ἕκαςος τῶν αἱρετικῶν, τὸ μὴ ὑποκύψαι τῇ ἐκείνε αἱρέσει· ὁ δὲ τῶν Ἰταλῶν ὄχλος τὸ μὴ ὑποτετάχθαι ἡμᾶς τῷ Πάπα τῶν εἰρημένων πάντων δεινῶν αἴτιον οἴεται. Ἐγὼ δὲ πάντας τέτες ἀποβαλλόμενος, ἄλλοτι τἕτο μέγα καὶ μέγιςον εἶναι φρονῶ, καὶ ἓ χεῖρον, ἢ μεῖζον ἐκ ἔςιν ἁμάρτημα· ἐκ γὰρ τῶν τοῖς πταίεσιν ἐπαγομένων, καὶ ἀμετρήτων ἅμα καὶ ἀνυποίςων κολάσεων καὶ τιμωριῶν, τὸ τἕ ἁμαρτήματος μέγεθος διακρίνεσθαι πέφυκεν. Ἢ τὶς νἕν ἔχων καὶ φρένας, ὁρῶν ἐκ δικαςηρίε κατάδικον ἐκβαλλόμενον, καὶ τὰς κατ᾽ ἐκείνε ἀποφάσεις ἅπαν εἶναι δεινὸν ἐπακέων, τὸν δὲ ταύτας ἀποφηνάμενον κριτlὺ δικαιότατον ἐπιςάμενος, ἐκ εἰς αὐτὸν πεπαρωνηκέναι τὸν Βασιλέα νομίσει εὐθὺς τὸν κατάδικον; ἐπεὶ τὰ λοιπὰ τῶν ἁμαρτημάτων, ὁπόσα εἰς τὲς συνδέλες ἀνάγεται, τῇ δε ἢ τῇδε τῇ κολάσει μόνον ἕκαςον ἐκδικέμενον ἀπαλείφεται· τὰ δὲ εἰς τὸν κρατἕντα τολμώμενα, εἴτε ἄνθρωπος ἕτος εἴη, εἴτε Θεὸς, καὶ ἀπειράκις ἐκδικεῖται, καὶ ἀπεράντως χεδόν.

Ὅτι δὲ ἐ ςοχασμὸς τὸ λεγόμενον, ἀλήθεια δὲ φανοτάτη, μαρτυρεῖ μὲν καὶ πᾶν τὸ γένος ἡμῶν, ἔχον τῆς μαρτυρίας ἐναργῆ παραδείγματα, τὰ τολμηθέντα τῷ πρὶν Ἑωσφόρῳ, καὶ τῷ γενάρχῃ Ἀδὰμ, οἳ κατὰ Θεἕ θεομάχον χεῖρα κινήσαντες, τἕ μὲν ἡ μερὶς ζόφον αἰώνιον εἴληφε, τἕ δὲ τὸ γένος ἔτεσιν ἑπτάκις χιλίοις, δεινοῖς ἀπείροις κολάζεται· μαρτυρἕσι δὲ καὶ πάντες οἱ ἐν διαφόροις καιροῖς ἀφοσιώσει περιπεσόντες, οἳ μὴ μόνον αὐτοὶ, ἀλλὰ καὶ πᾶσα αὐτῶν ἡ συγγένεια, καὶ πάντες οἱ συνειδότες, καὶ αὐτοὶ, καὶ τὰ τέτων ὑπάρχοντα, παραδίδονται ἀφανισμῷ παντελεῖ. Ὅπερ γἕν ἐπ᾽ ἐκείνων

νων καὶ τῶν τοιαῦτα τολμώντων εἴωθε γίνεσθαι, τοῦτο δὴ ἢ ταὐτὸν, ἢ παρόμοιον, καὶ παρ' ἡμῶν νῦν τολμώμενον, ὑποδίκους ἡμᾶς ποιεῖται ταῖς τοσαύταις καὶ τοιαύταις κολάσεσιν.

Ἔνεστι δὲ καὶ τοῦτο ἄλλως καταμαθεῖν, οἷς μέλει σκοπεῖν τί τὸ κινοῦν τὸν Θεὸν καθ' ἡμῶν, ὅτι ἔστιν ἁμαρτία ἐνεργουμένη εἰς πολλὰς πόλεις παρὰ πάντων σχεδὸν τῶν οἰκούντων αὐταῖς, καὶ δι' ὀλίγους πάνυ δικαίους εὑρισκομένους ἐν ταύταις, μακροθυμῶν ὁ Θεὸς οὐ κολάζει ταύτας διὰ τὸ τῶν ἁμαρτωλῶν πλῆθος, διὰ δὲ τοὺς ὀλίγους δικαίους σώζει μᾶλλον αὐτὰς, ὅ καί που φησὶ πρὸς τὸν Ἀβραὰμ περὶ τῆς Πενταπόλεως, Σοδόμων φημὶ καὶ Γομόῤῥων, οὕτως εἰπὼν πρὸς αὐτὸν „ ἐὰν εὕρω δέκα δικαίους ἐκεῖ, οὐ μὴ ἀ- "
πολέσω ἕνεκεν τῶν δέκα. Σκοπεῖτε δέ μοι καὶ τὸ ταύτης "
ἀνάπαλιν· ἔστιν ἁμαρτία γινομένη παρ' ὀλίγων εἰς Ἐπαρχίας καὶ πόλεις, οὐ παρὰ τῶν πολλῶν, καὶ καταστρέφει ὁ Θεὸς πάσας τὰς πόλεις καὶ τὰς ἐπαρχίας ἐκείνας διὰ τοὺς ὀλίγους ἁμαρτωλοὺς, καὶ οὐ σώζει αὐτὰς διὰ τοὺς πολλοὺς τοὺς μὴ ταύτην ἐργαζομένους, ἀλλὰ μετ' ἐκείνων καὶ τούτους κολάζει, διότι μόνον παρεσιώπησαν τὸ κακὸν, καὶ οὐκ ἐπεκδίκησαν τὸν Θεόν. Ἐκείνη γοῦν ἡ ἁμαρτία ἐνεργεῖται πρὸ χρόνων πολλῶν κατὰ τὴν μεγαλόπολιν ταύτην, καὶ τὰς ὑπ' αὐτὴν ἐπαρχίας ἀμετανόητος, ἀνεξομολόγητος, ἀσυγχώρητος, καὶ κατὰ κράτος ἰδοὺ βεβασίλευκε, καὶ κατὰ πάντων ὁμόσε χωρεῖ· τότε γὰρ λέγεται βασιλεύειν ἡ ἁμαρτία, ὅταν οἱ πράττοντες καὶ λέγωνται καὶ πιστεύωνται εἶναι ἅγιοι· καὶ ὄντως τοῦτο ἐστὶν ὁ ἔσχατος τῆς ἀδικίας ὅρος, ὅπέρ τις τῶν ἔξω φησὶ, τὸ δίκαιον εἶναι δοκεῖν μὴ ὄντα. Ἀλλ' ἧκεν ἡμῖν ὁ λόγος πρὸς αὐτὸ τὸ κεφάλαιον.

Ἀπὸ καταβολῆς κόσμου μέχρι τῆς τοῦ παντὸς συντελείας μεῖζον ἁμάρτημα οὔτε γέγονεν οὐδὲ γενήσεταί πω, τοῦ πωληθῆναι τιμῆς καὶ ἀγορασθῆναι τὸν Κύριον· ἐκεῖνο γοῦν τὸ φοβερὸν καὶ φρικῶδες ἁμάρτημα, τὸ ἅπαξ ποτὲ τολμηθὲν παρὰ τοῦ προδότου Ἰούδα, καὶ νῦν καθ' ἑκάστην

τολμᾶ-

τολμᾶται παρὰ πολλῶν. Ὦ Φεῖσαι Κύριε Κύριε! τοῦτο πρὸ πάντων, καὶ ὑπὲρ πάντα, θεοστυγεῖς ἡμᾶς εἶναι, καὶ δεινοῖς μυρίοις ἐνόχους προφανῶς ἀπεργάζεται· εἰ γὰρ καὶ πολλὰ ἐστὶ παρ' ἡμῖν ἕτερα, ὅσαγε ἡμῖν τοὺς τοῦ Θεοῦ οἰκτιρμοὺς ἀποκλείει, οὐδὲν οὕτως ἡμῖν τὸν ἀγαθὸν ἐξεπολέμωσε Κύριον· ἀμέλει καὶ ὅσα τῷ γένει ἡμῶν ἐπήνεκται χαλεπὰ, τοῦτο τῶν ἄλλων μάλιστα πάντων ἔχει τὸ αἴτιον, καὶ ταυτὰ πάσχομεν τοῖς Ἑβραίοις, καὶ χείρω, ὅτι ταυτὰ ἁμαρτάνομεν ἐκείνοις καὶ χείρονα· τί δήποτε; ὅτι αὐτό ἐστιν ἐκεῖνο τὸ σῶμα τοῦ δεσπότου Χριστοῦ, τὸ ὑπὲρ τοῦ κόσμου σφαγὲν, καὶ αὐτὸ ἐστὶν ἐκεῖνο τὸ αἷμα τὸ ὑπὲρ τῶν κατακρίτων ἡμῶν ἐκχυθὲν, ὃ πάλαι μὲν ἐπώλησεν ὁ Ἰσκαριώτης, ἠγόρασαν δὲ οἱ Ἑβραῖοι, ὃ καὶ σήμερον πωλοῦσι πολλοὶ τῶν οὕτω λεγομένων Πνευματικοὶ, ἀγοράζει δὲ πᾶς ὁ ἔχων ἀργύριον, καὶ βουλόμενος, οὐ τριάκοντα ἀργυρίοις ὡς τηνικαῦτα, ἀλλ' εὐτελοῦς καὶ ὀλίγου τιμήματος· καὶ τὸ δὴ χεῖρον, ὅτι πολλοὶ τῶν ἱερέων ἀσελγαίνουσι συνειδότες, ἐπεὶ καὶ αὐτοὶ τοῖς αὐτοῖς δουλεύουσι πάθεσι, καὶ ἀναίδην τῇ σεβασμίᾳ τραπέζῃ πάντες προσίασι καὶ ἱερουργοῦσιν. Εἰκὸς ἐνταῦθα θρηνῆσαι μέγα, καὶ ἀνοιμῶξαι πικρὸν, τοὺς καὶ μικρὰν αἴσθησιν ἔχοντας· τοῦτο ἐστὶ τὸ ἔκπαλαι προαδόμενον, παρά τε Ἱερέων καὶ Μοναχῶν, ἀπώλειαν τὸ γένος ἡμῶν ὑποστήσεσθαι.

Ἀλλ' ἀρκτέον ἤδη τὰ κατ' αὐτοὺς, καὶ ὡς ἐν τύπῳ ἀποδεικτέον, ὅτι αὐτοὶ τὸν Θεὸν καθ' ἡμῶν παροξύνουσιν. Ἔστι μὲν οὖν ἰδεῖν τὸ τήμερον παρ' αὐτοῖς, καὶ πᾶν ἄλλο κακίας εἶδος, μεθ' ὅσης οὐκ ἔστιν εἰπεῖν πλημμυροῦν τῆς περιουσίας· ὃ δὲ μάλιστα τούτων κατὰ κράτος ἀφίκετο ἐκεῖνο ἐστὶ, καὶ σκοπεῖτε· ὅτι ἁμαρτημάτων οὐδεμία συγχώρησις παρ' ἐκείνοις ἀχρύσως τελεῖται, ῥοπὴ δὲ πᾶσα, καὶ σπουδὴ τούτοις ἐστὶν ἀπέραντος πρὸς τὸ χρηματίζεσθαι· καὶ ἰωίκα τὶς αὐτοῖς παρῇ ἐξομολογησόμενος, ὡς μέγα προσπεσὸν ταῖς χερσὶν αὐτῶν προσίενται θήραμα· ταύτητοι καὶ ὃς ἂν τὸν φίλον αὐτοῖς προσοίσει χρυσὸν, τοῦτον δίχα

πάσης ἀναβολῆς ἄξιον κρίνουσι κοινωνίας· κἂν κατεγνωσμένος αὐτῷ ὁ βίος καὶ ῥυπαρὸς, ὁ χρυσὸς αὐτῷ πάντα γίνεται, ἐντρεπισμὸς, κάθαρσις, καὶ τελείωσις, ὃν εἰ μὴ παράσχοι οὐκ ἂν ἄρα συγχωρηθείη, εἰ καὶ ἄξιος ἐστὶ τὰ μάλιστα, καὶ πρὸς σώφρονα βίον ἐξησκημένος· τῇ γε μὴν τοῦ χρυσοῦ καταβολῇ, δοκοῦσιν αὐτίκα καὶ τὴν συγχώρησιν ἕπεσθαι, ὥσπερ εἰ ἀλόγως πως καὶ ἀκρίτως ὁ Κύριος, οὐχὶ πρὸς οὓς αὐτὸς ἔκρινε τῆς οἰκείας χάριτος καὶ μετουσίας ἱκανοὺς ἐφοίτα, ἀλλὰ τῇ γνώμῃ τῶν συγχωρούντων ὑπεῖκεν ἄν· ἢ οὐχὶ πρὸς τοὺς ἀξίους, πρὸς δὲ τοὺς χρυσίον παρέχοντας ἐξεχεῖτο πλουσίως· πόσων τὰ καθ' ἡμᾶς θρήνων ἄξια; ἀπὸ τῶν χειρῶν αὐτῶν τὸ αἷμα τῶν ἀπολλυμένων ψυχῶν ἀπαιτήσει Κύριος· ἡ γὰρ ἀπληςία τούτων αὕτη, πῶς οὐχὶ καὶ τοὺς ἀξίους (*) ἂν ἀπεργάσαιτο; δῆλοι δὲ εἰσὶν οὕτω διακείμενοι, οὐ διὰ τὴν τῶν ψυχῶν σωτηρίαν, οὐδὲ διὰ τὴν τῆς λογικῆς ποίμνης Χριςοῦ διοίκησιν, διὰ δὲ χρυσὸν, πρὸς τὸν τῆς Πνευματικῆς βαθμὸν προαχθῆναι ἐσπουδακότες, ὡς ἂν ἕρμαιον οὕτως αὐτοῖς πρὸς τὸν φιλοκερδῆ τρόπον γένηται. Πῶς οὖν οὐκ ἄντις τούτους ὑπονοήσειε, μᾶλλον ἥδεσθαι τὰ φαῦλα δρῶσιν, ἢ ἀνεπιλήπτως βιοῦσιν ἡμῖν; οὕτω μὲν γὰρ οὐκ ἄντινα χοῖεν εἰς τὸ πορίσασθαι πρόφασιν, ἐκεῖνο δ' αὐτοῖς ὀφθήσεται μέγα πρὸς κέρδος ἐφόδιον.

Εἴποι δ' ἄντις πρὸς αὐτοὺς παρελθὼν, ἐπ' ἀληθείᾳ κρινέσθη, πῶς οὐκ ἀτιμάζετε τὸ θεῖον, οὕτως ἐκτιμῶντες ὀλίγου, οὗ ὁ κόσμος ἅπας, καὶ ἔτι τοῦ κόσμου ὑπέρτερον, οὐδὲν ὅλως πρὸς σύγκρισιν; μία εἰσένεξις τῷ τοιῷδε δώρῳ προσήκουσα, ἡ τῆς ψυχῆς καθαρότης ἐςὶν, ἥτε πρὸ τοῦ, καὶ ὕςερον· χωρὶς δὲ ταύτης, εἰ τὸν κόσμον εἰσάγοιμεν ἅπαντα, οὐδὲν ὅλως ἀντάξιον τῆς χάριτος οἴσομεν· νῦν δὲ τοσοῦτον τοῦτο γέγονεν εὔωνον, ὅτι πολλάκις, καὶ σήμερον, περιερχομένου μου τὰς ῥύμας τῆς Πόλεως, προσαῖται μυρίοι, καὶ χῆραι, πρός με μεγαλοφώνως ταύτην ἀφῆκαν τὴν φωνήν· διὰ τὸν Χριςὸν αὐτὸν, καὶ διὰ τὴν ψυχήν σου, δός μοι δεκάτον, ἵνα δώσω καὶ κοινωνήσω·

ἐπεὶ

ἐπεὶ ἐ θέλειμε ὁ Πνευματικὸς κοινωνῆσαι, εἰμήτι τέτω παρέξομαι. Ἀλλὰ τῦ ναῦ χάριν, καὶ τῶν πτωχῶν ἕνεκα συνάγειν εὐλόγως φασί· καλάγε τῦτο σφόδρα πιςεύειν! αἱ πολυειδεῖς ἐντὸς ὗλαι, καὶ τὰ ἐκτὸς πολύφορα κτήματα, καὶ τῶν χρυσίνων τὸ πλῆθος ἐκ τῶν τῆς γῆς ἀδύτων ἀναδυόμενον, μετὰ θάνατον συγχωρῦσιν; ὗτοι εἰσὶ, περὶ ὧν ἔνθα μὲν ὁ ἱερὸς Ἰεζεκιὴλ προφητεύει λέγων „ οἱ ἀφηγέμενοι αὐτῶν λέοντες ὠρυόμενοι, ἁρπάζοντες ἁρπάγματα ἐξ ἀδικίας, ψυχὰς κατεσθίοντες ἐν δυναςείᾳ· ὅθεν δὲ ὁ θεῖος Ὡσηὲ ἀποφαίνεται λέγων „ ἁμαρτίας λαῦμε φάγονται, καὶ ἐν ταῖς ἀδικίαις αὐτῶν λήψονται τὰς ψυχὰς αὐτῶν, καὶ ἔςαι καθὼς πᾶς ὁ λαὸς, ὅτω ϗ ὁ ἱερεύς· ἐκ τέτων εἰσὶ, κατὰ Παῦλον, οἱ ἐνδύνοντες τὰς οἰκίας, καὶ αἰχμαλωτεύοντες γυναικάρια σεσωρευμένα ἐν ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις, πάντοτε μανθάνοντα, καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα· ὗτοι φῶς εἶναι καὶ ἅλας ἐτάγησαν, καὶ λύχνος πρὸς τέτοις, καὶ ὀφθαλμὸς, ἔτι τε κυβερνήτης, ςρατηγὸς ἅμα, καὶ ἰατρὸς τέτων ἕκαςος τῆς Ἐκκλησίας Χριςῦ· ὅταν δὲ τὸ φῶς σκότος γένηται, καὶ τὸ ἅλας μωρανθῇ, καὶ ὁ λύχνος σβεσθῇ, ὁ ὀφθαλμὸς ἐλεεινῶς πηρωθῇ, ὁ κυβερνήτης, οἴμοι! γένηται ὑποβρύχιος, ὁ ςρατηγὸς αἰχμάλωτος ἕλκηται, ϗ ὁ ἰατρὸς ἀνιάτως νοσῇ, ἐδὲν ἰχύεσιν ἔτι, εἰς ἐδὲν χρησιμεύεσιν, εἰμὴ βληθῆναι ἔξω καὶ καταπατεῖσθαι· ὁ Κύριος ἀποφαίνεται τῦτο, καὶ τὶς ἀντιλέξει; λοιπὸν ὀνόματα μόνον εἰσὶ, πράγματος ἔρημα καὶ διάκενος ψόφος. Ἐγὼ δὲ ὅταν τὸ τῦ Σωτῆρος ἐνθυμηθῶ, ὅτι τῶν ἄλλων ἁμαρτημάτων λόγοις ἀπάγων, τοῖς τὸ Ἱερὸν βεβηλώσασιν ὲ παρήνεσεν, ἐδ' ἤλεγξε μόνον, ἀλλὰ ϗ ἐπῆλθεν ὀργῇ, καὶ ἐπιπεσὼν, καὶ μαςίξας ἐξέβαλε πάντας τῦ Ἱερῦ, ἐκεῖνο φημὶ χρῆναι πιςεύειν, φοβεράν τινα δίκίω τοῖς ἱεροκαπήλοις ἐναποκεῖσθαι, καὶ οἵα τῶν πονηρῶν ἐδενί· ὲ γὰρ μόνον τὸ θεῖον παρ' αὐτῶν καπηλεύεται, ἀλλὰ καὶ ἐφόδιον αὐτὸ τῦτο πάλιν, τῦ ἐπιδιδόναι πᾶν εἶδος κακίας παρ' αὐτοῖς καθίςαται.

Ποτέ-

Ποτέρους οὖν τις θρηνήσει, τοὺς ἀπολλυμένους τῇ λήψει; ἢ τοὺς πάσχοντας αὐτὸ τοῦτο τῇ δόσει; ἑκατέροις γὰρ ἀπώλεια ἕπεται· πῶς δ' ἂν ἀνάσχοιτο τὸ θεῖον, καὶ αὐτὸ ἀργυρίου καπηλευθῆναι, οἷά τι τῶν εὐτελῶν σκευῶν, ἢ βρωμάτων ἀντιδοθέν; ἀκούσεις γὰρ ὁ πρίασθαι τοῦτο βουλόμενος „τὸ ἀργύριόν σου εἴη σὺν σοὶ εἰς ἀπώλειαν, " ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ, ἐνόμισας διὰ χρημάτων κτᾶσθαι· εἰ δὲ ὁ ὠνούμενος ὑπεύθυνος, ὁ πιπράσκων ἄρα τὴν χάριν, πῶς οὐ μεθ' ὑπερβολῆς τοῦτ' ἂν εἴη; πῶς δ' οὐ δικαιότερον ἐκείνου οὗτος τῆς χάριτος ἐκπεσεῖται; ὁ μὲν γὰρ λαμβάνων ἀπαιτούμενος δίδωσιν, ἑτέρως γὰρ λαμβάνειν τὸ αἰτούμενον οὐ συγχωρεῖ τοῦ παρεχομένου τὸ ἄπληστον· ἐν δὲ τῷ διδόντι σαφὴς ἔλεγχος τὸ χρῆμα καθίσταται, ἀντὶ τῶν ὑπ' ἐξουσίαν ἑαυτοῦ τὰ θεῖα δῶρα λογίζεσθαι, καὶ δίκην οὑτινοσοῦν τῶν οἰκείων κτημάτων ταῦτ' ἀπεμπωλεῖν· τὸ οὕτως οὖν εἰς ταῦτα διὰ βίου ὑβρίζειν, τίνα μανίας ὑπερβολὴν καταλείπει; Ἔοικε γὰρ ὁ τοὺς ἀναξίους συγχωρῶν ἐπὶ χρήμασιν (ὑπεξαιρουμένης τῆς εἰς τὸ κοινὸν ἀνατρεχούσης βλάβης), καὶ αὐτὸ τὸ καθ' ἑκάστην θυόμενόν τε καὶ ἐσθιόμενον σῶμα Χριστοῦ, τοῖς βεβήλοις τὸν βίον καὶ ἐναγέσι χρυσοῦ προϊέμενος, τῷ προδότῃ Χριστοῦ μαθητῇ, ὃς τοῖς θεομάχοις Ἰουδαίοις εἰς τὸ παθεῖν τοῦτον ἀπέδοτο· εἰ δὲ τούτῳ ἔοικεν ὁ πιπράσκων, ἄρα ὁ ἐν ἀκαθαρσίᾳ βίου, καὶ ψυχῇ ῥυπαρᾷ τὸ αἷμα Χριστοῦ ἐξωνούμενος, τίσιν ἂν εἰκασθείη; οὐχὶ τοῖς ἀγνώμοσιν Ἰουδαίοις, οἳ τὸν Υἱὸν τοῦ Θεοῦ ἐξωνήσαντο; πλὴν ὁ Ἀπόστολος Παῦλος, ὧδε τὸ μέγα τοῦ κρίματος διαῤῥήδην παρίστησι λέγων „ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, καὶ πίνῃ " τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ " πίνει, καὶ ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ " Κυρίου· τοῦτο δὲ τὸ ἔνοχος ὄνομα, ἐπεξηγούμενος ὁ τὴν γλῶτταν χρυσοῦς οὕτω τίθησι „τουτέστι τὴν αὐτὴν δώσει " δίκην, ἣν οἱ σταυρώσαντες αὐτὸν ἔδωκαν· ὅταν γὰρ ἀνα- " ξίως μετέχωμεν τῶν μυστηρίων, ὁμοίως ἀπολλύμεθα τοῖς " Χριστοκτόνοις. Καὶ πάλιν ὁ αὐτὸς Ἀπόστολος „ἀθετήσας " τὶς νόμον Μωσέως φησὶ, χωρὶς οἰκτιρμῶν, ἐπὶ δυσὶν, ἢ "

„ τρισὶ μάρτυσιν ἀποθνήσκει, πόσῳ δοκεῖτε χείρονος ἀξιω-
„ θήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ
„ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη,
„ καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας; οἴδαμεν γὰρ τὸν
„ εἰπόντα, ἐμὴ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω λέγει Κύριος·
„ καὶ πάλιν, Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ· φοβερὸν τὸ ἐμ-
„ πεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.

Τούτους οὖν ἔδει καλεῖν Πνευματικοὺς ἔτι, τοὺς τοῦτο καθ' ἑκάστην πιπράσκοντας; ἀλλ' οὐχὶ λύκους λυμεῶνας, καὶ ἅρπαγας, καὶ τῆς σωτηρίας ἡμῶν ἀντικρυς πολεμίους καὶ καθαιρέτας; ὦ νόμοι Χριστοῦ, καὶ θεσμοὶ, καὶ Πατέρων ὅρια, καὶ νομοθέται μετὰ Χριστὸν, καὶ διδάσκαλοι! ὦ πῶς μὲν ἡ Ἐκκλησία δι' ὑμῶν κατηρτίσθη ἀρίστως, πῶς δὲ νῦν ταύτην οἱ ταύτης δῆθεν προστάται λυμαίνονται τὸ ἐφ' ἑαυτοὺς ἑαυτοῖς, οἴμοι! διὰ χρυσὸν συναπολλῦντες οἰκτρότατα! καὶ ταῦτα τολμῶντες βούλονται μηδένα εἶναι τὸν τοῦ κακοῦ αἰσθανόμενον, ὡς ἂν ἔχωσι πείθειν τοὺς πάντας, ὡς τὸ δρᾶν οὕτως ἐφεῖται τούτοις πρὸς τοῦ Χριστοῦ, καὶ χρὴ μόνον ὡς ἁγίοις αὐτοῖς προσιέναι, καὶ προσκυνεῖν κλινομένους εἰς τ' οὖδαφος, καὶ ἐξ αὐτῶν τὸ ζῆν ἔχειν, καὶ τὸ εἶναι νομίζειν, καὶ σώζεσθαι; τοῦτο δὲ τέχνη τοῦ πονηροῦ, καὶ τυραννὶς ἁμαρτίας αἰώνιος· καὶ λέγω τὸ πῶς· ὅταν γὰρ ἡ κακία τοῦθ' ὅπερ ἐστὶ δείκνυται, ἔστιν ἐλπὶς διορθώσεως, καὶ μετανοίας ἰσχὺς· ὅτι καὶ συνειδὸς κατηγορεῖ, καὶ φίλος ὑπομιμνήσκει, καὶ διδάσκαλος ἴσως ἐλέγχει τοὺς ἁμαρτάνοντας· ἐπὰν δὲ χρόνῳ βεβαιωθεῖσα, καὶ ἔθει παγιωθεῖσα, δικαιοσύνη αὕτη καὶ οὐ κακία νομίζεται, οὐκ ἔστι λοιπὸν ἀνάνευσις οὐδὲ ἐπιστροφὴ, πάντων σπευδόντων ὡς ἀγαθὸν ταύτην κτήσασθαι, καὶ ζηλωτοὺς νομιζόντων τοὺς κεκτημένους αὐτήν. Τοῦτο τοίνυν καὶ τοῖς πρὸς οὓς νῦν ὁ λόγος, καὶ τῷ πονηρῷ σὺν αὐτοῖς μεμηχάνηται, καὶ πεῖσαι πάντας πειρῶνται, ὅτι ἔξεστιν αὐτοῖς πρὸς θεοῦ, οἷς ἂν ἐθέλωσι καπηλεύειν τὰ θεῖα, ὡς ἂν καὶ τοὺς τῆς Σιμωνίας ταύτης ἐλέγχους διαδιδράσκωσι, καὶ μὴ μόνον ὑπεύθυνον δοκῇ τὸ

ἁμαρ-

ἁμαρτάνειν οὕτως αὐτοὺς καὶ ἀπόβλητον, ἀλλὰ καὶ σπουδασὸν, καὶ σωτήριον νομιζόμενον εἶναι, τοῖς πᾶσιν ἀποβλέπῖους δεικνύῃ, κἂν τοῖς διαδόχοις αὐτῶν ἐπιτείνῃ τὰ τῆς κακίας, καὶ ἕως αἰῶνος καὶ αὐτοὶ ἀδιόρθωτοι μείνωσιν· αὕτη αὐτῶν ἡ δεινὴ πανουργία, καὶ οὗτος αὐτῶν ὁ σκοπὸς, ὅνπερ πάντῃ οὐκ ἀγνοοῦντες ἡμεῖς, παῤῥησίᾳ βοῶμεν ὑμῖν, καὶ δι᾽ ὑμῶν ἅπασιν· ἄνθρωποι οὐ τιμᾶται τὸ θεῖον, οὐδ᾽ ἕπεται τοῦτο ταῖς τῶν ἱερέων ἀλόγοις κρίσεσιν· ἄπαγε! καὶ τῷ πειρωμένῳ τοῦτο πωλεῖν, οὐαί· καὶ τῷ τοῦτο δοκιμάζοντι πρίαϑαι· καὶ τῷ νομίζοντι ὡς οἷόν τε τοῦτο γενέϑαι, οὐαί· ὥσπερ δὲ ὁ ἥλιος οὗτος, τοῦ οὐρανοῦ τὸ ὕψος, τοῦ κόσμου τὸ μέγεθος, καὶ πάντων κτισμάτων ἡ ὡραιότης, χρημάτων μὲν οὐκ ἀντιδίδοται ὅλως, μόνον δὲ χρεία ὑγιαινόντων ὀμμάτων εἰς τὴν τούτων ἀπόλαυσιν, οὕτω δὴ καὶ ταῦτα τὰ φρικώδη καὶ θεῖα μυστήρια, χρυσίου μὲν τιμᾶται οὐδεμιᾷ μηχανῇ, μόνῃ δὲ πίστει καὶ καθαρότητι ψυχῆς ἀντιδίδοται.

Ἀλλὰ τίς τὸν ἄξιον οἶδε, φησὶ, καὶ τὸν ἀνάξιον ὄντα, ἵνα τὸν μὲν τῶν θείων ἀπείργῃ, τὸν δὲ τούτων προσλάβηται κοινωνόν; Ἐγὼ δὲ πᾶν τοὐναντίον, τίς τοῦτον οὐκ οἶδε φημί; τίνα ὁ διὰ βίου πορνεύων λανθάνει; τίνα ὁ πλεονέκτης, καὶ ἅρπαξ, καὶ ἄδικος; ὁ δὲ τοκιστὴς καὶ ὁ τελώνης οὐ πᾶσι πρόδηλοι; τί δὲ ὁ τὰ ἱερὰ καπηλεύων, ἢ ὁ Σιμωνίαν ποιῶν, ἢ δυσσέβειαν, οὐκ ἐν τοῖς ἁπάντων σόμασι κεῖνται; οὐκ ἐν ἀγοραῖς καὶ πλατείαις καὶ συνεδρίοις βλασφημεῖται τὸ τοῦ Θεοῦ δι᾽ αὐτοὺς ὄνομα; τίνα δὲ λέληθεν ὅτι τῶν πρὸ τῶν τριάκοντα τούτων χρόνων, καὶ πρὸ πεντήκοντα, καὶ ἑξήκοντα τινὲς τῶν ἀπροσέκτων χριστιανῶν τελευτῶντες, ψυχικὸν εἰς ἀπώλειαν φέρον, καὶ λεγάτον ἐπάρατον τοῖς ἑαυτῶν ἐπαφῆκαν, τὰ οὕτως Ἀδελφάτα καλούμενα, καὶ οἱ τούτων διάδοχοι τῷ χρεὼν λειτουργοῦντες ἑτέροις ταῦτα κατέλιπον, καὶ μέχρι τρίτου καὶ τετάρτου προσώπου, καὶ τῶν ἑβδομήκοντα χρόνων ἐπέκεινα προῆλθεν ἡ παράνομος αὕτη διαδοχὴ, καὶ ὁ διορθούμενος ταύτην ἄπεσι; τριπλασιάζεται

δ' ἀεὶ τὸ κακὸν, μᾶλλον δ' ἀπειροπλασιάζεται, ὅτι καὶ τὰ τῶν ἁγίων Μονῶν ἀκρωτηριάζεται, καὶ τοῖς κακῶς διαθεμένοις καθ' ἑκάστην ἡ κόλασις αὔξεται, καὶ οἱ κληρονόμοι αὐτῶν ἱεροκάπηλοι ὄντες, εἰς ἀπώλειαν τρέχουσι· τί δήποτε; ὅτι οὐδεὶς αὐτῶν ἐξωμολογήσατο πώποτε, οὔτε τῶν θανόντων ἐκείνων, οὔτε τούτων τῶν ζώντων, κἂν λόγῳ ψιλῷ οὑτωπως λέγων, συγχώρησόν μοι Κύριε, ἢ Πάτερ ἅγιε, τῷ ἱεροκαπήλῳ· ἀλλ' εἰσὶ Μοναχοὶ, καὶ τρία, καὶ πέντε, καὶ ἑπτὰ ἔχοντες Ἀδελφάτα ἐκ διαφόρων αὐτοῖς ἀφεθέντα προσώπων, καὶ μένουσι τούτων οἱ πλείους, ἐκτὸς τῶν ἀδικουμένων ἐκείνων Μονῶν, καὶ λαμβάνουσιν ἀναίδην τὰ Ἀδελφάτα ἀκέραια, καθάπερ οἱ ἐντός· οὐ διακρίνοντες ὅλως, ὅτι τὸ Ἀδελφάτον αὐτὸ, πληρουμένων τῶν δώδεκα ἐνιαυτῶν, δαπανᾷ τὸ κεφάλαιον· τὸ δὲ πλέον, ἔτι λάβοι ἐκεῖθεν, ἐὰν ἄρα μὴ μένῃ ἐντὸς ὁ διὰ τοῦτο δῆθεν καλούμενος Ἀδελφὸς, δίκαιος ὢν καλεῖσθαι μᾶλλον λῃστὴς, τόκος ἐστὶ, καὶ τόκου χεῖρον, ἱεροκαπηλία λεγόμενον· τί δέ; οὐ πάντες ἴσασι τοὺς τὰ ἱερὰ σκεύη τῶν πτωχευόντων Μοναστηρίων, παρ' ὅλον τὸν ἑαυτῶν βίον ἐπὶ τόκῳ κρατοῦντας ἐνέχυρα; καὶ ἄρχοντας μὲν ἀποροῦντας βιάζεσθαι, τὸν δὲ Χριστὸν, καὶ τὰς χήρας, καὶ τοὺς ἁγίους, ὦ γῆ, καὶ ἥλιε, καὶ θεῖοι νόμοι! βιαζομένους πικρῶς; τίνας δὲ λέληθε τοῦτο τῶν πολιτῶν, ὅτι κατ' ἔτος ἅπαντας τοὺς τοιούτους ἀκωλύτως οἱ Πνευματικοὶ καὶ προφανῶς κοινωνοῦσιν.

Καὶ ὁ κανὼν δὲ, ὁ διὰ πάντων πᾶσι διδόμενος καὶ παισὶ πρόδηλος, ἐπεὶ ὀφθαλμοφανῶς ἐνεργεῖται τοῖς ἅπασιν, οὐ κρυπτῶς· καὶ ἰατρὸς μὲν οὐδεὶς οὕτως ἄπειρος τῆς ἰατρικῆς ἐπιστήμης, ὅστις ἐν πᾶσι μόνον προσφέρει φάρμακον ἐν τοῖς σωματικοῖς πάθεσι, νομίζων τοῦτο καὶ μόνον τὰ πάντα δύνασθαι διορθοῦν, ἀλλ' ἕτερα μὲν τῷ πυρέττοντι, ἄλλα δὲ τῷ ὀφθαλμιῶντι ἐπάγει, καὶ οὐ τὰ αὐτὰ τῷ κεφαλαλγοῦντι, καὶ τῷ ἡπατικῷ, οὐδὲ τῷ ποδαλγοῦντι, καὶ τῷ ὑδεριῶντι ταυτὰ προσάγει ποτὲ, διάφορα δὲ καὶ ποικίλα, καὶ ἑκάστῳ τῶν μερῶν καὶ τῶν

παθῶν

παθῶν ἁρμόδια πρὸς διόρθωσιν· οἱ δὲ τῶν ψυχῶν ἰατροὶ νομιζόμενοι καὶ σωτῆρες, ἓν τοῦτο εἴς τε τὰ ψυχικὰ καὶ σωματικὰ πάθη πάντα, τὴν τῶν χρημάτων λῆψιν ἐπάγουσι φάρμακον· τοῦτο ἀντὶ νηστείας καὶ ἐγκρατείας μακρᾶς, τοῦτο ἀντ᾽ ἐλεημοσύνης καὶ ἀγρυπνίας καὶ προσευχῆς, τοῦτο ἀντ᾽ ἀποδόσεως τῶν πολυτρόπων ἀδικιῶν, καὶ τῆς πρὸς πᾶν ἁμάρτημα τοῦ πλησίον ἀφέσεως· τί δεῖ πολλὰ λέγειν; γαστριμαργίας, πορνείας, ἀσελγείας, φιλαργυρίας, ὀργῆς, φθόνου, λύπης, ἀκηδίας, κενοδοξίας, καὶ παντὸς πάθους, χρόνοις πολλοῖς τῇ ψυχῇ ἐμφωλεύοντος, ἐν μιᾷ ῥοπῇ χρόνου τοῦτο λυτήριον· καὶ τί λέγω παντὸς πάθους λυτήριον; μόνον εἰ σὺ καταθοῖο τὸν χρυσὸν, ἢ τ᾽ ἀργύριον εἰς χεῖρας τοῦ πρὸς ὃν ἐξομολογῇ, ὁ δὲ περιδράξηται τοῦτον τοῖς δακτύλοις συσφίγξας, αὐτίκα γέγονας ἄξιος ἄνθρωπος τοῦ Θεοῦ· τοῦ λοιποῦ μηδέν σοι μελέτω· ἄπιθι ἀδεῶς, κοινώνησον εὐθὺς, κἂν ἐξ ἀδικίας, ἢ ἐκ πορνείας, ἢ ἁρπαγῆς, ἢ κλοπῆς, ἢ δόλου, ἢ τελωνείας, ἢ καὶ ἱεροσυλίας ᾖ τὸ διδόμενον, οὐδὲν διαφέρει· μόνον ἔσω τοσοῦτον, ὅσον ἱκανῶσαι τὴν τοῦ λαμβάνοντος πρόθεσιν· διὰ ταῦτα ἔφθασεν ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τὸ γένος ἡμῶν· διὰ ταῦτα διέσπαρται τὰ μυρία πανταχοῦ κακά· διὰ ταῦτα οὐ θαῦμα πῶς πάσχομεν, ἀλλὰ τοῦτο θαῦμα καὶ πέρα θαυμάτων, πῶς οὐ φέρονται μυρίοι οὐρανόθεν σκηπτοὶ καθ᾽ ἡμῶν· πῶς οὐ διαρρήγνυται τὸ πάχος τοῦτο τῆς γῆς, καὶ δέχεται ζῶντας ἡμᾶς. Εἶτα τολμήσοι τις ἡμᾶς ἐγκαλεῖν, ὅτι σφοδρῶς αὐτῶν καθαπτόμεθα; θεῖοι περιφρονοῦνται νόμοι, Πατέρων ὅρια ὑπερβαίνονται, πωλεῖται τὰ θεῖα, βασιλεῦσαι πάλιν ἡ ἁμαρτία βιάζεται, καὶ πρέπει ὅλως ἐνδοῦναι, ἢ χρὴ ἐν τούτοις σιγᾷν; καὶ ποῖος ᾅδης τοῦτο ἐρεύξεται;

Ἵνα δὲ μή τις φθόνῳ κινούμενον λέγειν με ταῦθ᾽ ὑπολάβοι, ἐκεῖνο φημὶ, ὅτι οὔτε ποιμὴν ἐμπόρῳ φθονεῖ τῆς ἐμπορίας χάριν, οὔτε μὴν ἔμπορος ποιμένι ἕνεκα τῆς ποιμαντικῆς, οὔτε γεωργὸς στρατιώτῃ στρατιωτικῶν χάριν, οὐδὲ ναυτίλος ἰατρῷ τῆς ἰατρικῆς· ἀλλ᾽ ἀοιδὸς ἀοιδῷ,

καὶ ψάλτης ψάλτῃ, καὶ τέκτονι τέκτων φθονεῖ· καὶ τὸν ὁμότεχνον ἑαυτοῦ τῶν ὁμοτέχνων ἕκαστος· τίνα οὖν παρευδοκίμησιν πρός τινος τούτων πάσχων αὐτὸς, φθόνῳ κινούμενος ταῦτα φθέγγομαι; ἤδη δὲ καὶ πολλοὺς μὲν τῶν ἀκουόντων ὑμῶν, μᾶλλον δὲ πάντας τῶν ἐμῶν τούτων λόγων παρέχομαι μάρτυρας· καὶ αὐτὰ δὲ τὰ πράγματα τρανώτερον σάλπιγγος συμμαρτυρεῖ μου τῷ λόγῳ. Ἔστω μέντοι καὶ συνωμολογημένον ἡμῖν, μάρτυρι τῷ Θεῷ χρωμένοις, ὃς εὐδαίμων μὲν ἐστὶ καὶ ἀληθινὸς, δι' οὐδὲν δὲ τῶν ἐξωτερικῶν ἀγαθῶν, ἀλλὰ δι' αὐτοῦ αὐτὸς, καὶ τὸ φύσει εἶναι αὐτοαλήθεια· ὅτι τὸ πρᾶγμα μᾶλλον, οὐχὶ τοὺς πράττοντας τοῦτο τοσοῦτον κακίζομεν· καὶ κατὰ τοῦ ὀλεθρίου πάθους, οὐ κατὰ τῶν τοῦτο ἐργαζομένων ὁρμῇ πάσῃ φερόμεθα· σημεῖον δὲ, ὅτι ἀπροσώπως κατηγοροῦμεν αὐτοῦ, καίτοι δυνάμενοι λέγειν καὶ πρόσωπα τοῖς ἅπασι γνώριμα· ἀπροσώπως δὲ κατηγορεῖν πράγματος ἐφαμάρτου, τοῖς ἅπασιν ἔξεστιν. Εἰ δέ τινος ἅπτονται μέσης καρδίας οἱ ἀπροσδιορίστως λεγόμενοι πρός τινων λόγοι, ἐκεῖνος μετέχει κατά τινα τρόπον τοῦ κατηγορουμένου πάθους αὐτοῦ· εἰ γὰρ μὴ ἐνόσει, εἰ μὴ προσπαθῶς εἶχεν, οὐκ ἂν πάντως ἐδάκνετο.

Διατοι τοῦτο μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ πᾶσιν ἰδοὺ παραγγέλλω καὶ προδιαμαρτύρομαι, μηκέτι τούτους ἁγίους ἡγεῖσθε· εἰ γὰρ οἱ χριστοκάπηλοι ἅγιοι, τίνες ἂν εἶεν οἱ ἁμαρτωλοί; μηδὲ κοινωνεῖτε ἁμαρτίαις ἑτέρων· ἀρκεῖ γὰρ ἑκάστῳ τὰ οἰκεῖα κακά· ἐμοὶ τοσοῦτον ἀπέχει τοῦ νομίζειν τούτους μετὰ τῶν ἁγίων τετάχθαι, ὅσον ἁγιότητος ἄπεστιν ἁμαρτία ἡ βαρυτέρα πασῶν· λογίζομαι γὰρ, εἴπερ εἰσὶν ἀνεκτότεραι καὶ βαρύτεραι κολάσεις ἐκεῖ, (καθάπερ δὴ καὶ εἰσὶ,) μυριοπλάσιοι καὶ βαρύταται, εἰ μὴ μεταμεληθεῖεν πρὸ τοῦ θανεῖν, ἐκδέξονται τούτους, τῶν ἄλλων πάντων ἁμαρτωλῶν· τί δήποτε; ὅτι τῶν μὲν κοσμικῶν ἕκαστος τὸ ἑαυτοῦ φορτίον βαστάζει μόνον, πάντων δὲ τούτων τὰ βάρη τῶν πνευματικῶν ἕκαστος· πλὴν οὐ πάντες ἐπίσης, ἀλλὰ καθ' ὅσον ἡ ἐγγύη καὶ

ἀναδο-

ἀναδοχὴ τῶν ἁμαρτημάτων πέπρακται, ἢ τοῖν προσώποιν ἀμφοῖν αἱ ἀναδοχαὶ τούτων συνεφωνήθησαν, καὶ αἱ ἐπιφοραὶ τῶν κολάσεων· ἤγουν ὡς ἀνεδέξατο τὰς ἀποκειμένας τῶν πταισάντων ἑκάστῳ κολάσεις, ὁ τὰς ἐξαγορεύσεις ἀκούσας τοῦ πταίσαντος, ἔσται χρεία καὶ εἰς βαρυτέραν λοιπὸν καὶ ἀφορητοτέραν κόλασιν αὐτοὺς ἐμπεσεῖν.

Ἐγὼ οὐ διεστειλάμην ὑμῖν καταγγεῖλαι, πόθεν ἡμῖν ἐπέρχεται ἡ ὀργὴ τοῦ Θεοῦ· ἐφ᾽ ὑμῖν δὲ κεῖται φυγεῖν αὐτὴν, ἢ καὶ μή· ἀθῶος αὐτὸς ἀπὸ πάντων ὑμῶν· ὑμεῖς ὄψεσθε· ἐρευνήσατε, ἐρευνήσατε τὰς θείας Γραφὰς, οὔτε τῇ παλαιᾷ, καὶ τῇ καινῇ διαθήκῃ, καὶ εὑρήσετε, οὐ μόνον ἐφ᾽ οἷς τινὲς ἥμαρτον, ἀλλὰ καὶ ἐν οἷς ἁμαρτάνοντας ἑτέρους οὐ διωρθοῦντο, κολαζομένους μυρίους, ἐπίσης τοῖς ἁμαρτάνουσι· διάτοι τοῦτο Ἄχαρ ἱεροσύλησε, καὶ πᾶς ὁ λαὸς ἐμαστίζετο· ὁ Ζαμβρῆ ἐπόρνευσε, καὶ τὸ στρατόπεδον ἅπαν ἐθραύετο· ὁ Ἀχαὰβ εἰδωλολάτρει, καὶ ὁ Ἰσραὴλ πᾶς ἐλίμωττεν· ὁ Σαοὺλ τοὺς τῶν ἀλλοφύλων βασιλέας χειρούμενος ᾤκτειρε, καὶ πᾶσα ἡ στρατιὰ παρεδίδοτο· εἷς τὴν ἑαυτοῦ μητρυιὰν ἔγημε, καὶ πάντες ἔπασχον οἱ Κορίνθιοι· ταύτητοι τὸν Θεὸν ἐπεκδικοῦντες οἱ ἅγιοι, καὶ ἵνα μὴ συγκατακριθῶσι τοῖς ἁμαρτήσασιν, ὁ μὲν θεόπτης Μωϋσῆς, ἐν ἡμέρᾳ μιᾷ μυρίους τῷ ξίφει πεσεῖν παρεσκεύασεν· ὁ δὲ τοῦ Ναυῆ Ἰησοῦς τὸν Ἄχαρ λιθόλευστον γενέσθαι προσέταξεν· ὁ Φινεὲς τῷ Ζαμβρῇ τὴν Μαδιανίτιν συνεξεκέντησεν· ὁ ζηλωτὴς Ἡλίας πεντήκοντα καὶ τετρακοσίους ἱερεῖς τῆς αἰσχύνης, καὶ τετρακοσίους τῶν ἄλσεων ἐν μιᾷ ἡμέρᾳ κατέσφαξε· καὶ ὁ Σαμουὴλ τὸν Ἄγαγ βασιλέα τῶν ἀλλοφύλων διασωθέντα ὑπὸ Σαοὺλ κατεφόνευσε· τὸν μέντοι πεπορνευκότα ὁ Παῦλος τῷ Σατανᾷ παραδοὺς, οὐδὲ τῶν Κορινθίων ἐφείσατο, ἀλλ᾽ ἀριθμοῦ κρείττους τῷ θανάτῳ παρέπεμψεν, ὅτι ὅλως συνέχοντο τοῦ τοιαῦτα παρανομήσαντος. Καὶ ἐπὶ πάντων δὲ τῶν ἄλλων οὕτως ἐστίν· ἢ γὰρ οὐχὶ καὶ ἐπὶ τῶν κοσμικῶν πασῶν κρίσεων τοῦτο γίνεσθαι σύνηθες; ἂν γάρ τις συναλῶ τῷ λῃστῇ, ἢ τῷ φονεῖ, ἢ τῷ κλέπτῃ,

κἂν ᾖ μηδὲν ἐπιεικὼς, τὴν αὐτὴν ἐκείνῳ ὑφίσαται κόλασιν· εἰδ' οὖν γε, πάντως μετριωτέραν.

Ἀπόστητε οὖν πρὸς καιρὸν ἀπ' αὐτῶν, ἵνα καὶ τῷ ὑμετέρῳ χωρισμῷ λυπηθέντες ἐκεῖνοι, ἐν συναισθήσει ἔλθωσιν, οἳ κακοῦ ὑμᾶς ἤγαγον, καὶ ὑμεῖς τῆς ἁμαρτίας ἐκείνων ἀπόσχησθε· ὡς ἐὰν ὁρῶσι τινὰς ἐξ ὑμῶν ὑπερμαχοῦντας αὐτῶν, τραχηλιάσουσιν ἔτι, καὶ ἀναισχυντήσουσι κάκιστα· οὐδὲν γὰρ τολμηρὸν οὕτω καὶ αὔθαδες, ὡς ἁμαρτία βοηθουμένη. Εἰπὲ γάρ μοι, εἴ τινά σοι τῶν φίλων ἠπίστασο κατ' αὐτοῦ τοῦ Βασιλέως τῶν Ῥωμαίων προδοσίαν σκευάζοντος, ἆρα ἂν ἴσχυες συμπράκτωρ, ἢ συνήγορος αὐτῷ φωραθῆναι; οὐκ ἔγωγε οἶμαι· εἰ μήπου καὶ αὐτὸς ὑπελθεῖν, σὺν ἐκείνῳ, τὸν διὰ μαχαίρας θάνατον ἐσπούδαζες· τὸν Βασιλέα τῶν Ἀγγέλων οὗτοι προδιδόασι καθ' ἑκάστην ἡμέραν, τὸν ἡμέτερον Δεσπότην καὶ Σωτῆρα καὶ Κύριον· μὴ τοίνυν αὐτοῖς συνεργὸς ποσῶς γίνου, μηδὲ συνήγορος, ἵνα μὴ ἀντὶ θεραπείας ἁμαρτίας ἐφ' ἁμαρτίαις προσθήσῃς μᾶλλον, καὶ τὴν αὐτοῖς δίκην ὑποστῇς, ἢ καὶ μείζονα. Εἰ δέ τις ἐξομολογεῖσθαι θέλοι, εἰσὶν οἳ μήπω ταῦτα τολμῶντες τινὲς, πρὸς οὓς ἐκείνους ἀπιὼν, ἀπονιπτέσθω τὰ πταίσματα.

Ἀλλ' ἔξεστιν αὐτοῖς φασὶ, πᾶν ποιεῖν ὅπερ βούλονται· ἐπεὶ ὃ δήσουσιν ἐπὶ τῆς γῆς δεδεμένον ἐστὶν ἐν τοῖς οὐρανοῖς, καὶ ὅπερ λύσουσι τέως ἐνταῦθα λελυμένον ἐστὶν ἐκεῖ· οὐδαμῶς· τῷ μακαρίῳ Κλήμεντι, ἱερομάρτυρι ὄντι καὶ Ἀποστόλῳ, καὶ ὑπὸ Πέτρου χειροτονηθέντι τοῦ κορυφαίου τῶν Ἀποστόλων Πάπᾳ τῆς παλαιᾶς Ῥώμης, οὐκ ἐφεῖται τοῦτο ποιεῖν, καὶ τούτοις ἐφεῖται; πόθεν; λύσαι μὲν τὰ λύσεως ἄξια, καὶ δῆσαι ὅσα προσήκει δεθῆναι μόνον ἔξεστι τούτοις, καὶ μόγις· λύσαι δὲ τὰ δήσεως ἄξια, ἢ τὰ λύσεως ἄξια δῆσαι, οὐδοπωστοῦν. Καὶ ποῖα εἰσὶ τὰ δεόμενα δήσεως; ποῖα δὲ πάλιν τὰ χρήζοντα λύσιν; ὅσα κατὰ τοὺς θείους Κανόνας τῶν ἱερῶν Ἀποστόλων, τῶν τε ἁγίων Συνόδων, καὶ τῶν οἰκουμενικῶν Διδασκάλων κανονισθῶσιν, ἐκεῖνα μόνον, ὡς δεῖ δέδεται, καὶ ὡς χρὴ λέλυται· ὅσα

δὲ

δὲ μὴ τοῦτον τὸν τρόπον, ταῦτα πάντως, οὔτε ὡς ἔδει, οὔτε ὡς ἐχρῆν· ὅθεν καὶ δέδεται πάλιν τὰ δοκοῦντα λελῦσθαι, καὶ λέλυται κατ᾽ οὐδὲ ἧττον αὖθις τὰ δόξαντα δῆθεν δεδέσθαι, καθάπερ καὶ πρίν. Οὐκοῦν οὐκ ἔχουσιν ἐξουσίαν πόσως διακρίνειν κατὰ τοὺς καιροὺς, καὶ κατὰ τὰ πρόσωπα, καὶ κατὰ τὰς πράξεις; Ναὶ ἐχήκασιν ἐξουσίαν, καὶ πάνυ· ἀλλ᾽ οὗτοι πάσῃ διακρίσει χαίρειν εἰπόντες, πρὸς τὸ ἀπήχημα τοῦ χρυσοῦ πᾶσαν ποιοῦνται διάκρισιν. Θέλεις δὲ γνῶναι πρὸς ποίαν διάκρισιν κέκλιωται ἄδειαν; ἄκουε τῶν ἐπιταττόντων αὐτοῖς· ἐν τοῖς πλαίσμασιν οὐ τὸ εἶδος ζητεῖται μόνον τοῦ ἁμαρτήματος, ἀλλὰ καὶ ἡ γνώμη τῶν ἁμαρτανόντων, καὶ τὸ ἀξίωμα, καὶ ὁ καιρὸς, καὶ ὁ τρόπος, καὶ ἡ ῥίζα· καὶ μετὰ τὴν ἁμαρτίαν, εἰ ἤσθη, εἰ ἐλυπήθη, εἰ ἀναλγήτως διετέθη, εἰ ἐνέμεινεν, εἰ μετέγνω, εἰ ἐκ περιστάσεως, εἰ κατὰ ἀπάτην, εἰ κατὰ μελέτην, ἢ καθ᾽ ἕξιν κακὴν καὶ συνήθειαν· καὶ πολλὰ εἰσὶν ἕτερα, δι᾽ ὧν ἡ βάσανος αὕτη χωρεῖ· ὥστε ἐπὶ ἐξετάσει ἀκριβεστέρᾳ, καὶ λεπτοτέρᾳ βασάνῳ τὸ διακρίνειν τούτοις ἐφεῖται, οὐκ ἐπὶ ἐνδόσει, καὶ συγκαταβάσει ἐπὶ τὰ χείρονα, ἣ καὶ πολλοὶ συνεπιρρέπουσιν.

Ἀλλὰ τίς αὐτῶν ἡ ψυχρὰ καὶ ἀσυλλόγιστος, δοκοῦσα εὔλογος πρόφασις; ἐὰν οὕτω ποιῶμεν, ὡς φὴς, μέλλει πᾶς ὁ κόσμος ἀπολέσθαι λοιπόν· εἰ γὰρ τὸν πόρνον ἔτη τόσα τῆς κοινωνίας κωλύσωμεν, καὶ τὸν μοιχὸν, καὶ τὸν ἀνδροφόνον, κατὰ τοὺς θείους Κανόνας, μέλλουσιν ἅπαντες εἰς ἀπόγνωσιν ἐμπεσεῖν. Ὢ τῆς ἀναισθήτου ταύτης καὶ ἀναισχύντου ἀπολογίας! οὐχ ὅταν κωλύσῃ τις αὐτοὺς, ὡς τοῖς ἁγίοις δοκεῖ, ἀπόλλυνται οἱ χριστιανοὶ, ἀλλ᾽ ὅταν κατὰ τὴν ἐσφαλμένην ἡμῶν διάκρισιν μεταδῶμεν αὐτοῖς ἀναξίοις οὖσι τῶν φρικτῶν μυστηρίων· τίς τοῦτο φησίν; ὁ Χρυσόστομος οὕτω γράφων „πολλοὶ τῆς θυσίας ταύτης “
ἅπαξ μεταλαμβάνουσι τοῦ ἐνιαυτοῦ, ἕτεροι δὶς, ἄλλοι “
πολλάκις· πρὸς οὖν ἅπαντας ἡμῖν ὁ λόγος ἐστίν· οὐ γὰρ “
πρὸς τοὺς ἐνταῦθα μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τῇ ἐρή- “
μῳ καθεζομένους· ἐκεῖνοι γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ μετέχου- “

 „σι,

» σι, πολλάκις δὲ καὶ διὰ δύο ἐτῶν· τί οὖν; τίνας ἀποδε-
» ξώμεθα; τοὺς πολλάκις; τοὺς ὀλιγάκις; ἢ τοὺς ἅπαξ;
» οὔτε τοὺς ἅπαξ, οὔτε τοὺς ὀλιγάκις, οὔτε τοὺς πολλάκις·
» ἀλλὰ τοὺς μετὰ καθαροῦ συνειδότος, τοὺς μετὰ καθαρᾶς
» καρδίας, τοὺς μετὰ βίου ἀλήπτου· οἱ τοιοῦτοι ἀεὶ προσιέ-
» τωσαν· οἱ δὲ μὴ τοιοῦτοι, μηδὲ ἅπαξ· τί δήποτε; ὅτι
» κρίμα ἑαυτοῖς λαμβάνουσι, καὶ κόλασιν, καὶ τιμωρίαν· εἰ
» δὲ συνειδότες τινὶ πονηρῷ συγχωρήσητε ταύτης μετασχεῖν
» τῆς τραπέζης, τὸ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν ὑμῶν ζητη-
» θήσεται· κἂν στρατηγὸς προσίῃ λοιπὸν, κἂν ὕπαρχος,
» κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος, ἀναξίως δὲ προ-
» σίῃ, κώλυσον· μείζονα ἐκείνου τὴν ἐξουσίαν ἔχεις. Καὶ
» πάλιν, οἱ πονηρίαις ἐντεθραμμένοι, καὶ τοῖς μυστηρίοις
» ἰταμώτερον προσιόντες, οὐδέν τι πλέον ἀπώναντο, μανι-
» κώτερον τοῦ ἐχθροῦ κατ᾽ αὐτῶν λυττῶντος καὶ πνέοντος·
» καὶ τὰ μὴ καθαρὰ γὰρ τῶν σωμάτων, τροφῇ κεχρη-
» μένα χρηστῇ, σφοδρότερον ὁ πυρετὸς δαπανᾷ, καὶ τὰς
» ἀμβλυωπούσας τῶν ὄψεων ὁ πᾶσιν ἡδὺς ἰδεῖν ἥλιος ἐπι-
» λάμπων, καὶ τῆς μετρίας αὐγῆς ἀφαιρεῖται· ἀλλὰ καὶ
» ὁ Ἰούδας, διὰ τὸ τολμηρῶς μετασχεῖν παρ᾽ αὐτοῦ τοῦ Δε-
» σπότου, μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς,
» τὸ ἱερὸν φησὶν Εὐαγγέλιον.

Καὶ πότε τὶς γενήσεται φησὶ, κοινωνίας ἄξιος; τῆς ἀμβλυωπίας! πότε δὲ οὐκ ἔσται τοῦτο, εἰ θέλει, τὸ ἄξιος; ἀφ᾽ ἧς γὰρ ἡμέρας καὶ ὥρας μετανοήσει γνησίως, εὐθὺς ἐστὶ ταύτης ἄξιος· ἀλλὰ δοκιμῆς χρεία, καὶ χρόνου πολλοῦ, πρὸς τὸ τοῦ ἁμαρτήματος μέγεθος, καὶ μετανοίας, καὶ συντριβῆς, καὶ ἀποχῆς μακρᾶς τοῦ κακοῦ, καὶ δακρύων πικρῶν· διὸ καὶ τὸν τήμερον γνησίως μετανοοῦντα, εἰ μέλλει τῶν τῇδε ἀποδημεῖν, πληροφορούμενοι ὡς οὐκ ἔτι τοῖς αὐτοῖς περιπέσει κακοῖς, αὐτίκα κοινωνίας αὐτῷ μεταδίδομεν· κἂν μετὰ τὴν μετάληψιν ἀνασφήλῃ τῆς νόσου, πάντα τὸν χρόνον ἐκεῖνον, ὃν πρὸ μικροῦ κεκανόνισται, οὕτω πάλιν ὀφείλει φυλάξαι, ὡς ἂν εἰ μηδόλως μετελάμβανε σήμερον. Τούτων οὖν οὕτω γίνεσθαι πρὸς τῆς Ἐκκλη-

Ἐκκλησίας ἐξ ἀρχῆς εἰθισμένων, μάτην τινὲς προφασίζονται, διὰ τοῦτο λέγοντες συγκαταβαίνειν τοῖς ἅπασιν, ἵνα μὴ τούτους εἰς ἀπόγνωσιν ῥίψωμεν· νῦν δὲ ἄνω ποταμῶν, ὅ φασὶ, χωροῦσι πηγαί· ὅτι προκειμένης ἀνάγκης οὐδεμιᾶς, τὸν πρὸ τῆς ἑβδομάδος ταύτης πορνεύσαντα, καὶ τὸν ἐπιορκίας ἁλόντα πρὸ χρόνου μικροῦ, καὶ τὸν πᾶσαν ἄλλην κακίαν πρὸ μηνὸς ἐργασάμενον, καὶ ἔτι τοῖς πάθεσι τῆς ἀτιμίας ἐγκαλινδούμενον, εἰ παρέξηται μόνον ἀργύριον δοκοῦν ἡμῖν ἱκανὸν, αὐθημερὸν κοινωνίας αὐτῷ μεταδίδομεν· καὶ τὸ δὴ χείριστον, εἰς περιφρονήσεως καὶ ἀτοπίας λόγον, ὅτι καὶ αὐτὸ τὸ παρ' αὐτοῦ προσαγόμενον ἐξ ἀδικίας, ἢ ἁρπαγῆς, ἢ αἰσχρουργίας, ἢ κλοπῆς, ἢ καὶ ἱεροσυλίας, τῷ προσάγοντι προσεγένετο· καὶ τὸ, μίσθωμα πόρνης ἁγνὸν οὐ μερίζεται· καὶ τὸ, ὡς ὁ θύων κύνα, οὕτως ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων· καὶ τὸ, θυσία ἐξ ἁρπαγῆς οὐ γίνεται, οὐδὲ ἀπὸ κατάρας εὐλογία, οὐδ' ἀπὸ δακρύων εὐεργεσία, οὐδὲ ἀπὸ κλοπῆς ἐλεημοσύνη· οὐδὲ ἁρπάγων καὶ μοιχῶν ὁ Θεὸς κοινωνός· μάτην πάντα εἰρῆσθαι δοκεῖ· ἐπελαθόμεθα δὲ καὶ τῶν Ψαλμικῶν ἐκείνων ῥητῶν, „τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεὸς, λεγόντων, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω· εἰ ἐθεώρεις κλέπτην συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις· ταῦτα ἐποίησας καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου.

Καὶ τοῦτο δ' ὃ μέλλω λέγειν ἀτόπημα, οὐ διαλείπει γινόμενον εἰς ταύτην τὴν Πόλιν πρὸ χρόνων πολλῶν· εἰσὶν ἄνδρες τε καὶ γυναῖκες ἐνταῦθα εἰς τὸ αὐτὸ πάθος, καὶ εἰς διάφορα πίπτοντες κατ' ἐνιαυτὸν, δι' ὅλου λέγω τοῦ χρόνου χραινόμενοι καὶ ἰδίως, καὶ ἅμα· κατὰ δὲ τὰς ἡμέρας ταύτας τῆς μεγάλης τῶν Ἑβδομάδων, ψιλῷ λόγῳ, καὶ προσχήματι μόνον μετανοήσαντες δῆθεν, μόνον

ἵνα εὐχέλαιον ἕκαστος, ἢ ἑκάστη ποιήσῃ, αὐτίκα μεταλαμβάνουσιν· εἶτα μετὰ τὸ Πάσχα ἐξ ὑπαρχῆς τῇ μακρᾷ ἕξει τυραννούμενοι, εἰς ἐκεῖνο τὸ συνήθες πάθος οἱ αὐτοὶ ὀλισθαίνουσιν· ἔστι γὰρ φιλεπίστροφον· ἀπατᾷ δὲ αὐτοὺς, ὥς φασιν, ὅθεν μὲν ἡ τοῦ Θεοῦ ἀνοχὴ καὶ μακροθυμία, μὴ παρὰ πόδας μετιοῦσα τοὺς τολμητίας, ὅθεν δὲ καὶ τὸ τῆς ἐξαλείψεως τῶν ἁμαρτιῶν εὔωνόν τε καὶ πρόχειρον, θαῤῥοῦντας ἐκ τῶν φθασάντων, ὡς τρία πάλιν νομίσματα τούτοις ἀρκέσει πρὸς κάθαρσιν· καὶ οὕτω πρὸς πάντων σχεδὸν τῶν ἁμαρτημάτων, παρὰ πᾶσαν αὐτῶν τὴν ζωὴν τολμηρότατα γίνεται, συνειδότων αὐτοῖς τῶν Πνευματικῶν· μᾶλλον δὲ τοῦθ' ἕρμαιον ἐστὶ, καὶ ἀλλόκοτος ἐμπορίας τρόπος, πρόξενος θησαυρῶν τοῖς Πνευματικοῖς· καὶ οὐδὲν ξένον· φιλονεικῶν γὰρ ἕκαστος ἐνδοτικώτερος εἶναι τῶν ἄλλων, ὡς ἂν οἱ πλείους πρὸς τοῦτον ἀπέρχωνται, καὶ χρηματίζηται μᾶλλον, πᾶσι συγκαταβαίνει, καὶ πάντα συγχωρεῖ διὰ χρημάτων, καὶ καθ' ἑκάστην ὥραν αὐτὸν πωλεῖ τὸν Χριστόν· ἐν πολλοῖς μέντοι, καὶ αὐτῆς τῆς ἁμαρτίας ἐνεργουμένης ἔτι, καὶ πάντη ἀδιακόπου μενούσης, τολμηρῶς κοινωνοῦσι τοὺς πράττοντας. Ἀλλὰ πόθεν ἔχουσι ζῆν καὶ αὐτοί; μὴ γὰρ εἰσὶν ἄσαρκοι; μὴ ζήσωσι! μὴ δ' ὑπολειφθείη τούτοις πνοὴ, εἰ ἐκ τοιούτων πόρων μέλλωσι ζῆν! ἀπόλοιτο αὐτοῖς ἡ τοιαύτη ζωὴ, καὶ τὸ οὕτω βιοῦν, ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν κεφαλῆς, καὶ τοῦ γένους παντός! ἀρκοῦσιν αὐτοῖς τὰ μνημόσυνα, καὶ αἱ συνεχεῖς ἑορταὶ, αἱ ἀμέτρητοι προσφοραὶ, καὶ παντοῖα κτήματα.

Ὡς ἂν δὲ μὴ δόξωμεν τοῖς ἐκ τοῦ λόγου δακνομένοις ἐπὶ πλέον ἀφόρητοι, τῶν οἰκουμενικῶν Διδασκάλων ἐνωτισθῶμεν, τί περὶ τούτων φασί· τούτων γὰρ ὁ μὲν πάγχρυσος τὴν ψυχὴν καὶ τὴν γλῶτταν Ἰωάννης, ὧδε φησὶν „ἀλλὰ φορτικὸν καὶ ἐπαχθὲς καταγγέλλειν τῶν τὰ
„τοιαῦτα ἁμαρτανόντων; φορτικὸν μὲν οὖν, καὶ ἐπαχθὲς
„τὸ σιγᾶν· καὶ γὰρ ἡμῖν τοῖς ἀποκρύπτουσι, κἀκείνοις
„τοῖς λανθάνουσιν, ἐπάγει τὸν ὄλεθρον αὕτη ἡ σιγὴ, τὸν

„Θεὸν

Θεὸν ἡμῖν ἐκπολεμοῦσα· ποῖον δὲ βέλτιον; τοῖς συνδούλοις ἀπεχθάνεσθαι ἐπὶ σωτηρίᾳ, ἢ τὸν Δεσπότην παροξύνειν καθ' ἑαυτῶν; οὗτος μὲν γὰρ κἂν ἀγανακτήσῃ νῦν, οὐδέν σε βλάψαι δυνήσεται· μᾶλλον δὲ καὶ χάριν εἴσεταί σοι μετὰ ταῦτα τῆς ἰατρείας· ὁ δὲ Θεὸς, ἂν τῷ συνδούλῳ σου τὴν ἐπιβλαβῆ χαριζόμενος χάριν σιγήσῃς, ἀπαιτήσει σε δίκην· ὥστε σιγῶν μὲν, καὶ τὸν Θεὸν ἐκπολεμώσεις σεαυτῷ, καὶ τὸν ἀδελφὸν βλάψεις· καταγγέλλων δὲ, καὶ φανερὸν ποιῶν, κἀκεῖνον ἕξεις ἵλεων, καὶ τοῦτον κερδανεῖς, καὶ φίλον κτήσῃ μανικὸν, τῇ πείρᾳ τὴν εὐεργεσίαν μαθόντα· μὴ τοίνυν νομίζετε χαρίζεσθαι τοῖς ὑμετέροις ἀδελφοῖς, ἄν τι τῶν ἀτόπων ὁρῶντες μετιόντας, μὴ μετὰ πάσης ἐλέγχητε τῆς σφοδρότητος· ἱμάτιον ἂν ἀπολέσῃς, μὴ τὸν κεκλοφότα μόνον, ἀλλ' οὐχὶ καὶ τὸν συνειδότα τὸν κλέπτην, καὶ μὴ καταγγέλλοντα, ὁμοίως νομίζεις ἐχθρόν; εἰ δὲ μὴ βούλεσθε τοῦτο, ἀλλ' εἰδότες κρύπτετε, εὖ ἴστε, ὅτι τὴν αὐτὴν ὑποστήσεσθε τιμωρίαν ἐκείνοις· καὶ γὰρ ὁ Παῦλος οὐχὶ τοὺς ποιοῦντας μόνον τὰ πονηρὰ, ἀλλὰ καὶ τοὺς συνευδοκοῦντας αὐτοῖς ὑποβάλλει κολάσει καὶ τιμωρίᾳ· καὶ ὁ Προφήτης δὲ, οὐχὶ τοὺς κλέπτοντας μόνον, ἀλλὰ καὶ τοὺς συντρέχοντας αὐτοῖς, ὑπὸ τὴν αὐτὴν ἄγει δίκην· καὶ εἰκότως· ὁ γὰρ συνειδὼς τῷ πονηρὰ πράττοντι, καὶ περιστέλλων αὐτὸν, καὶ ἀποκρύπτων, πλείονα αὐτῷ παρέχει ῥαθυμίας ὑπόθεσιν, καὶ μετὰ μείζονος ἀδείας παρασκευάζει τὴν πονηρίαν ἐργάζεσθαι· ἀμέλει κἂν ἴδῃς ἀδελφὸν ἀπολλύμενον, κἂν τύπτῃ, κἂν ὑβρίζῃ, κἂν λοιδορῇ, κἂν ἀπειλῇ ἐχθρὸς γενέσθαι, κἂν ὁτιοῦν ἕτερον ἐπανατείνηται, πάντα φέρε γενναίως, ὅπως αὐτοῦ κερδανῇς τὴν σωτηρίαν· ἂν οὗτος ἐχθρός σου γένηται, ὁ Θεὸς ἔσται σοι φίλος, καὶ μεγάλοις σε κατὰ τὴν ἡμέραν ἐκείνην ἀμείψεται τοῖς ἀγαθοῖς· μὴ λέγε πρὸς ἑαυτὸν, τίνος ἕνεκεν ὁ δεῖνα καὶ ὁ δεῖνα, αὐτὸν οὐκ ἐθεράπευσαν; ἀλλ' ἀπάλλαξον τοῦτον τῆς ἀῤῥωστίας, καὶ μὴ ἀπαίτει ἐκείνους εὐθύνας τῆς ἀμελείας· ἐὰν εὕρῃς χρυσίον κείμενον, μὴ λέγεις πρὸς ἑαυτὸν, τίνος ἕνεκεν ὁ δεῖνα καὶ ὁ δεῖνα αὐτὸ οὐκ ἀνείλετο; ἀλλὰ σπου-

„ δάζεις πρὸ τῶν ἄλλων αὐτὸς διαρπάσαι· οὕτω καὶ ἐπὶ τῶν πεπλωκότων ἀδελφῶν λογίζου, καὶ νόμιζε θησαυρὸν εὑρηκέναι τὴν ἐπιμέλειαν τὴν ἐκείνων.

„ Ἀλλὰ τίς ὁ τῶν πολλῶν πρὸς ταῦτα λόγος; μὴ κρίνετε ἵνα μὴ κριθῆτε, φησὶν ὁ Χριστός· τοῦτο ἐστὶν ὃ πάντα ἀνέτρεψε καὶ συγχέει, καὶ τὰ ἄνω κάτω καὶ πεποίηκε, καὶ ποιεῖ· ὅτι τοὺς νόμους τοῦ Χριστοῦ, πρὸς τὰς θελήσεις ἡμῶν τὰς πονηρὰς ἐκλαμβάνομεν· βουλόμενοι γὰρ παρὰ μηδενὸς κρίνεσθαι ἁμαρτάνοντες, ταύτην ἐφεύρομεν τὴν ἀπολογίαν· ἤγουν μήτε σὺ κρίνῃς ἐμέ, μήτε ἐγὼ σέ, μήτε τις ἄλλον, ὡς ἂν ἅπαντες ἀδεῶς πάσης κακίας παραπολαύωμεν· καὶ διὰ τοῦτο κοινῇ πάντες τοῖς ἐγκαλεῖν θέλουσιν ἀπολογησόμεθα, ὅτι μὴ κρίνετε ἵνα μὴ κριθῆτε ὁ Χριστὸς ἀπεφήνατο· τί οὖν οὐ χρὴ τοῖς ἁμαρτάνουσιν ἐγκαλεῖν; πῶς οὖν ὁ Παῦλος φησίν, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον; καὶ πάλιν, τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε; καὶ ὁ Χριστὸς δὲ τῷ Πέτρῳ, ὕπαγε ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· κἂν παρακούσῃ, καὶ ἕτερον σεαυτῷ πρόσθες· ἂν δὲ μηδὲ οὕτως ἐνσιῶ, καὶ τῇ Ἐκκλησίᾳ ἀπάγγειλον· καὶ τοσούτους ἐπέστησε τοὺς ἐπιτιμῶντας, καὶ οὐ μόνον ἐπιτιμῶντας, ἀλλὰ καὶ κολάζοντας; τὸν γὰρ οὐδενὸς τούτων ἀκούοντα ἐθνικὸν εἶναι, καὶ τελώνην φησί· τί δὲ αὐτοῖς καὶ τὰς κλεῖς ἔδωκεν; εἰ γὰρ μὴ μέλλωσι κρίνειν, ἁπάντων ἔσονται ἄκυροι, καὶ μάτην τοῦ δεσμεῖν καὶ λύειν ἐξουσίαν εἰλήφασιν· ἄλλως δέ, καὶ εἰ τοῦτο κρατήσειεν, ἅπαντα οἰχήσεται, καὶ τὰ ἐν ταῖς Ἐκκλησίαις, καὶ τὰ ἐν ταῖς πόλεσι, καὶ τὰ ἐν ταῖς οἰκίαις· καὶ γὰρ ὁ δεσπότης τὸν οἰκέτην, καὶ ἡ δέσποινα τὴν θεραπαινίδα, καὶ ὁ Πατὴρ τὸν Υἱόν, καὶ ὁ φίλος τὸν φίλον, ἐὰν μὴ κρίνῃ, ἐπιδώσει τὰ τῆς κακίας· καὶ τί λέγω ὁ φίλος τὸν φίλον; τοὺς ἐχθροὺς ἐὰν μὴ κρίνωμεν, οὐδέποτε καταλῦσαι δυνησόμεθα τὴν ἔχθραν, ἀλλὰ ἄνω καὶ κάτω πάντα γενήσεται· τί ποτε οὖν ἐστὶ τὸ εἰρημένον; προσέχωμεν μετὰ ἀκριβείας, ἵνα μὴ τὰ φάρμακα τῆς σωτηρίας, καὶ τοὺς τῆς εἰρήνης

νόμους, νομίζῃ τις ἀνατροπῆς εἶναι καὶ συγχύσεως νόμους. Ὃ τοίνυν ἐκέλευσε διὰ τῶν εἰρημένων, τοῦτο ἐστί· τὸν ὑπεύθυνον ὄντα μυρίοις κακοῖς, μὴ πικρὸν εἶναι δικαστὴν τῶν ἑτέροις πλημμελουμένων, καὶ μάλιστα ὅταν μικρὰ ταῦτα ᾖ· οὐ τὸ ἐλέγχειν, οὐδὲ τὸ διορθοῦν ἀνατρέπων, ἀλλὰ τὸ τῶν οἰκείων ἀμελεῖν κωλύων, καὶ τοῖς ἀλλοτρίοις ἐνάλλεσθαι. Καὶ ταῦτα μὲν ὁ Χρυσοῤῥήμων, οὕτω κατὰ λέξιν ἐκτίθησιν.

Ὁ δὲ μέγας Βασίλειος „προδοσία τῆς ἀληθείας φησὶ, καὶ ἐπιβουλὴ τοῦ κοινοῦ, καὶ ἐθισμὸς πρὸς ἀδιαφορίαν κακῶν, ἡ πρὸς τοὺς πονηροὺς ἐσχηματισμένη χρηστότης ἐστίν· ὅταν γὰρ ἡ τοῦ ἑνὸς βλάβη εἰς τοὺς πολλοὺς ἀνατρέχῃ, τότε οὐ δεῖ μακροθυμεῖν, οὐδὲ ζητεῖν τὸ ἑαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι· διότι τῆς μονομεροῦς ἀρετῆς, ἡ πολυμερὴς ὠφελιμωτέρα τυγχάνει· ὡς γὰρ οὐκ ἂν εἴποιμεν εὐεργέτην τὸν ἐγκατακλείοντα τῷ σώματι τὰ ὀλέθρια, ἀλλὰ μᾶλλον τὸν δι᾽ ὀδύνης καὶ ἀμύξεως εἰς τὸ φανερὸν ἕλκοντα, ὥστε ἢ δι᾽ ἐμέτου ἀποῤῥίψαι τὸ βλάπτον, ἢ καθόλου διὰ τῆς τοῦ πάθους φανερώσεως εὔγνωστον ὑπάρξαι τὸν τρόπον τῆς θεραπείας· οὕτω δηλονότι, καὶ τὸ συγκατακρύπτειν ἁμαρτίαν, συγκατασκευάζειν ἐστὶ τὸν θάνατον. Καὶ πάλιν, εἰ τὸ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, ἄσπλαγχνος ἐστὶν ὁ ἐφησυχάζων, οὐχ ὁ ἐλέγχων· ὡς ὁ τὸν ἰὸν ἐναφεὶς τῷ δηχθέντι, οὐχ ὁ ἐξαίρων. Καὶ αὖθις, ὅρα μὴ πλησθῇς ἄνθρωπον εἰς πλῶσίν σου· μὴ παραδῷς τὸν Υἱὸν τοῦ Θεοῦ εἰς χεῖρας ἀναξίων· μὴ ἐντραπῇς τινὰ τῶν ἐνδόξων, ἐν τῇ ὥρᾳ ἐκείνῃ· καὶ ἁπλῶς εἰπεῖν, οἷς οἱ θεῖοι κανόνες οὐκ ἐπιτρέπουσι, μὴ μεταδίδου· καὶ γὰρ ὡς ἐθνικοὶ ἐλογίσθησαν· εἰ δὲ μὴ ἐπιστρέψωσι, καὶ αὐτοῖς οὐαὶ, καὶ τοῖς μεταδιδοῦσιν αὐτοῖς. Καὶ ταῦτα μὲν τὰ τῶν Διδασκάλων· δυνάμενος δὲ καὶ πλείους μάρτυρας παραχεῖν, ἱκανοὺς ἔδοξα τούτους εἶναι, πειθόμενος τῷ εἰπόντι, δύο ἀνθρώπων ἡ μαρτυρία κτλ· καὶ ἵνα μὴ τὰς Βασιλείους ἀκοὰς ἐνοχλῶ.

Κεφά-

Κεφάλαιον λόγε· ἐγὼ πρὸ τεσσαράκοντα χρόνων, ὁρῶν τὰς ἡμετέρας πόλεις ἐρημωθείσας δεινῶς, καὶ τέλεον τὰς χώρας ἀφανισθείσας, πυρικαύστες τὰς Ἐκκλησίας γενομένας, καὶ τὰς σεβασμίας τραπέζας κατεστραμμένας, βεβηλωθέντα τὰ ἅγια, καὶ τῶν ἱερῶν σκευῶν καὶ ἐπίπλων τὰ μὲν τοῖς κυσὶ, τὰ δὲ τοῖς ἵπποις τῶν ἀσεβῶν . . . . . φεῦ! πῶς ἐξείπω τὸ δύσφημον! καὶ πᾶν τὸ ἡμέτερον γένος, δελεία παραδιδόμενον καὶ μαχαίρα· καὶ ζητῶν μαθεῖν, πόθεν ἡ τοσαύτη τε Θεε ἀγανάκτησις καθ' ἡμῶν· ἤτοι, δι' ἣν τινα τὴν αἰτίαν; καὶ πολλὰ περὶ τέτων καμὼν, καὶ αὐτὸν Θεὸν ἱκετεύσας, ἀληθέστατα εὗρον τὸ ζήτημα, ὅτι δι' αὐτὸ τὸ πωλεῖσθαι καθ' ἑκάστην τὸ τε Χριστε σῶμα καὶ αἷμα, παρὰ τῶν ἔτω λεγομένων Πνευματικῶν, καὶ ἀγοράζεσθαι πρὸς ὑμῶν τῶν χριστιανῶν. Τετο δὴ πιστωθεὶς ἀκριβέστατα, ἅμα μὲν οἰκτείρων τὸ γένος, ἅμα δὲ καὶ τὸ κρίμα εὐλαβηθεὶς, μήπως ἀπέλθω εἰς κόλασιν σιγῇ τοιετον ἀσέβημα παραδὲς, ἤδη παῤῥησίᾳ ὑμῖν τετο καὶ προφανῶς ἀπεκάλυψα· καὶ ταῦτα κατ' αὐτὴν τὴν ἡμέραν, καθ' ἣν τὸ ἀνθρώπινον ἐσφάγη ὑπὲρ ἡμῶν ὁ Χριστὸς, καὶ ἐπὶ παρεσίᾳ Βασιλέων, καὶ τῶν ἐν τέλει, καὶ συνελεύσει τῶν ἐξαιρέτων τε γένες ἡμῶν, καὶ τῆς βασιλίδος ταύτης τῶν Πόλεων· κἂν μὲν σπεδάσητε τετο ἐπεκδικῆσαι, ὡς ἕκαστος ἔχει δυνάμεως, εὖ ἔχει· αὐτίκα ἕψεται ἡ τε γένες ἀνάκλησις· γενήσεται πάλιν μεθ' ἡμῶν ὁ Θεός. εἰ δ' ἒν, μετ' ὀλίγον ταυτὰ καὶ χείρω πεισόμεθα τῇ παλαιᾷ Ἱερεσαλήμ.

Ἴδε, οἱ ὀφθαλμοὶ πάντων ὑμῶν ὁρῶσί με διαμαρτυρόμενον, καὶ τὰ ὑμέτερα ὦτα ἀνεωγμένα πρὸς τὲς λόγες με. Διαμαρτύρομαι γεν τὰ μεγάλα στοιχεῖα, τὸν ἐρανὸν, καὶ τὸ φῶς, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν· ἐπικαλεμαι εἰς μάρτυρας τὸν χορὸν τῶν ἁγίων, καὶ τῶν Ἀγγέλων τὸν κύκλον, ὅτι ἂν μόνον ὡς χρὴ ταῦτα ἐπεκδικήσητε, σωθησόμεθα ἐκ τῆς διὰ

ταῦτα

ταῦτα ἡμῖν ἐπιούσης ὀργῆς· εἰ δὲ μὴ, πάντα ἄρδην οἰχήσεται τὰ ἡμέτερα, καὶ εἴποι τὰ ἔθνη ταῖς ἐφεξῆς γενεαῖς, μὴ πάθοιμεν ἃ οἱ Ῥωμαῖοι πεπόνθασιν. Ἔστι δὲ καὶ ἡ ἐκδίκησις ῥᾴστη, καὶ νεύματι μόνῳ γενησομένη βασιλικῷ. Οὐκ ἀρκεῖ πρὸς ταῦτα λόγος ψιλὸς, εἰς τὸν ἀέρα διαχεόμενος· γενέσθω Τόμος πρὸς τῆς Συνόδου, ταῦτα διαλαμβάνων· γενέσθω Νεαρὰ πρὸς τοῦ Βασιλέως, ἢ καὶ Χρυσόβουλλος, ταῦτα κυρίως ἐπεκδικῶν· ποῖα; ἵνα μηδεὶς τῶν Πνευματικῶν, τολμήσῃ παράτινος τῶν εἰς αὐτὸν ἐξομολογουμένων λαβεῖν τι τοῦ λοιποῦ, τῆς κοινωνίας χάριν· εἰ δ' οὖν, ἐπάγεσθαι τούτῳ καθαίρεσιν, καὶ τῷ δώσοντι τούτῳ, ἀφορισμόν· ἵνα μηδεὶς τούτων κρατῇ πλέον ἐπὶ τόκῳ ἐνέχυρα, μηδὲ τόκους λαμβάνειν Μοναχὸς, ἢ Μονάστρια· ἵνα μηδεὶς τῶν ἐκτὸς τῆς Μονῆς Ἀδελφάτα λαμβάνῃ μετὰ χρόνων δέκα παρέλευσιν, μηδὲ πλείω τῶν δύο ποιεῖν τὸ πρόσωπον δύνηται· ἵνα μηδεὶς τῶν τελωνῶν, ἢ ἀδίκων μετέχῃ τῶν φρικτῶν μυστηρίων, πρὶν ἂν τὸ ἐξ ἀδικίας καὶ ἁρπαγῆς, ὡς χρὴ ἐπιστρέψαι ὅθεν ἠδίκησεν· ἵνα μηδεὶς τῆς ἁμαρτίας ἔτι ἐνεργουμένης μεταλαμβάνῃ, εἰ μήπου μετὰ τὴν τούτου ἐξομολόγησιν, νόσος ἐπίκειται τούτῳ θάνατον ἀπειλοῦσα μετὰ μικρόν· καὶ ἵνα μηδεὶς ἱερέων τοῖς δυσσεβοῦσιν ἱερεῦσι συλλειτουργῇ, μήτέ τις τῶν κοσμικῶν αὐτοὺς ἐκδικῇ.

Ἀλλὰ ταῦτα μὲν οὕτω γενέσθαι τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ μελήσει, καὶ τοῖς κρατοῦσι· πᾶς δ' ὁ σωθῆναι βουλόμενος ἐξ ὑμῶν, τοῦτο καὶ σκόπει, καὶ ποίει περὶ σαυτοῦ· ἐπεὶ οὐδεὶς ἀπῆλθεν εἰς κόλασιν ἐξ αἰῶνος, διὰ τὸ μὴ φθάσαι κοινωνῆσαι περὶ τὰς τελευταίας ἀναπνοὰς, μυρίοι δὲ κατῆλθον εἰς ᾅδου, διὰ τὸ ἀναξίως μεταλαβεῖν, δοκίμαζε πρῶτον σαυτὸν, ὡρισμένον τοῖς ἁγίοις Πατράσιν ἐφ' ἑκάστῳ ἁμαρτήματι χρόνον τηρῶν· ἢ κἂν γοῦν τριετίαν τοὐλάχιστον, καὶ οὕτω προσέρχου μετὰ φόβου καὶ τρόμου, ἡνίκα αἴρῃς τὰ χείλη μεταλαβεῖν τὴν μερίδα τὴν ἁγίων, ὡς ἀπτό-

μενον

μενον ἄνθρακα δέξασθαι; ὡς ἐξ αὐτῆς τῆς πλευρᾶς τοῦ Δεσπότου τὸ αἷμα αὐτοῦ ἐκμυζῶν· ἐφρίξατε ἀκούσαντες; ἐπὶ τῶν ἔργων μοι τὸν φόβον τοῦτον ἐνδείξασθε· κἂν διὰ μέσου τοῦ μακροῦ χρόνου τούτου ἐπέλθῃ σοι θάνατος, ἢ νόσος θάνατον ἀπειλοῦσα, κοινώνησον· κἂν γένῃ ἀνάρπαστος ἴσως, καὶ πρὶν τοῦ δώρου τυχεῖν ἀπέλθῃς, μὴ δέδιθι· κρείσσων γὰρ ἡ ἀποχὴ τούτου μετ' εὐλαβείας καὶ φόβου, ἤπερ ἡ μετάληψις μετὰ τόλμης καὶ ἀναξιότητος, πίστευσον. Ἀλλὰ μηδαμῶς γένοιτο ἐξ ὑμῶν, ἢ ἀνάξιον ὄντα τῶν φρικτῶν μυστηρίων κατατολμᾶν, ἢ καὶ ἄξιον ὄντα τῆς αὐτῶν κοινωνίας ἀποτυχεῖν! πάντας δ' ὡς χρὴ κοινωνήσαντας, ἓν σῶμα γενέσθαι Χριστοῦ, ᾧ ἡ δόξα σὺν τῷ Πατρὶ αὐτοῦ, καὶ τῷ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ
# ΔΗΜΗΓΟΡΙΑ ΣΥΝΤΟΜΩΤΑΤΗ,

Εἰς τὸ αὐτὸ ῥηθεῖσα Παλάτιον, ἐπὶ παρεσίᾳ τε Πατριάρχε, καὶ τῶν ἐν Τέλει, καὶ τε Κλήρε, καὶ πάσης τῆς Πολιτείας, περὶ τε τῆς Πόλεως ἀνακτίσματος.

Ὅσα μὲν ἡ τε ἁγιωτάτε Πατριάρχε φωνὴ, καὶ ἡ τε κρατίςε ἡμῶν Αὐτοκράτορος γλῶττα περὶ τε προκειμένε τῆς πόλεως ἀνακτίσματος διεξῆλθε, πάντα καὶ πλήρη σοφίας, καὶ ῥητορείας ἀνάπλεω, καὶ πεῖσαι δυνάμενα καὶ λιθίνην ψυχὴν, ἔργοις αὐτίκα πληρεν τὰ τετοις λόγοις ῥηθέντα ψιλοῖς· ταύτητοι τετοις, ὅτε προσθεῖναι δεῖ, ὅτ' ὑπαλλάξαι τὶ τὸ σύνολον, ὅτ' ἀφελεῖν ἀπ' αὐτῶν· ὅτως εἰσὶν ἀναγκαῖα, ὅτω σαφῆ, ὅτω σύντομα, ὅτω τῆς ἀληθείας μεςά· ὡς ἂν δὲ καὶ αὐτοὶ μὴ δόξωμεν ἠλίθιοί τινες εἶναι, ἢ ἀλογίας ἐγγὺς, ἢ καὶ μὴ βόλεσθαι συνιέναι τῶν εἰρημένων τὸν νεν, τὰ τε αὐτε σκοπε ἐχόμενα, καὶ ταυτὰ τοῖς ῥηθεῖσι χεδὸν διέξιμεν, καὶ τοῖς μεγάλοις ἀμέσως ὑμῖν, καὶ δι' ὑμᾶν τῷ τῆς Πόλεως δήμῳ παντί.

Ὅτι ἡ μεγαλόπολις αὕτη, καὶ Πόλις πασῶν τῶν ὑπὸ τὸν ἥλιον πόλεων καὶ πολυώνυμος ἐςὶ Πόλις, καὶ μεγαλώνυμος· Πόλις γὰρ ἐςὶ τε μεγάλε βασιλέως Θεε, περὶ ἧς δεδοξασμένα λελάληται, καὶ ἀξιάκεςα ἤκεςαι· Πόλις βασίλισσα αὕτη, τῇ τε κόσμε δεσποίνῃ τῇ Θεοτόκῳ, ἐκ πρώτης ἀνατεθεῖσα καταβολῆς· ἑπτάλοφος Πόλις, καὶ Βυζαντὶς, καὶ Κωνςαντινέπολις, καὶ πολυκρατίςη τε κραταιε καὶ ἁγίε ἡμῶν Αὐτοκράτορος· Πόλις

οἰκεμένης τὸ ἄγαλμα, τῆς καλλονῆς ἡ ἑςία, τὸ πρόσκαιρον τῆς τρυφῆς χωρίον, ἡ ξένη θέα πασῶν χαρίτων, τε ἡμετέρε γένες τὸ ἔδαφος, τὸ τῶν ἀγαθῶν πρυτανεῖον, ὁμόροις τὸ θέλγητρον, καὶ ἀλλογενέσιν ἥδύτατον λάλημα· Πόλις ἁγία καὶ Μητρόπολις πιςή, νέατε Ῥώμη, καὶ νέα Ἱερεσαλὴμ ἡ αὐτή· γῆ ἀγαθὴ, καὶ καλὴ γῆ ῥέεσα μέλι καὶ γάλα, καὶ πηγὴ παντοδαπῶν ἀγαθῶν· ὄρος τετυρωμένον καὶ πῖον, ὄρος δασὺ καὶ κατάσκιον, ὄρος ἅγιον, ἐν ᾧ ὁ τῶν ὅλων Θεὸς κατοικεῖν ἡρετίσατο· κοινὴ Πατρὶς καὶ Μήτηρ καὶ τροφὸς τῶν ὀρθοδόξων χριςιανῶν.

Τῶν δώδεκα Ζωδίων ὁ Κριὸς βέλτιον· τῶν δώδεκα μηνῶν ὁ Μάρτιος πρῶτος· τῶν δώδεκα ὀρέων ὁ Καύκασος μείζων· τῶν δώδεκα πελαγῶν ὠκεανὸς τὸ ἀπέραντον· τῶν δώδεκα νήσων εὐρυτέρα ἡ Ταπροβάνη· τῶν δώδεκα ποταμῶν ὁ Γάγγης πλεσιοπάροχος· τῶν δώδεκα ἀνέμων ὁ ἀπηλιώτης ἡσυχώτερος· τῶν δώδεκα λίθων τὸ τοπάζιον τιμιώτερον· τῶν δώδεκα ἑνώσεων ἡ καθ᾽ ὑπόςασιν ἔξοχος· καὶ τῶν ἀνὰ τὴν οἰκεμένην μεγίςων δώδεκα πόλεων ἡ νέα Ῥώμη ἁγιωτέρα· τίνες αὗται; αἵδε, Νινευὶ, Βαβυλὼν, Σεσα, Ἐκβάτανα, Ἑκατόμπυλος, Αἴγυπτος, Κτησιφῶν, Ἔδεσα, Χαλκηδὼν, Ἀντιόχεια, Ῥώμη, καὶ Κωνςαντινέπολις.

Καὶ ἵνα τι ταύτης ἐξαίρετον συντόμως ὁμε καὶ διὰ πλειόνων ἐπιγνῶτε εἰκόνων, ὧδε προσέχετέ μοι τὸν νεν· ὃν λόγον ἔχει ὁ μὲν ἐρανὸς ἐν κόσμῳ, ὁ δὲ ἥλιος ἐν τῷ ἐρανῷ, ὁ δὲ παράδεισος ἐν τῇ γῇ, τὸ κοινὸν ἐμπόριον ἐν τοῖς κλίμασι τῆς γῆς, ἡ μητρόπολις ἐν τῇ ἐπαρχίᾳ, ἡ ἀκρόπολις ἐν τῇ πόλει, ὁ λιμὴν ἐν τῷ πελάγει, τὸ πανδοχεῖον ἐν τετραόδοις, τὸ ταμιεῖον ἐν τῇ οἰκίᾳ, τὸ διδασκαλεῖον ἐν τῇ πολιτείᾳ, τὸ θέατρον ἐν ταῖς πανηγύρεσιν, ἡ ἁρμονία ἐν τοῖς μέλεσιν, ὁ ὀφθαλμὸς ἐν τῷ προσώπῳ, καὶ ἡ κεφαλὴ ἐν τῷ σώματι, τὸν αὐτὸν ἄρα λόγον, πρός τε Θεε καὶ ἀνθρώπων, πλετεῖ αὕτη τῶν πόλεων ἡ μεγάλη πρὸς πᾶν ἁπλῶς τὸ οἰκεμενον. Ἐντεῦθεν γὰρ πανταχε, πᾶσαι αἱ πρὸς τῆς Ἐκκλησίας ἀξίαι μερίζονται,

Πατριαρ-

Πατριάρχαι, Μητροπολῖται, Ἐπίσκοποι, Ἡγούμενοι, Ἱερεῖς, Διάκονοι, Ὑποδιάκονοι, καὶ παντὸς κλήρου σύστημα· ὅθεν πάντα συνίσταται τὰ τῶν ἐν Τέλει τάγματα, καὶ τὰ τῶν ὑπὲρ αὐτὰ ἀξιώματα, Αὐτοκράτορες, Βασιλεῖς, Δεσπόται, Σεβαστοκράτορες, Καίσαρες, Τοπάρχαι, καὶ Σατράπαι, καὶ ἁπλῶς κοσμικὸν πᾶν ἀξίωμα· ὧδε πάντα τὰ τῆς σοφίας μέρη, τὰ μαθήματα πάντα, ἢ πᾶσαι αἱ ἐπιστῆμαι, ὡς ἔκτινος ἀναβλύζουσιν ἀεννάου πηγῆς, καὶ παίδευσις, φρόνησις, εὐγένεια, δόξα, καὶ πᾶσα ἀρετή. Ἀνατολὴ καὶ Δύσις, Ἄρκτος καὶ Μεσημβρία, ὁ τετραπέρατος κόσμος Σταυροειδῶς ἐνταῦθα συνάπτεται· γαῖαι διτταὶ, καὶ θάλασσαι δύο, συνδεσμοῦνται κοσμίως, καὶ εἰς ταυτὸν θαυμασίως τὰ πάντοθεν ἄκρα συνέρχεται· δεῦρο τῶν τοῦ Θεοῦ θεραπόντων ὁρᾶται τὸ κοιμητήριον, καὶ τὸ τῆς Θεοτόκου ἰδιαίτατον τέμενος, ἡ ἐσθὴς αὐτῆς, καὶ ἡ ζώνη· τοῦ δεσπότου Χριστοῦ ὁ χιτὼν, τὰ ἱμάτια, τὸ ἐκ τῆς πλευρᾶς αὐτοῦ ῥεῦσαν αἷμα, ὁ σταυρὸς, ἡ λόγχη, οἱ ἧλοι, ὁ σπόγγος, ὁ κάλαμος· τῶν πανταχοῦ γῆς τελειωθέντων ἁγίων μερίδες λειψάνων, σωτηρίας ἐχέγγυα· δεῦρο τῆς ὀρθοδοξίας ἡ βάσις, ἡ κορυφὴ τῶν δογμάτων, ἡ τῆς θεολογίας ἀκρώρεια· καὶ τί δεῖ λόγους μακροὺς ἄλλως περὶ πραγμάτων διεξιέναι, ὅταν αὐτὰ τὰ πράγματα πάρεσι, καὶ ἡ αἴσθησις μαρτυρεῖ;

Θέασαι πᾶς ὁ φιλοθεάμων, καὶ τῶν ἐμῶν λόγων ὠτακουστὴς, τὰ κάλλη τῆς Πόλεως ταύτης, ἅμα καὶ τὰ καλὰ, τὴν θέσιν, τὴν χρῆσιν, τὴν τέρψιν, τὸ μέγεθος, τὴν ποικιλίαν, τὴν εὐκρασίαν πρὸς πάσας τοῦ ἔτους τὰς ὥρας, τὴν καλλονὴν, τὴν φαιδρότητα· ἴδε τοὺς Ξενῶνας, τοὺς Παρθενῶνας, τὰ Φροντιστήρια, τὰς ἁγίας Μονὰς, τὸ τῶν Ἐκκλησιῶν πλῆθος, τὰς Βάρεις, τὰς Πυργοβάρεις, τοὺς μετεώρους τῶν οἴκων, τοὺς κήπους, τοὺς παραδείσους, τὰς κυπαρίσσους, τὰ ἄλσεα· θαύμασον τῶν εὐγενίδων τὴν σωφροσύνην, τῶν θαλαμευομένων τὴν φυλακὴν, τὴν εὐλάβειαν τῶν Μοναστηρίων, τοὺς παννύχους

ἦχες τῶν Μοναχῶν, τὴν εὐταξίαν τῦ Κλήρυ, Ἀρχιερέων τὴν σεμνότητα, Ἱερέων χορὺς, καὶ τὴν τῶν καθ' αὐτὺς ζώντων ἐν Χριςῷ κεκρυμμένην ζωήν· κατάμαθε τῦ λαῦ τὸ πειθήνιον, τὸ πρὸς τὺς πάντας φιλόςοργον τῶν πολιτῶν, καὶ προσηνὲς, καὶ φιλάληθες, καὶ καλοθελὲς, τῆς πολιτείας τὴν παίδευσιν, τὴν κατάςασιν τῶν Ἀρχόντων, τῶν Βασιλέων τὴν γαληνότητα· καὶ πρὸς τύτοις, τὰς συνεχεῖς ἑορτὰς, τῶν ἁγίων τὰ θαύματα, τῶν ἱερῶν σκευῶν τὸ πολυτελὲς, τὸ τῶν θείων εἰκόνων σεβάσμιον, καὶ τῶν ἁγίων παθῶν τὴν ὑπεροχήν· τί δὲ μὴ λέγω, ὃ κἂν ὁ λόγος σιγήσῃ, σιγῶν τὸ πρᾶγμα βοᾷ; δεύτερον οἶδα ςερέωμα ταύτην τὴν Πόλιν ἐγὼ, καὶ τῦ αἰθερίυ ἐκείνυ σώματος παράλληλον ἄντικρυς· ἐν ᾗ ὡς δύο μεγάλοι φωςῆρες τῶν Ἐκκλησιῶν ἡ μεγάλη, καὶ τῦτο δὴ τὸ Βασίλειον· οἰκειότερον δὲ εἰπεῖν, ὁ Οἰκυμενικὸς ὑτοσὶ, καὶ ὁ κραταιὸς ἡμῶν Αὐτοκράτωρ αὐτός, ὁ μὲν τὰς ψυχὰς, ὁ δὲ τὰ σώματα καταφωτίζει τῶν ὑπ' αὐτὺς, καὶ πάντα πιςὸν, καὶ περιθάλπυσιν οἱ ἀμφότεροι, καὶ ζωογονῦσιν· ἀςέρων δὲ οἱ κύκλοι τύτων χοροὶ, τῦ μὲν ὁ τῶν Συγκλητικῶν κύκλος, καὶ πᾶν τὸ ςρατόπεδον, τῦ δὲ ὁ τῦ Κλήρυ κατάλογος, καὶ πᾶς ὁ λαός· καίγε περὶ πᾶν τὸ ςερέωμα τῦτο, ἄδυτα πέπηγεν ἄςρα, καὶ τὸ καλὸν ὑπερλάμποντα, τῶν σεβασμίων Μονῶν, καὶ τῶν Ναῶν ἡ πληθύς. Τοιαύτη ἡμῖν ἡ Πόλις, ὡς ἐν συνόψει εἰπεῖν, καὶ τὰ τοιαῦτα ἐν ταύτῃ καλὰ περιέχεται.

Ἀλλ' ἡ ὕτω καὶ μεγάλη καὶ καλὴ καὶ ἐξαίρετος Πόλις, τείχει καὶ πύργοις κυκλυμένη σαθροῖς, δεῖται τῆς παρ' ἡμῶν ἀνακτίσεως, οἷάτις Μήτηρ δι' ἔξωρον ἡλικίαν, τῆς ἐκ τῶν οἰκείων τέκνων γηροκομίας αὐτῆς· διὰ τοι τῦτο συνδράμωμεν πάντες παρακαλῶ, σπεύσωμεν ὅλῳ ποδὶ, ποιησώμεθα ἔρανον, ὑποςηρίξωμεν ἤδη γεγηρακυῖαν καὶ συγκύπτυσαν ἡμῶν τὴν Μητέρα, δῶμεν αὐτῇ χεῖρα πιπτύσῃ διὰ τὸν χρόνον, ἀποδῶμεν αὐτῇ τὰ θρεπτήρια ἐν τῷ γήρᾳ· τύτυ γὰρ χάριν ἡμᾶς εἰς τόδε παρήγαγε καὶ ἡλικίας, καὶ γνώσεως, καὶ παιδεύσεως·

περι-

περιποιησώμεθα ταύτην οὖν, τοῦτο καθ' ἑαυτὸν ἡμῶν ἕκαστος διακρίνων, ὅτι ὁ τιθέμενος λίθον ἐπὶ λίθῳ ἐν ταύτῃ, οὐ μόνον ἀληθείᾳ καὶ πράγματι κτίτωρ τῆς Πόλεως γίνεται, ἀλλὰ καὶ πασῶν τῶν ἐντὸς ἐν ταύτῃ ἁγίων Μονῶν, καὶ Ἐκκλησιῶν· καὶ πρός γε τούτοις πάντων τῶν ἐν ταύτῃ καλῶν, καὶ φύλαξ καὶ κηδεμὼν καὶ ἐπίτροπος, καὶ μόνον εἰ μέλλοι τὸ κατὰ δύναμιν πράττειν, ἴσον λήψεται τὸν μισθὸν, οὐκ ἐλάττονα τοῖς ἐκ βάθρων τὴν Πόλιν, καὶ τὰ ἐν αὐτῇ Ἱερὰ ἀνεγείρασιν. Ὅταν τὴν οἰκίαν ἀνακτίζῃς τὴν σὴν, ἢ τὸν διαιρέτην τοῦ ἀμπελῶνος, ἢ τοῦ κήπου τοῦ σοῦ, σαυτὸν ὠφελεῖς μόνον, οὐδένα ἄλλον τῶν οἰκητόρων τῆς Πόλεως· ἡνίκα δὲ πύργον ἕνα θελήσῃς ἀνακαινίσαι, ἢ μίαν ἔπαλξιν γοῦν, τῶν ἐν τῷ τείχει ταύτης σεσαθρωμένων, καὶ σαυτὸν, καὶ τὴν γυναῖκα, καὶ τὸν υἱὸν, καὶ τὴν θυγατέρα, καὶ τὸν περίβολον τῆς οἰκίας, καὶ τὸν ἔνδοθεν κῆπον, καὶ τὸν ἀμπελῶνα, καὶ τὴν οἰκίαν αὐτὴν, καὶ τὰ ἐν αὐτῇ πάντα περιφρουρεῖς, καὶ προσέτι τοὺς γείτονας πάντας, τοὺς φίλους, τοὺς συγγενεῖς, τὰς χήρας, τὰ ὀρφανὰ, τοὺς παρθενῶνας, τὰ μοναστήρια, τὰ προσφάτως ἐνταῦθα προσφυγόντα αἰχμάλωτα· καὶ τολμῶ λέγειν, ὅτι καὶ τῆς ὀρθοδόξου πίστεως κλονουμένης, ἀντιλαμβάνῃ τὸ κατὰ δύναμιν· ἐπεὶ ταύτης τῆς Πόλεως ἱσταμένης, συνίσταταί πως αὐτῇ καὶ ἡ πίστις ἀκράδαντος· ἐδαφισθείσης δὲ, ἢ ἁλούσης, ἅπερ Χριστέ μου μὴ γένοιτο! ποία ἔσται ψυχὴ κατὰ τὴν πίστιν ἀκλόνητος;

Οὐκοῦν ἐπιμελούμενος τῆς οἰκίας τῆς σῆς, ἐπιμελήθητι καὶ τῆς Πόλεως· ἀσφαλίζῃ τοῦ ταμείου τὴν θύραν ὀψὲ, μὴ διαρπαγῇ τὰ ἐντὸς; προνοήθητι καὶ τοῦ τείχους, ὡς ἂν μὴ ἀνάρπαστος γένῃ ἀθρόον, αὐτὸς καὶ πάντα τὰ σά· ἀνεῳγμένης τῆς θύρας, καὶ μηδενὸς ἐφεστῶτος, πρόκειται πᾶσι τὰ ἔνδον τοῖς διαρπάζειν ἐθέλουσι· καὶ πεσόντος τοῦ τείχους, τοῦ κεκλεῖσθαι τὴν θύραν οὐδὲν ὄφελος· τῶν ἐν τῷ τείχει πύργων ἑστώτων, τῶν τὴν πόλιν οἰκούντων ἐν ἀσφαλείᾳ οἱ θησαυροί· καταῤῥαγέντων δὲ τούτων,

των, τὰ ἐν τοῖς ταμείοις αὐτῶν, πάντα φροῦδα καὶ ἕωλα· ἀμέλει ἐὰν θέλῃς εἰσέτι διαμένειν τὸ γένος, καὶ τὸ τοῦ γένους καύχημα ἵστασθαι ταύτην τὴν Πόλιν, στερέωσον ταύτην κύκλῳ, καὶ πύργωσον ἀσφαλῶς· εἰ φιλεῖς τῶν θείων Ναῶν τὴν εὐπρέπειαν, περιχαράκωσον τὸ τούτων ὀχύρωμα, καὶ ὕψωσον τὸν φραγμόν· εἰ προνοῇ τῶν ἰδίων, καὶ τῶν κοινῶν προνοήθητι, καὶ μάλιστα τῆς πατρίδος· οὕτω γὰρ Περικλῆς, καὶ Θεμιστοκλῆς, καὶ Ἀλκιβιάδης, καὶ Κίμων, Ἐπαμινώνδας τε καὶ Λυκοῦργος, καὶ πάντες οἱ τῶν Ἑλλήνων ἐξαίρετοι, τῶν ἰδίων ἐπεμελοῦντο πατρίδων· οὕτως οἱ ταύτης τὴν Πόλεως οἰκισταὶ, οἵτε Αὐτοκράτορες λέγω, καὶ πάντες οἱ ὑπ' αὐτοὺς, τῶν οἰκείων ἀμελοῦντες πολλάκις πραγμάτων, πολλὴν ἐποιοῦντο πρόνοιαν τῶν κοινῶν· τοῦτο καὶ σοφῶς καὶ σαφῶς ἐπιστάμενοι, ὅτι τοῦ κοινοῦ συνισταμένου, ἢ καὶ ἀμελουμένου, καὶ τὸ τινὸς ἴδιον συνίσταται τῷ κοινῷ, ἢ συναπόλλυται πάντως· οὐ μὴν τὸ ἀνάπαλιν, ἤγουν τηρουμένου τοῦ ἰδίου, ἢ φθειρομένου, τὸ κοινὸν τῷ ἰδίῳ ταυτοπαθεῖ· ὅθεν οὕτω πραττόντων, ἵσταντο μὲν αἱ Ἀθῆναι, ἵστατο δὲ Σπάρτη, ἵσταντο Θῆβαι, ἵστατο αὕτη ἡ ἡμετέρα Μητρόπολις, ὡς ἵστασθαι ταύτας ἐχρῆν· ἀφ' οὗ δὲ ἠμέληται μὲν τὰ κοινὰ, ἕκαστος δὲ μόνον τῶν ἰδίων ἔσπευσεν ἔχειν τὴν ἐπιμέλειαν, ᾤχοντο μὲν ἐκεῖναι, ἵσταται δὲ αὕτη, μακροθυμοῦντος ἔτι τοῦ Θεοῦ

Διὰ ταῦτα οὖν σπεύσωμεν θᾶττον ἀντιλαβέσθαι αὐτῆς· μὴ εἴπῃς, διατὶ ὁ δεῖνα πλούσιος, καὶ ὁ δεῖνα μέγας, πλεῖστα δυνάμενοι οὐ θέλουσι τοῦτο ποιεῖν; ἀλλὰ νόμισον ταύτην τὴν Πόλιν, ὁλκάδα εἶναι σεσαθρωμένην, καὶ ἐν θαλάσσῃ μακρᾷ κινδυνεύουσαν ὑπὸ κυμάτων συντρίβεσθαι· πλωτῆρας δὲ ταύτης, πάντας ἡμᾶς, πλουσίους λέγω καὶ πένητας· μὴ δύναταί τις τῶν πλεόντων ἐν ταύτῃ, ἐν τῷ καιρῷ τῆς τρικυμίας εὐλόγως προβάλλεσθαι, διατὶ τῶν ἀρχόντων ὁ δεῖνα, τόσα χρήματα καὶ τόσα ἔχων, μὴ καινουργεῖ τὰ σαθρὰ τῆς νηός; οὐδαμῶς· ἀλλ' ὡς ἕκαστος ἔχει δυνάμεως, ταύτης ἐπιμελεῖται κατὰ σπουδήν· οὕτω κἀνταῦθα χρεὸν καὶ φρονεῖν καὶ ποιεῖν ἡμῶν ἕκαστον· ἐπιμε-

λείας

λείας χρεία συντόμȢ καὶ συντόνȢ, ἀλλ᾽ ἐκ ἐγκλήσεως· ἢ μὴ ἀναδύεσθαι, μηδὲ μέλλειν πόσως· ἡ γὰρ ἀναβολὴ ἐν τοῖς κινδύνοις ταχύτερον ἐπάγει τὸν θάνατον· Ὡς ἂν δὲ μὴ ῥήμασι μόνοις, ἀλλὰ καὶ πράγμασι παραστήσω τὸ ἐμὸν πρὸς τὴν κοινὴν ἡμῶν πάντων μητέρα καὶ χρέος καὶ φίλτρον ἐγὼ, διὰ μὲν τῶν δὲ τῶν ῥημάτων ἤδη τὸ φίλτρον δηλῶ, διὰ δὲ τῶν χρημάτων ἤδη τὸ χρέος πληρῶ· κἂν ἀπαιτοίη πρὸς τȢ́τοις μοι καὶ τροφεῖα, χερσὶ καὶ ποσὶ καὶ ὤμοις τὸ κατ᾽ ἐμὴν δύναμιν ὑποστηρίξωμȢ τὴν μητέρα, καὶ ἐκ ἐάσω καταπεσεῖν· καὶ αὐτοὶ δὲ ὡς ἐκ συνθήματος ἅπαντες, τῇ τȢ πράγματος εἴκοντες ἀπαραιτήτῳ ἀνάγκῃ, ὁ μὲν πολὺ εἰς τὸν ἔρανον τȢ͂τον, ὁ δὲ ὀλίγον καταβαλέτω, μόνον ἐκ προαιρέσεως ἀγαθῆς, μόνον μετὰ ψυχῆς ἐλευθέρας, τὸ κατὰ θέλησιν ἕκαστος τὴν οἰκείαν· μὴ μετὰ γογγυσμȢ͂, μὴ ἔκ τινος βίας, μὴ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός· ΠαύλȢ τȢ͂το τȢ͂ θείȢ φωνή· Ȣ̓ γὰρ ἀπαιτȢ͂μεν αὐθεντικῶς, ἀλλὰ παρακαλȢ͂μεν ἀδελφικῶς ἅπαντας, ἐπὶ τὸ πᾶσι συμφέρον.

Ὅθεν ὑποψίας ἁπάσης ἀνῃρημένης, διαγείρατε πρὸς τȢ͂το καὶ γυναῖκας οἱ ἄνδρες, καὶ μᾶλλον οἱ τȢ̀ς ἐκείνων δεχόμενοι λογισμȢ̀ς οἱ Πνευματικοί· τȢ̀ς ἐν ταῖς ἐνορίαις ὑμῶν δυνατȢ̀ς οἱ Ἀρχιερεῖς, τȢ̀ς γειτονȢ͂ντας οἱ γείτονες, οἱ φίλοι τȢ̀ς φίλȢς, οἱ συγγενεῖς τȢ̀ς ἑαυτῶν συγγενεῖς, καὶ πάντες ἀλλήλȢς, καὶ ἕκαστος ἑαυτόν· ἐπεὶ καὶ ἴδιον ἑκάστῳ τȢ͂το τὸ ἔργον ἐστί, καὶ πᾶσι, καὶ πάσαις προδήλως κοινόν. Εἴπατε τοῖς ἐπερωτῶσι, καιρὸς εἰρήνης ἐστὶ, τίς οἶδε τὸ μέλλον; ἁρπάσωμεν τὸν καιρὸν, χρησώμεθα τῇ ἐκεχειρίᾳ εἰς δέον· ὅτι ὥσπερ τȢ̀ς ἐν εὐδίᾳ πλέοντας, ἢ τὰ πρὸς τὸν χειμῶνα δεῖ ἔχειν ἕτοιμα, ὅτω τȢ̀ς ἐν εἰρήνῃ ζῶντας, καὶ τὰ πρὸς τὴν διαμάχην ἑτοιμάζειν χρὴ βοηθήματα· ἐπεὶ ὥσπερ τὰ τῶν ἀπόντων ἀνθρώπων πράγματα, κτήματα τῶν παρόντων ἐστὶν, ὅτως αἱ ἠμελημέναι τῶν πόλεων, ἁρπάγματα τῶν ὑπεναντίων ἔσαι· καὶ ὥσπερ οἱ ἐπὶ καλῷ σπȢδάζοντες τοῖς ἔμπροσθεν ἐπεκτείνονται, ὅτως οἱ τῶν οἰκείων ἀμελȢ͂ντες

λῦντες πραγμάτων εἰς τὸ κατόπιν ἀναποδίζουσιν· ὅθεν σπουδάζοντες μὲν καὶ τῶν ἐναντίων περιγινόμεθα, ἀμελῦντες δὲ ἑαυτῶν, καὶ μηδενὸς ἐνοχλῦντος φθειρόμεθα.

Ἅψασθε οὖν μετὰ προθυμίας τοῦ ἔργου· καὶ μήτε πρὸς τὸ τοῦ πράγματος ἀπίδοιτε δυσχερὲς, καὶ τὴν τῶν ὑλῶν σπάνιν, μήτε πρὸς τὴν τῶν συνεφαπτομένων ἡμῖν ὀλιγότητα· ἀλλὰ λογίσασθε τἀληθὲς, ὡς εἰ δέκα τινὲς ἀφ' ὑμῶν τῶν πλουσίων Ἀρχόντων, πρὸ τῶν τριάκοντα τούτων ἐτῶν ἐναρξάμενοι τῶν ἤδη παρῳχηκότων, τοσαύτην περὶ τὰ τείχη τῆς πόλεως κατεβάλοντο σπουδὴν καὶ δαπάνην, ὅσην περὶ τὸ κτίζειν τριώροφα ἑαυτοῖς, οὐδὲν ἂν τὸ μέρος τῆς πόλεως τὸ σήμερον ἀκαινούργητον· εἰ δὲ συνομολογεῖτέ μοι πάντες τοῦτον εἶναι τὸν λογισμὸν ἀληθῆ, καὶ τὸ ἐκ τούτου λοιπὸν συναγόμενον δέξασθε, ὅτι ὃ δέκα πλούσιοι ἔμελλον ἐν τριάκοντα χρόνοις ποιῆσαι, τοῦτο καὶ πολλῷ πλείω ἐν ὀλίγῳ χρόνῳ ἐπερχομένῳ, συναιρομένου ἡμῖν τοῦ Θεοῦ, ποιήσομεν σὺν τοῖς δέκα πᾶν τὸ κοινὸν, οἱ ἑπτάκις μυρίων ἐπέκεινα. Ἔχομεν ἡγησάμενον ἔναγχος εἰς παραδείγματος λόγον τούτῳ παραπλήσιον ἔργον, τὸ εἰς τὴν Πελοπόννησον λέγω, παρὰ πᾶσαν ἐλπίδα πραχθὲν, ἐπιστασίᾳ βασιλικῇ, καὶ τοὺς ἐχθροὺς ἡμῶν καταπλῆξαν, καὶ ἔτι, διὰ τὸ θᾶττον γενέσθαι, τοῖς πολλοῖς ἀπιστούμενον. Ἀλλὰ τί πρὸς Θεοῦ παντοκράτορος ἀπεκδέχεσθε ἀμελοῦντες τῆς Πόλεως, καταπεσεῖν ταύτης τὰ τείχη τελείως, καὶ τότε ταῦτα διανιστᾶν; καλάγε ὑμῶν τὰ βουλεύματα· καὶ ποῦ διαρκέσετε; εἰς τὸ τοὺς πολεμίους ἀποσοβεῖν, ἢ τὸ καταπεσὸν μέρος ἀνακτίζειν τοῦ τείχους; τί δὲ ὑμῖν λογιζομένοις δοκεῖ, ἐὰν φθάσῃ προφθάσαι ἡ πτῶσις τὴν ἐπιμέλειαν; πιστεύσατέ μοι λέγοντι τἀληθῆ, οὐκ ἔσαι ἔτι Ῥωμαίων Μητρόπολις αὕτη ἡ Πόλις ἡμῶν, ἀλλὰ πεδίον ἀφανισμοῦ, καὶ φρούριον τῶν ὑπεναντίων, καὶ πολεμία χριστιανῶν ἀπροσμάχητος· καὶ οὐκ ἐν χρόνῳ μακρῷ, ἀλλ' ἐν μιᾷ ἑβδομάδι, Ἐκκλησία, καὶ Βασιλεία, καὶ Πολιτεία, καὶ Ἀρχόντων ἀξίαι, καὶ Παρθενῶνες, καὶ Ξενῶνες, καὶ Μοναστήρια, καὶ κειμήλια, καὶ ἐλευθερία, καὶ

τιμὴ

τιμὴ πᾶσα καὶ δόξα τοῦ γένους ἡμῶν, καὶ πάντα ἡμῶν τὰ καλὰ, ὥσπερ ὀστράκου μεταπεσόντος, οἰχήσεται, καὶ μετὰ πάντων αὐτὸ τὸ ἡμέτερον καύχημα, λέγω δὴ τὸ ὀρθόδοξον.

Πρὶν οὖν πάντα ἀθρόον ἐλθεῖν ἐφ' ἡμᾶς τὰ δεινὰ, ἀσφαλισώμεθα ἑαυτοὺς· ἔχομεν ἔτι καιρὸν· ἀκμὴν δυνάμεθα ἐν οἷς ἐσμὲν, σὺν Θεῷ, ἐπιμεῖναι καὶ ἵστασθαι· μόνον βάλωμεν ἀρχήν· μόνον διεγερθῶμεν οἱ πάντες πρὸς τὴν ἀνάκτισιν· οὐκ ἐγώ τε, καὶ σὺ, καὶ ὁ δεῖνα, ἀλλὰ πάντες· ὅτι καὶ πάντες ὡσαύτως τῷ αὐτῷ καὶ ἑνὶ τείχει περιφρουρούμεθα. Ἐὰν μὴ Χριστὸς φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων· οἶδα κἀγώ· καὶ ὡς ἡ ὁδηγήτρεια σκέπει ταύτην τὴν Πόλιν ἐπίσταμαι· ἀλλὰ δεῖ καὶ ἡμᾶς ποιεῖν τὰ ἀνθρώπινα πάντως, καὶ μὴ πάντη ἀνέτους καὶ ἀνεπιμελήτους εἶναι, καὶ μάλιστα περὶ τὰ ἡμέτερα· ἢ διότι ὁ Κύριος βρέχει, αὐτοὶ οὐ σπείρομεν; καὶ ἐπεὶ ἐλευθερίᾳ παρ' αὐτοῦ τετιμήμεθα, δουλώσομεν ἡμᾶς αὐτοὺς τῷ τυχόντι; καὶ ὅτι ὁ Θεὸς φυλάττει τὴν ἡμετέραν ζωὴν, ἡμεῖς αὐτὴν ἀπολέσομεν;

Πολλάκις συνεβούλευσα τὴν ὑμετέραν ἀγάπην· λέγω καὶ πᾶσιν ἅμα, καὶ ἰδίᾳ ἑκάστῳ, ὅτι τὸ διεῖργον τοὺς ἀσεβεῖς τεῖχος εἰσελθεῖν εἰς τὴν Πόλιν, ἡ τῶν χριστιανῶν ἐστὶν εὐσέβεια· αἱ δὲ τοῦ τοιούτου τείχους ἐπάλξεις, οἱ ἐν ταῖς στοαῖς τοῦ αἰσθητοῦ τῆς Πόλεως ταύτης τείχους τηκόμενοι πένητες· εἰ ὀκνεῖτε τοῦ τείχους ἀντιλαβέσθαι, ἐπιμελεῖσθαι τῶν ἁγίων ἐπάλξεων· ὅτι τούτων αἱ δεήσεις τοὺς ἐχθροὺς διώκουσιν· εἰ δὲ μήτε τὸ αἰσθητὸν ἀνακτίσαι βούλεσθε τεῖχος, μήτε τὰς λογικὰς ἐπάλξεις περιποιεῖσθε, πόθεν ἔσται τῇ Πόλει τὸ ἵστασθαι; Δεῖ δ' ἐπὶ πᾶσι τοῖς εἰρημένοις κἀκεῖνο μάλιστα σκοπεῖν, ὅτι ὁ τὸ τεῖχος ἀνακτίζων τῆς βασιλίδος τῶν Πόλεων, οὐχ ἕνα πεινῶντα καὶ δύο καὶ τρεῖς, οὐδὲ πέντε διψῶντας καὶ ἓξ καὶ ἑπτὰ, οὐ δέκα καὶ εἴκοσι καὶ τριάκοντα ξένους, οὐδὲ πεντήκοντα καὶ ἑξήκοντα καὶ ἑβδομήκοντα γυμνητεύοντας, οὔτε μὴν ἑκατὸν καὶ διακοσίους καὶ τριακοσίους τῶν ἀσθενούντων, ἢ πεντακοσίους καὶ ἑξακοσίους καὶ ἑπτακοσίους ἀναπαύει τῶν

τηρȣμένων ἐν φυλακαῖς, ἀλλὰ μυριάδας ἐκ τȣ́των ἀπείρȣς τὸ καθ᾽ αὑτὸν καὶ τρέφει, καὶ ποτίζει, καὶ εἰσοικίζει, καὶ σκέπει, καὶ ἐπισκέπτεται, καὶ παραμυθεῖται παντοίως, τȣ́ς τε νῦν ὄντας, καὶ γεννηθησομένȣς εἰς τὸ ἑξῆς.

Καὶ οἶδα μὲν ὅτι ταῦτα λαλῶν, ἀηδὴς δοκῶ καὶ φορτικὸς τοῖς πολλοῖς, ἀλλὰ τὶ πάθω; μᾶλλον δὲ τὶ ποιητέον; σιγήσω κἀγὼ περὶ τȣ́τȣ; σιγήσεις αὐτὸς, σιγήσει καὶ ὁ πλησίον, αἰδȣ́μενος δῆθεν μὴ φανῇ προπετής; εἶτα τὶ τὸ ἑπόμενον; ἥξει ἡμῖν ..... ἀλλὰ καλὸν μὲν σιγῆσαι τὸ δύσφημον, δȣ̃ναι δὲ τέλος τῷ λόγῳ· πλὴν ȣ̓κ ἔςιν αἰσχύνη τὸ ταῦτα παῤῥησίᾳ λαλεῖν· αἰσχύνη μὲν ȣ̃ν μᾶλλον μεγίςη, καὶ ἀνατροπὴ ἀναφαίρετος τὸ τὰ τοιαῦτα σιγᾶν· εἰμήτις καὶ τὸν καθεύδοντα ὑπὸ πέτραν ἀποῤῥῶγα, μέλλȣσαν καταπίπτειν, καὶ συντρίβειν τὸν δείλαιον, ἀφυπνίζειν ἐντρέποιτο, ȣ̓κ εἰδὼς ὅτι τὸ τὰ θανατηφόρα σιγᾶν, συγκατασκευάζειν ὑπάρχει τὸν θάνατον, τὸ δὲ προδεικνῦναι τὰ ἐπερχόμενα τῶν δεινῶν, ἐπὶ ζωὴν ἐπανάγει τȣ̀ς κινδυνεύοντας. Ταῦτα μὲν ȣ̃ν ἐμοὶ ἐπιτροχάδην εἰρήσθω περὶ τȣ̃ τῆς Πόλεως ἀνακτίσματος· ὑμῖν δὲ περὶ τȣ̃ πῶς, ἤτοι τῆς κρείττονος μελήσει βȣλῆς· ὁ δὲ Χριςὸς ἔςαι ἀρχὴ ἀμφοῖν, καὶ τέλος. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ,

## ΕΚ ΤΩΝ ΠΕΡΙ ΤΗΣ

# ΤΟΥ ΒΙΟΥ ΜΑΤΑΙΟΤΗΤΟΣ

Ἤδη γραφέντων τοῖς Διδασκάλοις, ὑπόμνησις ῥηθεῖσα τοῖς Βασιλεῦσι, καὶ τοῦ Οἰκουμενικοῦ συνεδριάζοντος τούτοις, ἐπὶ λύπῃ συμβάσῃ.

Θεὸς μνημονευόμενος εὐφραίνει ψυχάς· Θεὸς ἀθυμίας νέφη ῥιπίζει καλούμενος· Θεὸς παρακλήσεως λόγον χορηγείμοι λαλῆσαι νῦν πρὸς ὑμᾶς· καὶ προσέχετε ἤδη ἀπὸ Θεοῦ ἀρχομένῳ, καὶ σὺν Θεῷ, εἰς Θεὸν τελευτήσοντι· Θεὲ δὸς ἡμῖν δύναμιν τοῦ λαλεῖν, καὶ ἀκούειν, καὶ πράττειν ἃ δεῖ. Τῶν ἰατρῶν οἱ πρὸς κάμνοντας εἰσιόντες, ἡνίκα αἴσθωνται τὸ τῆς νόσου τῶν παχόντων δυσράπελον, μὴ προσιέμενον τὰς αὐτῶν συμβουλίας, καὶ μᾶλλον εἰ τύχοιτις τῶν μεγάλων ὁ κάμνων, ἑνὶ τῶν οἰκείων παίδων προστάξαντες Ἱπποκράτους φέρειν μεθ' ἑαυτοῦ, ἢ Γαληνοῦ βιβλίον, ἢ Ἀετίου, οὕτω πρὸς αὐτὸν θαρρούντως εἰσίασι· καίγε περὶ τῆς νόσου ἀρχόμενοι τέως φιλοσοφεῖν πρὸς αὐτὸν, ἐκείνους αὐτίκα προβάλλονται, καὶ μέγα ἐπαίρουσιν, ὡς εἰκὸς, ἐπαινοῦντες τῆς τέχνης, καὶ τῆς σοφίας, καὶ τῆς φρονήσεως· ποιοῦσι δὲ τοῦτο οὐκ ἄπο σκοποῦ, ἀλλὰ σαφῶς ἐπιστάμενοι τοῖς ἐκείνων ἐπιτάγμασι τοῦτον οὐχ ἥκιστα πειθησόμενον, ἢ πάντως τοῖς αὐτῶν· καὶ γὰρ πέφυκεν ἄνθρωπος τοῖς πολλοῖς καὶ μεγάλοις τῶν συγγραφέων ὑπείκειν μᾶλλον, ἢ ἑνὶ τῷ τυχόντι, καὶ οὔπω τὴν ἴσην φήμην αὐτοῖς καὶ δόξαν λαχόντι παρὰ πολλοῖς· ἂν δέπου καὶ παρακρούσηται τούτοις τυχὸν, ἐντεῦθεν

θεν εὔλογον πρόφασιν χῶσιν ἀπολογεῖσθαι λοιπὸν, ὡς ἐκ αὐτῶν παρακύει, ἀλλ' ὧν κατὰ ταύτην τὴν τέχνην ὐδεὶς ὑψηλότερος. Τῦτο τοίνυν κράτιςε Αὐτοκράτωρ, καὶ σὺ ἄριςε Βασιλεῦ, τὸ παρὰ τῶν ἰατρῶν πολλάκις γινόμενον, ὁ τῆς τῦ Χριςῦ Ἐκκλησίας ἀρχιατρὸς καὶ διδάσκαλος ὑτοσὶ, πρὸς τὸ ὑμέτερον κράτος νῦν εἰσελθὼν, ἤδη ποιεῖ δι' ἐμῦ· καὶ γὰρ κελεύσας μοι τύτῳ ἕπεσθαι, ὡς τὴν αὐτῦ ἐπιςήμην περισκοπῦντι, ἀνθ' Ἱπποκράτυς βιβλίων, καὶ Ἀετίυ, καὶ Γαληνῦ, τῶν τριῶν τῆς οἰκυμένης μεγάλων φωςήρων, Βασιλείυ φημὶ Γρηγορίυ τε καὶ Ἰωάννυ, τῶν πάνυ, λόγυς ψυχῆς ἰατῆρας ἀρίςυς ἐν τῷ ςήθει λαβεῖν με προσέταξεν, ὓς δὴ καὶ προσάγομεν προσήνως τῇ ὑμῶν βασιλείᾳ, λύπης ἀλεξιτήρια φάρμακα· μᾶλλον δ' οἱ προῤῥηθέντες φωςῆρές τε καὶ πατέρες, τῇ ὑμῶν φιλακροάμονι καὶ φιλαλήθει σοφίᾳ, προσάγυσι δι' ἡμῶν, ὓς αὐτοὶ προσηκάμενοι ἄσμενοι ὑπὲρ μέλι καὶ γάλα εὑρήσετε τύτυς γλυκάζοντας, καὶ αἱ καρδίαι ὑμῶν δροσιθήσονται.

Καὶ δὴ ἐπιςήσατε δεῦρο, τί πρῶτος πρὸς ὑμᾶς ὁ ὐρανοφάντωρ φησὶ „ τὰ τερπνὰ ὑμῖν ὦ ἄνθρωποι, τοῖς λυ-
„ πηροῖς ἀναμέμικται· τῷόντι γὰρ ὐδὲν τῶν ἀνθρωπίνων
„ ἀγαθὸν ἀκραιφνὲς, ἀλλ' εὐθὺς αἱ λῦπαι ταῖς εὐφροσύ-
„ ναις παραπεπήγασι· τῷ γάμῳ ἡ χηρεία, τῇ παιδοποιΐᾳ
„ ἡ ἀεὶ μέριμνα, ταῖς εὐπαιδίαις αἱ ἀποβολαὶ, ταῖς εὐημε-
„ ρίαις αἱ ζημίαι, ταῖς περιφανείαις αἱ ἀτιμίαι, ταῖς τρυ-
„ φαῖς αἱ πλησμοναὶ, ταῖς ὑγείαις αἱ ἀῤῥωςίαι, καὶ ὐ μό-
„ νον τὰ λυπηρὰ τῦ βίυ φορτικὰ, ἀλλὰ καὶ αὐτὰ τὰ δο-
„ κῦντα ἡδέα τῇ μεταβολῇ ἀνιαρὰ, καὶ χεδὸν θλίψεων
„ καὶ δακρύων μεςὸν ὁδεύομεν βίον· Καὶ εἰ θέλεις γνῶναι,
„ μάθε τὰ λυπηρὰ τῦ βίυ· ἐσπάρη ὁ ἄνθρωπος ἐν τῇ μή-
„ τρᾳ, ἀλλὰ θλίψις τῇ σπορᾷ ἡγήσατο· κατεβλήθη τὸ
„ σπέρμα εἰς τὴν τῆς φύσεως αὔλακα, μόνον ἐνθυμηθῶ-
„ μεν, ἐρυθριῶμεν τὰ προοίμια τῆς γεννήσεως· ἠλλοιώθη
„ τὸ καταβληθὲν εἰς αἷμα, ἐπαχύνθη τὸ αἷμα εἰς σάρκα,
„ ἐμορφώθη ἡ σὰρξ τῷ χρόνῳ, ἐψυχώθη τὸ μορφωθὲν ὑ-

πὲρ

περ λόγον, ἐτράφη ὁ ψυχωθεὶς τοῖς κατὰ φύσιν σκιρτᾷ τὸ ἔμβρυον, ςενοχωρέμενον δυχεραίνει πρὸς τὸ τῆς φύσεως δεσμωτήριον, ἰλυσπᾶται δίκίω σκώληκος, ἢ βδέλλης ἐν κοιλίᾳ· τὴν εἰς τὸ φῶς πρόοδον ἀπεκδέχεται· ἀλλ' ἦλθε μόλις ὁ χρόνος τȣ͂ τόκȣ, ἐλύθη τῶν ὠδίνων τὰ κλεῖθρα, ἀνεῴχθησαν αἱ τῆς φύσεως θύραι, ἀπέλυσεν ἡ μήτρα ὃν κατεῖχεν, ἐξώλισθεν εἰς τὸν βίον ὁ τῆς θλίψεως πύκτης, ἀνέπνευσεν ἀέρα ἡ τῆς κτίσεως γλῶττα, καὶ τί μετὰ τȣ͂το; πρώτη φωνῆ, ἔκλαυσεν· ἀρκεῖ ἀπὸ τῶν προοιμίων γνῶναι τὸν βίον. Ἔπεσεν εἰς τίω γίω τὸ βρέφος, καὶ ȣ̓κ ἐγέλασεν, ἀλλ' εὐθὺς πεσὸν τῶν πόνων ἀντελάβετο, καὶ κλαίει· ἔγνω γὰρ, ὅτι εἰς τίω τῆς θλίψεως ἐναυάγησε θάλασσαν· περισφίγγεται σπαργάνοις, τρέφεται μετὰ δακρύων, ἀναισθητεῖ τὸ πλέον, ἀπεγαλακτίσθη καὶ μὴ βȣλόμενος, εἰς παῖδας τελεῖ, καὶ δέδοικε γονέας, οἰκέτας, κῦνας, κρημνȣ̀ς, ὀλίσθȣς· μειρακίσκος γέγονε, καὶ παιδαγωγοῖς παρεδόθη εἰς λόγȣς· ἴδε φόβος ἄνεσιν ȣ̓κ ἔχων· ἐραθύμησεν, ἐμαςίχθη, τεθρόηται, καὶ ἠγρύπνησεν· ἀλλ' ἐξέμαθε καὶ προέκοψε κατὰ μικρὸν, ἀπηρτίσθη ἐν λόγοις, ἐπεδείξατο εὐδοκίμως, διὰ πάσης ἰδέας λόγων ἀςράπτει, νομικῆς πεπλήρωται πείρας, πάντα δὲ ταῦτα μόχθοις μακροῖς καὶ πόνοις· εἰς ἄνδρας προέβη τῷ χρόνῳ; ςρατείᾳ ἑαυτὸν ἐπέδωκεν; ἀρχὴ πάλιν μειζόνων θλίψεων, καὶ πλειόνων φροντίδων· φοβεῖται ἄρχοντας, ὑφορᾶται ἐπιβȣλὰς, προσήλωται τῷ κέρδει, ἐρευνᾷ, λυσσᾷ περὶ τὸ πλέον, ἀγρυπνεῖ ἐν ταῖς δίκαις, ζῇ ἐν λογοθεσίοις, ἀποδημεῖ ἀρχόμενος, ἀκολȣθεῖ ἄκων, κάμνει ὑπὲρ δύναμιν, ἐν ταῖς νυξὶ φροντίζει, ἐν ἡμέρᾳ παρέςηκεν ὡς δȣ͂λος· ἡ γὰρ χρεία τίω ἐλευθερίαν ἐπώλησεν. Εἶτα μετὰ ταῦτα πολλάκις καμὼν, καὶ ἀρέσας, τιμῶν ἠξιώθη, πρὸς ὕψος ἀρχῆς ἀνήχθη, ἐπιςατεῖ ἐθνῶν, ςρατοπέδοις κελεύει, ὡς Ὕπατος φιλοτιμεῖται, ἐσώρευσε πλȣ͂τον· ἀλλὰ συναπέδραμε τοῖς καμάτοις ὁ χρόνος, καὶ συνέφθασε τῷ ἀξιώματι τὸ γῆρας, καὶ πρὶν ἢ ἀπολαύσῃ τȣ͂ πλȣ́τȣ, ἀπῆλθεν ἀναρπαθεὶς τȣ͂ βίȣ, καὶ ἐν αὐτῷ τῷ λιμένι ὑπέμεινε τὸ ναυάγιον·

„ υάγιον· συνακολουθεῖ γὰρ ταῖς ματαίαις ἐλπίσι, κατα-
„ γελῶν τῶν βροτῶν ὁ θάνατος.

„ Τοιοῦτος ὁ τῶν ἀνθρώπων βίος· ἄστατος θάλασσα, „ ἀὴρ ἀνώμαλος, ὄναρ ἀβέβαιον, ῥεῦμα παρατρέχον, „ καπνὸς διαλυόμενος, σκιὰ μεταπηδῶσα, πέλαγος ὑπὸ „ κυμάτων ὀχλούμενον· καὶ ἡ μὲν ζάλη φοβερά, ὁ δὲ πλοῦς „ ἐπισφαλής, οἱ δ' ἐπιβάται νυστάζομεν. Ἄνθρωπε, εἰ „ τοσοῦτος ὁ χειμὼν τῆς κτήσεως, ποῦ τὸ ἔαρ τῆς ἀπολαύ- „ σεως; εἶδες τὴν ζάλην, κυβέρνησόν σου τὸν χειμῶνα· „ βλέπε πῶς πλέεις, μὴ ὑπέραντλον ποιήσῃς τὸ σαυτοῦ „ σκάφος, ἢ τῷ ἐξ ἀδικιῶν πλούτῳ, ἢ τῷ ἐκ τῶν παθῶν „ φόρτῳ. Διὰ τοῦτο ὁ μακάριος Παῦλος βοᾷ „ ἔστι πορισ- „ μὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας· καὶ καθάπερ „ οἱ τινὰ συντεταμένην πορείαν ἀνύοντες, ἐπὶ τὰ πρόσω „ τὰς τῶν ποδῶν βάσεις, ἁμιλλωμένας ἀλλήλαις εἰς δρόμον „ ἀμείβοντες, καὶ τὴν ἀεὶ προτέραν ἐπὶ τὴν γῆν ἐρειςθεῖ- „ σαν δευτέραν ἀποδεικνῦντες, τῇ ταχείᾳ μεταθέσει τῆς „ ἄλλης, ῥᾳδίως ἐπὶ τὸ τῆς ὁδοῦ τέρμα χωροῦσιν, οὕτως οἱ „ πρὸς τὸ ζῆν παραχθέντες ὑπὸ τοῦ κτίσαντος, εὐθὺς ἐν „ ἀρχῇ τοῖς τοῦ χρόνου τμήμασιν ἐπεμβαίνοντες, καὶ τὸ „ πρότερον ἀεὶ καταλιμπάνοντες ὕστερον, ἐπὶ τὸ πέρας „ φθάνουσι τῆς ζωῆς· ἢ οὐχὶ καὶ ὑμῖν δοκεῖ, συνεχής τις ὁ- „ δὸς ὑφηπλῶσθαι ἡ παροῦσα ζωή, καὶ πορεία διειλημμένη „ ταῖς ἡλικίαις καθάπερ σταθμοῖς, ἀρχὴν μὲν ἑκάστῳ τῆς „ ὁδοιπορίας παρέχουσα τὰς τῶν μητέρων ὠδῖνας, τέρμα δὲ „ ὑποδεικνῦσα τοῦ δρόμου τὰς τῶν τάφων σκηνάς, καὶ πρὸς „ ἐκείνας ἅπαντας ἄγουσα, τοὺς μὲν θᾶττον, τοὺς δὲ βρα- „ δύτερον; καὶ τοὺς μὲν διὰ πάντων τῶν τοῦ χρόνου διαστη- „ μάτων ὁδεύσαντας, τοὺς δὲ οὐδὲ τοῖς πρώτοις ἐναυλισθέντας „ τοῦ βίου σταθμοῖς; καὶ ταῦτα μὲν οὕτως. Ὁ δὲ θεολόγος Γρηγόριος τοῖς ἔπεσι φησί.

Τίς γενόμην; τίς δ' εἰμί; τί δ' ἔσσομαι οὐ μετὰ δηρόν;
Τίς; πόθεν ἐς βίον ἦλθον; ἐπειδή με γαῖα καθέξει,
Τίς πάλιν ἐκ κόνιος ἔσσομ' ἀνιστάμενος;

Πῆ

Πῆ δὲ φέρων στήσειμε Θεὸς μέγας; ἢ ῥα σαώσει
 Ἔνθεν ἀναστήσας εὔδιον ἐς λιμένα;
Πολλαὶ μὲν βιότοιο πολυτλήτοιο κέλευθοι,
 Ἄλλος δ᾽ ἀλλοίοις πήμασι συμφέρεται.
Οὐδὲν ἐν ἀνθρώποισι καλὸν κακότητος ἄμικτον,
 Εἴθε δὲ μὴ τὰ λυγρὰ πλείονα μοῖραν ἔχεν.
Ὁ πλοῦτος μὲν ἄπιστος, ὁ δὲ θρόνος ὀφρὺς ὀνείρων.
 Ἄρχεσθαι δὲ μόγος, ἡ πενίη δὲ πέδη.
Κάλλος δ᾽ ἀστεροπῆς τυτθὴ χάρις· ἡ νεότης δὲ
 Βράσμα χρόνου. Πολιὴ, λυπρὰ δύσις βιότου.
Οἱ δὲ λόγοι, πτερόεντες· ἀὴρ, κλέος· αἷμα παλαιὸν,
 Εὐγενέται· Ῥώμη, καὶ συὸς ἀγροτέρου.
Ὑβριστὴς δὲ κόρος· δεσμὸς, γάμος· εὐτεκνίη δὲ,
 Φροντὶς ἀναγκαίη· δυστεκνίη δὲ, νόσος.
Αἱ δ᾽ ἀγοραὶ, κακίης μελεδήματα· ἠρεμίη δὲ,
 Ἀδρανίη· τέχναι, τῶν χαμαὶ ἐρχομένων.
Στεινὴ δ᾽ ἀλλοτρίη μάζα· τὸ δὲ γαῖαν ἀρόσσειν,
 Μόχθος· ποντοπόρων τὸ πλέον, εἰν ἀΐδῃ.
Ἡ πάτρη δὲ, βέρεθρον ἐόν· ξενίη δὲ τ᾽ ὄνειδος.
 Πάντα μόγος θνητοῖς· τἀνθάδε πάντα γέλως.
Χνοῦς, σκιὰ, φάσμα, δρόσος, πνοιὴ, πτερὸν, ἀτμὶς, ὄνειρος,
 Οἶδμα, ῥόος, νηὸς ἴχνιον, αὖρα, κόνις.
Κύκλος ἀειδίνητος ὁμοῖια πάντα κυλίνδων,
 Ἑστηὼς, τροχάων, λυόμενος, πάγιος,
Ὥραις, ἤμασι, νυξὶ, πόνοις, θανάτοισιν, ἀνίαις.
 Τερπωλῆσι, νόσοις, πτώμασιν, εὐδρομίαις.
Καὶ τόδε σῆς γενέτορ σοφίης Λόγε, ἀστατέοντα
 Πάντα πέλειν, στασίμων ὥσκεν ἔχοιμεν ἔρον.
Πάντα νόου πτερύγεσσιν ἐπέδραμον, ὅσσα παλαιὰ,
 Ὅσσα νέα· θνητῶν δ᾽ οὐδὲν ἀκιδνότερον.
Ἓν μόνον ἀνθρώποισι καλὸν, καὶ ἔμπεδόν ἐστιν
 Ἔνθεν ἀφορμᾶσθαι σταυρὸν ἀειρομένους.
Δάκρυά τε, στοναχαί τε, νόος θείοισι μεμηλὼς,
 Ἐλπὶς, καὶ Τριάδος λάμψις ἐπουρανίης.
Μιγνυμένης καθαρσοῖσι, χοὸς λύσις ἀφραδέοντος.
 Εἰκόνος ἀφθορίη, τὴν λάχομεν θεόθεν.

.... Ὡς

. . . . . . . . Ὡς ἅπαν ἐσθλὸν
Ζωῆς ἡμετέρης, δίσομος ἐςὶ χάρις.
Δέξαθαι, ῥίψαιτε μετρȣμενον ἦμαρ ἐπ' ἦμαρ.
Βαιὸν λαιμὸς ἔχει, τ' ἄλλα δὲ πάντ' ἀμάρη.
Χεῖμα πάλιν, θέρος αὖθις, ἀμοιβαδὸν εἶαρ, ὀπώρη.
Ἤματα καὶ νύκτες, Φάσματα διοσὰ βίȣ.
Οὐρανὸς, αἶα, θάλασσα, νεώτερον ȣδὲν ἔμοιγε,
Οὐθ' ὅσα πηκτὰ πέλει, ȣ̓θ' ἃ περιτρέπεται.
Τῶν κόρος· ἄλλον ἔμοιγε βίον καὶ κόσμον ὀπάζοις.
Τῷ μογέων, πρόφρων πήματα πάντα φέρω.
Αὐτὸ δ' ὅσον πνείω, ποταμȣ̃ ῥόος ὦκα θέοντος,
Αἰὲν ἀπερχομένȣ, ἐρχομένȣ τ' ὄπιθεν.
Ἐσαιὸς ȣδὲν ἔχοντος, ὅλον κόνις ὄμματ' ἐμεῖο
Βάλλȣσ' ὡς Θεȣ̃ τῆλε πέσω φαέων.
Τοῖος ἅπας μερόπων δειλῶν βίος, οἷσι μέμηλεν
Ἐλπὶς ὀνειραίη. . . . . . . . .

Ὁ μὲν τοι τὴν γλῶτταν χρυσȣ̃ς Ἰωάννης „ ὕπνος „ Φησὶν ὁ παρὼν βίος, καὶ ὀνειράτων ȣδὲν τὰ ἐν αὐτῷ διενή- „ νοχε· καθάπερ γὰρ οἱ καθεύδοντες καὶ παραφθέγγον- „ ται, καὶ ὁρῶσι πολλάκις ȣδὲν ὑγιὲς, ȣ̓́τω καὶ ἡμεῖς, „ μᾶλλον δὲ καὶ πολλῷ χεῖρον· ὁ μὲν γὰρ αἰχρά τινα πρά- „ ξας, ἢ καὶ εἰπὼν ὄναρ, ἀπαλλαγεὶς ἐκ τȣ̃ ὕπνȣ, καὶ τῆς „ ἀχημοσύνης ἀπήλλακται, καὶ δίκην ȣ̓ δίδωσιν· ἐνταῦθα „ δὲ ȣ̓χ ȣ̓́τως, ἀλλὰ καὶ ἡ αἰχύνη, καὶ ἡ τιμωρία ἀθάνα- „ τος· καὶ εἴτις ἐν ἔτεσιν ἑκατὸν, μίαν νύκτα ὄναρ ἰδὼν „ χρηςὸν, καὶ πολλῆς καθ' ὕπνȣς ἀπολαύσας τρυφῆς, τὰ „ ἑκατὸν ἔτη κολάζοιτο, ἆρα τὴν μίαν νύκτα τῶν ὀνειρά- „ των ἐκείνων, τοῖς ἑκατὸν ἀντίῤῥοπον εἴποι; ὅ γὰρ ἐςὶν „ ὄναρ ἓν πρὸς ἑκατὸν ἔτη, τȣ̃το ἐςὶν ὁ παρὼν βίος πρὸς τὴν „ μέλλȣσαν ζωήν· μᾶλλον δὲ καὶ πολλῷ ἔλαττον· ὅσον ἐςὶ „ ςαγὼν μικρὰ πρὸς πέλαγος ἄπειρον, τοσȣ̃τον ἐςὶ χίλια „ ἔτη πρὸς τὴν μέλλȣσαν ἐκείνην ἀπόλαυσιν· καὶ τί γὰρ „ ἂν ἔχοι τις πλέον εἰπεῖν, ἢ ὅτι πέρας ȣ̓κ ἔχει, καὶ τέλος „ ȣ̓κ οἶδε; καὶ ὅσον ἐςὶ τὸ μέσον ὀνείρων καὶ τῆς τῶν πραγ- „ μάτων ἀληθείας, τοσȣ̃τον ἐςὶ τῆς καταςάσεως ταύτης „ καὶ τῆς ἐκεῖ τὸ διάφορον.

„ Καὶ

Καὶ θαῦμα πῶς καὶ οἱ ἔξω, νῦν μὲν φασὶν „ ἀνάνηφε, καὶ ἀνακαλοῦ σεαυτὸν, καὶ ἐξυπνισθεὶς πάλιν καὶ ἐννοήσας, ὅτι ὄνειροί σοι ἠνώχλουν, πάλιν ἐγρηγορὼς βλέπε ταῦτα, ὡς ἐκεῖνα ἄγχος ἔβλεπες· νῦν δὲ, ἀνθρώπῳ οὐδενὶ συμβαίνειν τι δύναται, ὃ οὐκ ἔστιν ἀνθρωπικὸν σύμπτωμα, καθάπερ οὐδ' ἵππῳ ὃ οὐκ ἔστι τῶν ἱππικῶν· εἰ οὖν ἑκάστῳ συμβαίνει ὃ καὶ εἴωθε καὶ πέφυκε, τί δυσχεραίνεις; οὐ γὰρ ἀφόρητόν σοι ἡ κοινὴ φύσις φέρει· τί ταράσσῃ; τίς σε ἐξίστησι; τὸ αἴτιον; σκέψαι τοῦτο· ἀλλ' ἡ ὕλη; ἴδε αὐτήν· ἔξω δὲ τούτων οὐδέν ἐστι· νῦν δὲ, ἀπροσδεές ἐστιν ὅσον ἐφ' ἑαυτῷ τὸ ἡγεμονικὸν, ἐὰν μὴ ἑαυτῷ ἔνδειαν ποιῇ· κατὰ ταυτὰ δὲ καὶ ἀτάραχον, καὶ ἀνεμπόδιστον, ἐὰν μὴ ἑαυτὸ ταράσσῃ καὶ ἐμποδίζῃ· ἀκαταμάχητόν τε γίνεται, ὅταν εἰς ἑαυτὸ συστραφὲν ἀρκεσθῇ ἑαυτῷ, μὴ ποιοῦντι ὃ μὴ θέλει, κἂν ἀλόγως παρατάξηται· τί οὖν ὅταν καὶ μετὰ λόγου περιεσκεμμένως κρίνῃ περί τινος; διὰ τοῦτο ἀκρόπολίς ἐστιν ἡ ἐλευθέρα παθῶν διάνοια· οὐδὲν γὰρ ὀχυρώτερον ἔχει ἄνθρωπος, ἐφ' ὃ καταφυγὼν ἀνάλωτος λοιπὸν ἂν εἴη.

Ἀλλ' ἵνα πάλιν ἐκεῖ καταλήξωμεν ὅθεν τοῦ λόγου ἡψάμεθα, καὶ στίχος ὁ λόγος ἡμῖν γένηται οὑτοσὶ, ἄρτι κάτωθεν ἀναχωροῦντες, ὡς ἤδη ἄνωθεν κάτω λέγειν ἠρξάμεθα, πρῶτον μὲν τοῦτο φαμὲν, τὸ τοῦ Χρυσοῤῥήμονος „ εἴτις σε εἰς βασιλείαν ἐκάλει τὴν ἐν τῇ γῇ, εἶτα πρὶν εἰς τὴν πόλιν εἰσελθεῖν, ἐν ᾗ τὸν στέφανον ἀναδήσεσθαι ἔμελλες ἐν πανδοχείῳ καταλῦσαι ἐχρῆν, ἐν ᾧ καὶ βόρβορος, καὶ καπνὸς, καὶ ὁδοιπόρων θόρυβος, καὶ λῃστῶν ταραχὴ, καὶ στενοχωρία, καὶ θλῖψις πολλὴ, ἆρα ἂν ἀπεστράφης πρὸς ἐκεῖνα τὰ λυπηρά; ἀλλ' οὐκ ἂν ἁπάντων αὐτῶν, ὡς οὐδὲν ὄντων κατεφρόνησας; πῶς οὖν οὐκ ἄτοπον, τῆς μὲν γῆς μέλλοντα κρατεῖν, μηδενὶ τῶν ἐμπιπτόντων συστέλλεσθαι δυσχερῶν, ταῖς τῆς βασιλείας ἐλπίσι γαυρούμενον, πρὸς δὲ τοὺς οὐρανοὺς στελλόμενον, καταπίπτειν καὶ θορυβεῖσθαι, ἐφ' ἑκάστῳ τῶν ἐν τῷ καταγωγίῳ τούτῳ συμβαινόντων ἡμῖν λυπηρῶν; καταγωγίου γὰρ, καὶ τῆς ἐν πανδοχείῳ μονῆς, οὐδὲν αὕτη ἡ τοῦ βίου

„ κατάστασις διηνιόχει. Δεύτερον δὲ, τὸ τοῦ Θεολόγου Γρη-
„ γορίου ἐκεῖνο „Φύσει μὲν γὰρ οὐδὲν τῶν ἀνθρωπίνων βέ-
„ βαιον, οὐδ᾽ ὁμαλὸν, οὐδ᾽ αὔταρκες, οὐδὲ ἐπὶ τῶν αὐτῶν
„ ἱστάμενον, ἀλλὰ κύκλος τις τῶν ἡμετέρων περιτρέχει
„ πραγμάτων, ἄλλοτε ἄλλας ἐπὶ μιᾶς ἡμέρας πολλάκις,
„ ἔστι δ᾽ ὅτε καὶ ὥρας, φέρων μεταβολάς· καὶ αὔραις μᾶλ-
„ λον ἐστὶ πιστεύειν οὐχ ἱσταμέναις, καὶ νηὸς ποντοπορούσης
„ ἴχνεσι, καὶ νυκτὸς ἀπατηλοῖς ὀνείρασιν, ὧν πρὸς ὀλίγον
„ ἡ χάρις· καὶ ὅσα κατὰ ψαμμάθων παῖδες τυποῦσι παί-
„ ζοντες, ἢ ἀνθρώπων εὐημερία. Καὶ τρίτον τοῦ πρώτου
ἐχόμενον, τὸ τοῦ μεγάλου Βασιλείου νῦν πρὸς σὲ τὸν Αὐ-
„ τοκράτορα μᾶλλον εὐκαίρως λεγόμενον „ἀνάγαγε σεαυ-
„ τοῦ τὴν ψυχὴν, πρός τε τὰ ἤδη ὑπηργμένα σοι παρὰ
„ Θεοῦ ἀγαθὰ, καὶ πρὸς τὰ δι᾽ ἐπαγγελίας ὕστερον ἀπο-
„ κείμενα· πρῶτον μὲν ἓν ἄνθρωπος εἶ μόνον τῶν ζώων
„ Θεόπλαστον· ἆρ᾽ οὐκ ἀρκεῖ τοῦτο σωφρόνως λογιζομένῳ,
„ πρὸς εὐθυμίαν τὴν ἀνωτάτω, τὸ ὑπ᾽ αὐτῶν τῶν χειρῶν
„ τοῦ Θεοῦ τοῦ πάντα συστησαμένου διαπλασθῆναι; ἔπειθ᾽ ὅτι
„ κατ᾽ εἰκόνα γεγενημένος τοῦ κτίσαντος, δύνασαι πρὸς τὴν
„ τῶν Ἀγγέλων ὁμοτιμίαν, δι᾽ ἀγαθῆς πολιτείας ἀναδρα-
„ μεῖν· ψυχὴν ἔλαβες νοερὰν, δι᾽ ἧς Θεὸν περινοεῖς, τῶν
„ ὄντων τὴν φύσιν λογισμῷ καθορᾷς, σοφίας δρέπῃ καρ-
„ πὸν τὸν ἥδιστον· ταῦτα μὲν δὴ τὰ ἀνθρώπινα· τὰ δὲ ἔτι
„ μείζω, διὰ σὲ Θεὸς ἐν ἀνθρώποις, Πνεύματος ἁγίου δια-
„ νομὴ, θανάτου κατάλυσις, ἀναστάσεως ἐλπὶς, θεῖα προ-
„ στάγματα τελειοῦντά σου τὴν ζωὴν, πορεία πρὸς Θεὸν διὰ
„ τῶν ἐντολῶν, βασιλεία τῶν οὐρανῶν εὐπρεπής· ἧς μέ-
τοχον δι᾽ ὑπομονῆς, καὶ τῆς πρὸς τὸ θεῖον εὐχαριστίας,
σὺν ἡμῖν ἅπασι, τὸ ὑμέτερον κράτος ἐν Χριστῷ, Γένοι-
το! Γένοιτο!

ΤΟΥ ΑΥΤΟΥ

# ΠΑΡΑΜΥΘΙΑ ΡΗΘΕΙΣΑ

ΠΡΟΣ

## ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ,

Ἐν τοῖς Στουδίου, ἐπὶ τῇ τελευτῇ τῆς αὐτοῦ Νύμφης Ἄννης· παρουσιάζοντος αὐτόθι τοῦ Πατριάρχου, καὶ τοῦ Βαΐουλου, καὶ τοῦ Ποτέσα, καὶ τῶν περὶ αὐτούς.

Ὁ ἁγιώτατος ἡμῶν οἰκουμενικὸς οὑτοσὶ Πατριάρχης, καὶ πάντες οἱ τὴν τοῦ σοῦ κράτους καὶ ζωὴν καὶ ὑγείαν ποθοῦντες κράτιστε Αὐτοκράτορ, τὴν δὲ συντομωτάτην ποιοῦνται δι' ἐμοῦ πρὸς τὸ σὸν κράτος ὑπόμνησιν. Αὐτοκράτωρ εἶ, μὴ μόνον τοῦ τῶν Ῥωμαίων γένους, ἀλλὰ καὶ τῶν ἀγεννῶν παθῶν Αὔγουστε· εἰς σὲ τῶν ὑπὸ σὲ πάντων οἱ ὀφθαλμοὶ ἀποβλέπουσιν, ὡς εἰς διδάσκαλον μετὰ Θεὸν, καὶ Κύριον, καὶ Πατέρα· τὰς κλήσεις ταύτας αἰδέσθητι φίλτατε πᾶσι, καὶ μὴ σαυτὸν ἀγνοήσῃς τῇ ἀθυμίᾳ κατεργασθεὶς, ἀλλὰ τὸ γενόμενον ὅθεν σκοπήσας, καὶ ὅτι θεία χάρις τὸ πᾶν, (τοιαῦτα γὰρ πάντα τὰ πρὸς Θεοῦ ἡμῖν ἥκοντα·) μὴ ἀθετήσῃς τὴν δωρεὰν, μηδὲ δυσχεράνῃς προῖκα ταύτην δεξάμενος· ἄφες τῇ γῇ τὰ τῆς γῆς, ἔασον τὰ τῆς τέφρας τῇ κόνει· τί γὰρ σοὶ καὶ τῇ γῇ, τῷ μετ' ὀλίγον εἰς οὐρανοὺς βασιλεύσοντι; τί διάκεισαι προσπαθῶς πρὸς τὰ ῥέοντα; κατάλιπε τοὺς νεκροὺς κλαίειν τοὺς ἑαυτῶν νεκρούς· νεκρὸν γὰρ πᾶν τὸ φθειρόμενον· ἕπου τῷ Λόγῳ τῷ διὰ σὲ κενωθέντι, καὶ ὅλον σε φέροντι μετὰ τῶν

σῶν· τρόπῳ δίδαξον ἡμᾶς τὸ ἀήττητον ἐν ταῖς συμφοραῖς· πράγματι δεῖξον τὸν ἔνδον φιλόσοφον· ἔργῳ παράστησον, ὅτι τὰ πράγματα αὐτὰ οὐκ ἔχει πρὸς τὴν ψυχὴν εἴσοδον, οὔτε μὴν τρέψαι, οὔτε κινῆσαι ψυχὴν δύνανται, ἀλλ᾽ οἵων ἂν κριμάτων καταξιώσῃ ἑαυτὴν, τοιαῦτα ἑαυτῇ ποιεῖ τὰ προῦφεστῶτα· ὅτι πᾶσαι αἱ περιστάσεις καὶ αἱ θλίψεις αἱ μὴ μετέχουσαι ὑπομονῆς, διπλῆ ἐστὶν ἡ βάσανος αὐτῶν· ὑπομονὴ γὰρ ἀνθρώπου, ἀποβάλλει τὰς συμφορὰς αὐτοῦ· εἰ δὲ ἀπὸ τοῦ παρ᾽ ἐλπίδα ἐπελθόντος θανάτου τῇ Νύμφῃ ἐπτόησαι, καὶ τεθόλωταί σου τῷ πάθει ὁ νοῦς ὁπωσοῦν, ἀνάσχου διηγουμένων ἡμῶν, καὶ ὑπομιμνησκόντων σε, τί χρὴ λογίζεσθαι νῦν. Καὶ δὴ δεῦρό μοι ὅλον μετάθες τὸν νοῦν.

Ὁ Θεὸς τὸν ἄνθρωπον Αὔγουστε, ὅτε τὸ κατ᾽ ἀρχὰς ἐποίει, πολλαῖς καὶ μεγάλαις χάρισι κατεκόσμησε, καὶ πρό γε πασῶν τὸ κατ᾽ εἰκόνα εἶναι τὴν ἑαυτοῦ, τὸ καθ᾽ ὁμοίωσιν, τὸ αὐτεξούσιον εἶναι, τὸ ἄρχοντα τοῦδε τοῦ κόσμου, τὸ φυτοκόμον τῆς Ἐδὲμ, καὶ φύλακα, καὶ κληρονόμον εἶναι· καὶ ἁπλῶς εἰπεῖν, οὐδὲ λόγος ἰσχύει τὸ πλῆθος καὶ τὸ μέγεθος παραστῆσαι τῶν χαρίτων, αἷς πρὸ τῆς παραβάσεως τοῦτον ὁ παντουργέτης ἐκόσμησε· πλὴν καὶ τὴν ἐντολὴν παραβάντι, μεγάλην αὖθις τούτῳ δέδωκε χάριν, καὶ οἵαν οὐδεὶς αὐτῷ δοῦναι, οὔτ᾽ αὐτὸς ἑαυτῷ, δύναμιν ἔχων τὴν κρείττω μοῖραν ἐκλέξασθαι, ὑπῆρξεν ἂν ἱκανὸς παρασχεῖν. Ἀλλ᾽ ἐκείνας μὲν τὰς πρὸ τῆς παρακοῆς χάριτας εἴληφεν, ἅτε ἐκ τοῦ μὴ ὄντος, ἄρτι καὶ νεωστὶ καὶ προσφάτως παραχθεὶς εἰς τὸ εἶναι, εὐδοκίᾳ μόνῃ τοῦ καὶ πλάσαντος αὐτὸν καὶ τιμήσαντος, τὴν δὲ μετὰ τὴν παράβασιν ταύτην, ἄκρᾳ φιλανθρωπίᾳ, καὶ ἀῤῥήτῳ οἰκονομίᾳ πάλιν αὐτοῦ τοῦ πάντα μεταποιοῦντος ἐπὶ τὸ βέλτιον· αὕτη δὲ οὐδὲν ἄλλο ἐστὶν, ἢ μόνος ὁ θάνατος, ἡ δοκοῦσα τοῖς πολλοῖς τιμωριῶν βαρυτάτη, καὶ συμφορὰ ἀπαραίτητος, τοῖς μέντοι νοῦν ἔχουσι καὶ λόγου μετόχοις, εἰς ἀνθρώπους εὐεργεσία μεγίστη τε καὶ καλλίστη παρὰ Θεοῦ· ὡς γὰρ οὐδὲν ἂν ἴσον χά-

ρισμα ἐπινοηθείη, τῷ προσφάτως παραχθέντι ἐκ τῦ μὴ ὄντος εἰς τὸ εἶναι, τῦ ὅμοιον γενέσθαι τῷ τῦτον παράγοντι, ὕτως ὐδὲν ἂν δώρημα δωρηθείη μεῖζον τῷ προθεμένῳ ἁμαρτάνειν δι᾽ ὅλυ, ἢ τὸ διακοπῆναι τελείως τὴν ἐπὶ τὸ ἁμαρτάνειν αὐτῦ ἀνεπίστροφον πρόθεσιν· ὃ καὶ διδάσκων ὁ Θεολόγος Γρηγόριος, ἐν δυσὶν αὐτῦ λόγοις ῥητῶς ὕτω δίεισιν „ ἐπεὶ δὲ φθόνῳ διαβόλυ, καὶ γυναικὸς " ἐπηρείᾳ, τῆς μὲν ἐντολῆς ἐπελάθετο τῆς δοθείσης, καὶ " ἡττήθη τῆς πικρᾶς γεύσεως, κερδαίνει μέντοι κἀνταῦθα " τὸν θάνατον, καὶ τὸ διακοπῆναι τὴν ἁμαρτίαν, ἵνα μὴ " ἀθάνατον ᾖ τὸ κακόν· καὶ γίνεται φιλανθρωπία ἡ τι- " μωρία· ὕτω γὰρ ἐγὼ πείθομαι κολάζειν Θεόν. "

Καὶ ταῦτα μὲν ὁ γρήγορος νῦς περὶ θανάτυ φιλοσοφεῖ· ἐγὼ δὲ τύτοις προστίθημι, ὅτι μὴ μόνον ὁ θάνατος, τῦτο δὴ τὸ τοῖς πολλοῖς φοβερώτατον χρῆμα δοκῦν, ἀλλὰ καὶ πᾶν τὸ πρὸς Θεῦ ἡμῖν ἐπιὸν, ἀρχῆθεν καὶ νῦν καὶ μετέπειτα, κἂν κοινῇ πᾶσιν ἔπεισιν, κἂν ἑκάστῳ ἰδίως, τὸ αὐτὸ καὶ φιλανθρωπότατον ἐστὶ, καὶ ὠφελιμώτατον· ὅθεν τῦτο δοξάζων καὶ ὁ μέγας Βασίλειος τοῖς ἀπὸ Χριστῦ καλυμένοις γνώμην ταύτην εἰσάγει σωτήριον „ ἓν μὲν δὴ τῦτο ἔχειν δεῖ προειλημμένον ἐν " ταῖς διανοίαις ἡμῶν, ὅτι ποίημα ὄντες τῦ ἀγαθῦ Θεῦ, " καὶ ὑπ᾽ αὐτῦ συγκροτύμενοι, μικρά τε καὶ μείζω περὶ " ἡμᾶς οἰκονομῦντος, ὔτε πάθοιμεν ἄν τι μὴ βυλομένυ " Θεῦ, ὔτε μὴν ὧν πάσχομεν βλαβερόν τι ἐστὶν, ἤτι τοιῦ- " τον, ὥστε ἐνεῖναι βέλτιον κἂν ἐπινοίᾳ λαβεῖν· καὶ μάλα " εἰκότως φαίη πᾶς εὖ φρονῶν· εἰ γὰρ ἡ φύσις ὐδὲν ποιεῖ " μάτην, ὐδὲ περίεργον, ἡ ἄψυχός τε καὶ ἄνευ καὶ δια- " νοίας ἐκτὸς, πῶς ἡ πάντων πρύτανις πρόνοια δίχα λόγυ " γίνεσθαί τι τῶν ἕνεκάτυ γινομένων παρ᾽ αὐτῆς συγχωρή- " σει; διὸ χρὴ, καὶ πάνυ συμφέρει, ἐπεὶ μὴ γίνεται τὰ " γινόμενα ὡς βυλόμεθα, λοιπὸν βύλεσθαι καὶ ἡμᾶς ὡς " ταῦτα γίνεται γίνεσθαι· καὶ μάλιστα τῦτο, ἐπὶ θανάτυ " βύλεσθαι, ὅτι ἄριστον ἀνθρώπῳ δῶρον ὁ θάνατος· ἠρεμεῖ γὰρ ἐξ ὧν ἔμελλε καὶ πράττειν καὶ πάσχειν κακῶν· "

» ὅτι ὅπερ ἐστὶ τοῖς πλέουσι λιμὴν εὔδιος, τοῦτο τοῖς ἐνταῦ-
» θα χειμαζομένοις ἡ ἐκεῖσε μετάστασις, καὶ μετάθεσις·
» ὅτι τοιοῦτος ὁ βίος ἡμῶν, τοιοῦτον τὸ ἐπὶ γῆς παίγνιον·
» οὐκ ὄντας γενέσθαι, καὶ γενομένους ἀναλυθῆναι· ὅτι τά-
» φος καὶ φθορὰ καὶ κόνις τὸ τῆς βιωτικῆς ἐνημερίας συμ-
» πέρασμα. Ὅτι συμφέρον ἐστὶ καὶ τοῖς σωθῆναι βουλο-
μένοις ἀναγκαιότατον τὸ τὸν εὔριπον τοῦ παρόντος βίου
παραδραμεῖν, ἐννοοῦντας σαφῶς, τὰ πολλὰ τῶν πλεόν-
των ναυάγια, διὰ τὸ τῆς φύσεως εὐπερίτρεπτον, καὶ τὸ
τῶν θηρίων δυσφόρητον· καὶ δεῖ τὸν μὲν φῦντα θρηνεῖν,
τῷ δὲ ἀπιόντι συνήδεσθαι· τὸν μὲν ὅσα πείσεται λέγον-
τας, τὸν δὲ ὅσων ἀπήλλακται διηγουμένους· καὶ ἑκάστῳ
ἀνθρώπῳ ἔχοντι πολιτείαν μεμολυσμένην ἡ πρόσκαιρος
ζωὴ ποθεινή ἐστι, καὶ τῷ τούτου δευτέρῳ, τῷ ἐστερημένῳ
γνώσεως· καὶ ὁ φόβος τοῦ θανάτου λυπεῖ ἄνδρα καταγι-
νωσκόμενον ὑπὸ τῆς συνειδήσεως αὐτοῦ, ὁ δὲ ἔχων μαρ-
τυρίαν ἀγαθὴν ἐν ἑαυτῷ, οὗτος ἐφίεται τοῦ θανάτου,
καθάπερ ζωῆς· ὅτι οἱ μὲν ἐν κακίᾳ ζῶντες, κἂν ζῶσιν
ἀπέθανον, οἱ δὲ ἐν ἀρετῇ κοιμηθέντες, κἂν ἀπέθανον
ζῶσι· καὶ ἡ ἐπὶ πλεῖον ἐνταῦθα διατριβή, πολλῶν κα-
κῶν ἐστὶν ἀφορμή, τοῖς κατ' ἐμὲ ῥαθύμοις· πλὴν καθά-
περ τῆς εἰς τὴν κοινὴν πατρίδα πορείας προκειμένης πᾶ-
σιν ἀναγκαίας καὶ ἀπαραιτήτου, οἱ μὲν προπορεύονται,
οἱ δ' ἐπακολουθοῦσι, πάντες δ' ἐπὶ τὸ αὐτὸ ἔρχονται, τὸν
αὐτὸν τρόπον τῶν εἰς τὸ χρεὼν ὁδευόντων, οὐδὲν πλέον
ἔχοντες τυγχάνουσιν, οἱ βραδύτερον ἀφικνούμενοι τῶν θᾶτ-
τον παραγενομένων· καὶ μόνον τὸ λεγόμενον τοῦτο κακὸν
ὁ θάνατος, παρὸν μὲν οὐδένα πώποτ' ἐλύπησεν, ἀπὸν δὲ
καὶ προσδοκώμενον λυπεῖ· τὸ δ' αἴτιον, ὅτι, οὔτε περὶ τοὺς
ζῶντας ἐστί, καὶ γὰρ ζῶσιν· οὔτε περὶ τοὺς τεθνεῶτας,
οὐκ ἔτι γὰρ ἀποθνήσκουσιν, ἀλλ' ἐν ἀθανάτῳ ζωῇ τὸν
ἀπέραντον αἰῶνα διάγουσι.

Λέγεται, ὥς φησὶ Πλάτων (*), ὅτι Ἀξίοχός τις
ἀσθενῶν Ἀθήναις, καὶ φόβῳ μᾶλλον θανάτου ἢ τῇ νόσῳ
θανεῖν δεδοικώς, προσεκαλέσατο Πρόδικον τοῦ πάθους ἐπί-
κουρον·

κȣρον· ὁ δὲ τῶν τοῦ Ἐπιχάρμου μαθητῶν εἷς ὑπάρχων,
Φειδωλοῦ φιλοσόφου δεινότερος καὶ ἀμφότερα, τῇ κλίνῃ
τοῦ πάσχοντος ἐπιστὰς, τὸ Ἐπιχάρμιον ἐκεῖνο αὐτίκα ἐξέ-
φηνεν „ἁ δὲ χεὶρ τὴν χεῖρα νίζει· δὸς τὶ καὶ λάβε τί· “
προῖκα δ' οὐδὲν περιγίνεται· καὶ λαβὼν ὅσον ἤθελεν, εὐ- “
θὺς λέγει πρὸς τὸν (†) Ἐπίχαρμον „ὁ θάνατος οὔτε “
περὶ τοὺς ζῶντας ἐστὶν, οὔτε περὶ τοὺς μετηλλαχότας· ὅτι “
περὶ μὲν τοὺς ζῶντας οὐκ ἔστιν, οἱ δὲ ἀποθανόντες οὐκ εἰ- “
σίν· ὥστε οὔτε περὶ σὲ νῦν ἐστίν· οὐ γὰρ τέθνηκας· οὔτε “
εἴτι πάθοις ἔσται περὶ σὲ, σὺ γὰρ οὐκ ἔσῃ· μάταιος οὖν “
ἡ λύπη περὶ τοῦ μήτε ὄντος, μήτε ἐσομένου περὶ Ἀξίοχον, “
Ἀξίοχον ὀδύρεσθαι· καὶ ὅμοιον, ὡς εἰ περὶ τῆς Σκύλλης, “
ἢ τοῦ Κενταύρου τὶς ὀδύροιτο, τῶν μήτε ὄντων νῦν περὶ “
σὲ, μήτε ὕστερον περὶ τὴν τελευτὴν ἐσομένων· τὸ γὰρ “
φοβερὸν τοῖς οὖσιν ἐστὶ, τοῖς δ' οὐκ οὖσι πῶς ἂν εἴη; ὁ δὲ “
τούτων ἀκούσας, ἀπετινάξατο εὐθὺς τὴν νόσον, καὶ τὸν
ἐπικείμενον ἐξέφυγε κίνδυνον. Καὶ τῷόντι πολλοὶ διὰ
τὴν εὐθύνειαν, καὶ τὴν πρὸς τὸν θάνατον διαβολὴν,
ἀποθνήσκουσιν ἵνα μὴ ἀποθάνωσι· καὶ τοὺς ἀνοήτους ὁ τοῦ
θανάτου φόβος, οὐχ ὁ τοῦ ζῆν πόθος ἐκκρέμασθαι τοῦ
σώματος ποιεῖ, περιπεπλεγμένους, ὥσπερ τὸν Ὀδυσσέα
τὸν ἐρινεὸν, δεδοικότα τὴν Χάρυβδιν ὑποκειμένην.

Ταύτῃ τοι καὶ τὸ ἄδηλον εἶναι τὴν τοῦ θανάτου προ-
θεσμίαν ὠφέλιμον· εἰ γὰρ προῄδειμεν, κἂν προεξετήκον-
τό τινες ταῖς λύπαις, καὶ πρὶν ἂν ἀποθανεῖν ἐτεθνήκε-
σαν· καὶ ὅλως ἀρετὴ μεγάλη οὐκ ἔστι τοῦτο τὸ παρα-
σκευάσασθαι θανεῖν, ὅτάν τις οὐ δύναται πλέον ζῆν· ἀλλ'
ἐκεῖνος καὶ πολλὰ ἔζησε, καὶ ὡς ἐχρῆν τέθνηκεν, ὁ κα-
λῶς ἑτοιμασθεὶς θανεῖν ἑκουσίως· καὶ καλῶς εἴρηται,
τὸ „ἢ ἐπάγῃ μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ· καὶ τὸ, “
τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Καὶ “
ἄλλως δὲ δεῖ πάντως ἀρέσκεσθαι τοῖς ἀρέσκουσι τῇ προ-

 νοίᾳ,

(†) Ἀξίοχον τὸν Ἀθηναῖον τούτοις τοῖς τοῦ Προδίκου ὁ Σωκράτης παραμυθεῖται παρὰ Αἰσχίνῃ τῷ Σωκρατικῷ ἐν Διαλ. Γ'.

νοίᾳ, καὶ μὴ τοῖς δοκοῦσι μόνον ἡμῖν· καὶ τὴν τῶν ὄντων φυσικὴν πρόοδον συνιέναι, καὶ τῶν γινομένων τὸ ἄστατον διακρίνειν ἐπίστασθαι· ὅτι τῶν ἀνθρώπων οἱ πλεῖστοι, ἀγνοοῦντες μὲν τίνα τὰ ὄντα, τὰ δὲ γινόμενα ὄντα νομίζοντες εἶναι, ἀπογινόμενα βλέποντες ταῦτα, πάντῃ ἀκαίρως ταράττονται· περὶ ὧν καί τις πȣ τῶν σοφῶν, μάλα σοφῶς ἀπεφήνατο „ἔδοξεν, εἰπὼν τοῖς ἀνοήτοις τῶν μὲν ὄντων καταφρονεῖν ὡς μὴ ὄντων, τῶν δὲ μὴ ὄντων, ὡς ὄντων ἀντέχεσθαί τε καὶ περιέχεσθαι. Ἀλλ᾽ ἐκεῖνοι μὲν οὕτως· αὐτὸς δὲ ἅτε λόγου μέτοχος καὶ σοφίας, εἰ βούλει ἄλυπος διαμένειν, διάκρινε τίνα τὰ ὄντα μὲν ἀεὶ, γινόμενα δὲ μηδέποτε· καὶ τίνα τὰ γινόμενα μὲν ἀεὶ, ὄντως δὲ μηδέποτε ὄντα· καὶ σκόπει, ὅτι τὰ μὲν ὄντα κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἀεὶ διατελεῖ ἐν τῷ κόσμῳ, καὶ οὐδέποτε τοῦ εἶναι ἐξίσταται, οὐδ᾽ ἐπὶ βραχύ· τὰ δὲ γινόμενα πάντα ἐν διηνεκεῖ ῥοῇ ἐστὶ καὶ μεταβολῇ, καθάπερ τις σφαῖρα τάχιστα καὶ μεταβαλλόμενα, καὶ μεταῤῥιπτόμενα· ὅτι δὲ τῶν γινομένων ὁ θάνατος, καὶ Ὅμηρος μαρτυρεῖ γράφων,

> Οἵηπερ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν·
> Φύλλα τὰ μὲν τ᾽ ἄνεμος χαμάδις χέει, ἄλλα δὲ θ᾽ ὕλη
> Τηλεθόωσα φύει, ἔαρος δ᾽ ἐπιγίγνεται ὥρη.
> Ὣς ἀνδρῶν γενεὴ, ἣ μὲν φύει, ἣ δ᾽ ἀπολήγει.

καὶ πάντα καθὸ ἔχει φύσεως καλῶς διακρίνων λοιπὸν, εὑρήσεις λύπης ἀπόθεσιν· καὶ ἄλυπος ἔσο, μὴ τὴν ἀλογίαν, ὡς οἱ πολλοὶ, ἀλλ᾽ ὡς ἀνὴρ σπουδαῖος, καὶ Θεῷ προσανέχων, τὸν λόγον ἔχων τῆς λύπης παρήγορον· ἐπεὶ τοὺς μὲν πολλοὺς ὁ χρόνος, τοὺς δὲ φρονίμους ὁ λόγος τῆς λύπης ἀπαλλάττει.

Καὶ ταῦτα μὲν δὴ τοιαῦτα, καὶ ὡς ἐμαυτὸν πείθω ἱκανὰ πεῖσαι λογίαν ψυχήν· εἰ δὲ δεῖ σοι καὶ λύπης φαρμάκου κατασκευὴν ἐπιτάξαι, κατοκνήσομεν οὐδαμῶς. Ἄπιθι τάχιον τοίνυν, καὶ λάβε τῆς πνευματικῆς χαρᾶς τὴν ῥίζαν, καὶ τῆς ἀγαθῆς ὑπομονῆς τὰ φύλλα,

καὶ

καὶ τῆς ψυχικῆς εἰρήνης τὸν καρπὸν, καὶ τῆς χήρας τὸ δικαίωμα, καὶ τοῦ ὀρφανοῦ τὴν κρίσιν, καὶ τοῦ αἰχμαλώτου τὴν ἀνοχὴν, καὶ τοῦ ξένου τὴν πραότητα, καὶ τοῦ πτωχοῦ τὴν ταπείνωσιν, καὶ τοῦ ἐν δεσμοῖς τὴν σωτηρίαν, καὶ τοῦ νοσοῦντος τὴν εὐχήν· καὶ πάντα τρίψας ἐν ἰγδίῳ ὑπακοῆς, διάλυσον αὐτὰ μετὰ κοσκίνου τῶν ἀγαθῶν λογισμῶν, καὶ βαλὼν εἰς καθαρὰν χύτραν τοῦ νοὸς, πρόσθες καὶ ὕδωρ τῆς ἀγάπης, καὶ ὑποκάτωθεν τῆς χύτρας ἄναψον τὴν φλόγα τοῦ θείου πόθου· καὶ ὅταν ἱκανῶς βράσῃ, κένωσον αὐτὰ μετὰ προσοχῆς, καὶ ῥίπισον μετ᾽ εὐχαριστίας, καὶ μετάλαβε μετὰ κατανύξεως, καὶ ἡ βρῶσίς σου ἔστω τὸ μεμνῆσθαι ἀεὶ τοῦ Θεοῦ, καὶ ἡ πόσις σου τὸ διηνεκῶς φιλεῖν τὸν Χριστὸν, καὶ ἡ διαίτα πᾶσα, τὸ δι᾽ ὅλου δοξάζειν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ μὴ στραφῇς εἰς τὰ ὀπίσω πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· αὕτη ἡ ἀντίδοσις λίαν ὠφελεῖ εἰς λύπης ἐξάλειψιν.

Χρὴ δὲ κἀκεῖνο σκοπεῖν, ὅτι χάριτι οὐ φύσει, μετὰ τὸ ἐλθεῖν τὸν Χριστὸν, ζῶμεν οἱ ἀληθῶς πιστεύοντες εἰς αὐτόν· ψυχῇ, οὐ σαρκί· οὐ τῷ ἐνεστῶτι, ἀλλὰ τῷ μέλλοντι· οὐχ ἡμῖν αὐτοῖς, ἀλλὰ τῷ Χριστῷ· καὶ γὰρ τιμῆς τοῦ αὐτοῦ ἠγοράσθημεν αἵματος· ὡς γοῦν ἀδυνάτον φύσεως δίχα συστῆναι ἡμᾶς, καὶ τοῦ κόσμου ἐκτὸς, ἐνταῦθα λοιπὸν καὶ γεννώμεθα καὶ ζῶμεν ὀλίγον χρόνον, εἶτα τὴν ζωὴν ταύτην ἀποτιθέμενοι, ὥσπερ ὄφεις τὰς λεβηρίδας, καὶ ἀετοὶ τὰ πτερὰ, πόνοις πολλοῖς καὶ ὀδυνάις, ἀμέσως καὶ τῷ μέλλοντι, καὶ τῇ χάριτι, καὶ τῷ Χριστῷ συναπτόμεθα· τῇ φύσει μὲν τῇ σαρκὶ θνήσκοντες, καὶ τῷ ἐνεστῶτι αἰῶνι, καὶ πᾶσιν οἷς οὐδὲ προσκαίρως βιοῦντες ἐζῶμεν· ζῶντες δὲ πάλιν πολλῷ τῆς προτέρας ζωῆς βελτίονα καὶ ἀκήρατον· καὶ ἔστιν ἡμῖν τοῖς πιστοῖς γέφυρα, θύρα, κλίμαξ, διάβασις, ὕπνος, ἀποδημία, μετάστασις, ἀνάπαυσις, ταραχῆς ἀπαλλαγὴ, καὶ βιωτικῶν ἐλευθερία φροντίδων, καὶ ἔτι τοιοῦτον ὁ θάνατος, ἀπάγων ἡμᾶς τῶν ἐμποδιζόντων· ὥσπερ ἄρα τοῖς φύσει, καὶ κόσμῳ,

κόσμῳ, καὶ τῇ σαρκὶ ζῶσι, μετάβασις ἀπὸ προσκαίρου ζωῆς, εἰς αἰώνιον κόλασιν. Οὐκοῦν ταῦτ' ἐπιστάμενος, ἐπὶ παντός σοι τῶν στεργομένων ἀποβολῇ, τὸ πλῆθος τῶν καλῶν ἀντιτίθει, ὧν πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ· λέγω δὴ ὧνπερ νῦν ἀπολαύεις ἐκ μέρους, καὶ ὧν ἀπολαύσεις μετὰ μικρὸν τελεώτερον· καί γε τὰ μάλιστα εὐφραινέτωσε τὰ μεγάλα καὶ μυρία καὶ μένοντα, καὶ μὴ λυπείτω ἓν πρόκαιρον, ἄρτι φανὲν καὶ διαλυθέν· οὐ τὸ παρελθὸν, οὐ τὸ μέλλον, μόνον δὲ τὸ παρὸν τοῦθ' ὃ ζῇς ἐνθυμήθητι, ὃ ἑστὼς παρατρέχει, καὶ ληφθὲν διαφεύγει, καὶ φανέν τι μικρὸν διακρύπτεται· κέρδανον οὖν αὐτὸ καθαρᾷ εὐθυμίᾳ, μὴ καὶ αὐτό σε ὑπεκφύγῃ, καθάπερ διὰ χώνης τοῦ βίου ὑπεκρυέν· οὕτω γὰρ καὶ Βασιλεὺς ἡμῶν ἀνδρικώτατος ἔσῃ· ἀνδρεία γὰρ ἐστὶ πρὸς πᾶν δεινὸν ἐπιὸν ψυχῆς ἀπτόητος ἔνστασις· καὶ οὐρανοῦ ἐν Χριστῷ Κράτωρ ἄξιος γένοιο! Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ

# ΛΟΓΟΣ Δ.

### Ῥηθεὶς ἐν τῷ Παλατίῳ κατὰ τὴν ἡμέραν τῆς ἁγίας καὶ μεγάλης Παρασκευῆς, περὶ τῆς τοῦ Κυρίου Σταυρώσεως.

Συμφυὴς τῷ κόσμῳ καὶ σύγχρονος, καὶ τοῖς ἐν αὐτῷ κρείττοσιν, ἄνωθεν ὁ τοῦ Σταυροῦ τύπος, πρὸς τῆς παναιτίου Τριάδος ὑπέστη· εὐθὺς γὰρ ὕψος καὶ βάθος, μῆκός τε, πλάτος τε, συνυφέστηκε τῷ παντί. Ἀνατολὴ καὶ Δύσις, Ἄρκτος καὶ Μεσημβρία, ἐνθεωρεῖται τῇ κτίσει· ἄνεμοι ἔνθεν σταυροειδῶς πνέουσι· τῶν τοῦ ἔτους ὡρῶν αἱ ἐναντίαι ποιότητες οὕτω δοκοῦσιν ἀλληλουχεῖσθαι, καὶ αἱ τῶν πλανήτων ἐγκάρσιοι ἐν ταὐτῷ, καὶ εὐθεῖαι φοραὶ, τύπον τυποῦσι σταυροῦ· κορυφὴ, καὶ ῥίζα κατευθὺ, καὶ κλάδοι ἑκατέρωθεν, τοῖς φυτοῖς συμφύονται· ἐνώπια, ὀπίσθια, δεξιὰ, καὶ εὐώνυμα, τοῖς ζώοις συναύξεται· οἱ τῆς θαλάττης ἰχθύες, καὶ πάντες ποτάμιοι καὶ λιμναῖοι, οὓς ἴσμεν, σταυρικῷ σχήματι νήχονται· καὶ ὅσα τὸν ἀέρα διίπταται τοῦτον πτιλωτὰ, τῷ τύπῳ τούτῳ πάντα τὴν πτῆσιν ποιούμενα φαίνεται· αἱ τοπικαὶ κινήσεις ἅπασαι, καὶ αἱ τέχναι, εἰ μὴ σταυροῦ τύπος ἡγήσοιτο, μένουσι πάντη ἀργαί· χρὴ γὰρ ἄνω καὶ κάτω, τῇδε κἀκεῖσε προκινηθέντας, οὕτως ἐργάσασθαί τι, ἢ μεταβιβάσαι ποθὲν, ἄλλως δὲ τοῦτο ἀδύνατον· ἀμέλει σταυροῦ τύπος τοῖς ὑφάσμασι μυριάκις συνεξυφαίνεται, καὶ τοῖς οἰκοδομήμασι συνοικοδομεῖται· σταυροῦ τύπος ταῖς ναυπηγίαις προκαταβάλλεται, κἀν ταῖς ναυτιλίαις τοῖς ἱστίοις συνεξαπλοῦται· τοῖς τῶν οἴκων ὀρόφοις συνυψοῦται προδήλως,

δήλως, καὶ τοῖς παραπετάσμασι πᾶσι συνεπεκτείνεται· πρὸς δὲ, πανταχοῦ, καὶ ἐν πᾶσι, καὶ πάντοτε, ἐν ὅλοις, ἐν μέρεσιν, ἐν μεγάλοις, ἐν μικροῖς, τῶν τε θείων κτισμάτων, καὶ ἀνθρωπίνων ἐνεργημάτων ὁ τύπος οὗτος εὑρίσκεται· καὶ γὰρ ἡ πᾶσα οἰκία, καὶ ἕκαστον τῶν ταύτης μερῶν, τούτῳ κοσμεῖται τῷ σχήματι, ὁ ὄροφος, τοὔδαφος, αἱ τῆς θύρας φλιαί· τῶν θυρίδων αἱ θύραι, τὰ ἐντὸς, τὰ ἐκτὸς, καὶ ἐνὶ λόγῳ πάντα τύπον φέρει σταυροῦ, κἂν μὴ πᾶσιν εὐσυνόπτον· καὶ αὐτὸς δὲ ὁ ἄνθρωπος μετὰ πάντων, κατὰ τὸ σχῆμα τῆς ἑαυτοῦ διαπλάσεως, τύπος σταυροῦ προφανής· καὶ θαῦμα πῶς ἡ πόῤῥωθεν τῶν μεγάλων πραγμάτων προκαταβαλλομένη τὰς ἀπαρχὰς πρόνοια, κἂν τοῖς νομίσμασι, κἂν τοῖς ἔργοις, κἂν τῇ τῶν πάντων διαπλάσει, ἀναγκαίως ὥσπερ, ἢ μᾶλλον πανσόφως ἐνετύπωσε τὸν σταυρὸν, ἵνα καὶ ἄκοντες οἱ ἀσεβεῖς, καὶ ἐνεργῶσι τοῦτον, καὶ φέρωσι, καὶ ἀχωρίστως συνῶσιν ἄλλως αὐτῷ.

Σταυροῦ τῷ τύπῳ καὶ τὰ θαύματα γέγονεν ἅπαντα, καὶ τὰ κατὰ τῶν ἐχθρῶν ἡμῶν ἔστη τρόπαια, ὧν πλήρεις αἱ ἱστορίαι αἱ παλαιαὶ, αἱ νέαι, καὶ ὑπόγυοι. Καὶ δὴ σταυροφανῶς οἱ Προφῆται ἄνωθεν τὴν τοῦ Χριστοῦ
„ παρουσίαν ἐπικαλούμενοι εὕρηνται· ὁ μὲν λέγων „ ἰδοὺ ἄν-
„ θρωπος, ἀνατολὴ ὄνομα αὐτῷ· ὁ δὲ, ὁδοποιήσατε τῷ
„ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ· ἄλλος,
„ ἐξεγέρθητι βοῤῥᾶ, καὶ ἔρχου νότε· καὶ ἕτερος, ὁ Θεὸς
„ ἀπὸ θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δα-
„ σέως· καὶ ὁ μὲν, ἴσως τὰ ἴχνη τοῦ Θεοῦ καταλήψῃ, καὶ
„ τὸν παντοκράτορα εὑρήσεις· ὑψηλότερος ἐστὶ τοῦ οὐρανοῦ,
„ τοῦ ᾅδου βαθύτερος· μακρότερον τῆς γῆς τὸ μέτρον αὐ-
„ τοῦ, καὶ τῆς θαλάσσης πλατύτερον· ὁ δὲ, ἀπὸ Ἀνα-
„ τολῶν, καὶ Δυσμῶν, καὶ Βοῤῥᾶ καὶ Θαλάσσης φησί.
Διὸ καὶ ὁ μέγας ἐν τούτοις Μωσῆς, ὁ λέγων διὰ τοῦ νόμου, οὐ ποιήσεις γλυπτὸν, οὐδὲ χωνευτὸν, καὶ χωνεύει τὸν ὄφιν, καὶ γλύφει τὰ Χερουβὶμ, καὶ θυμιᾶν ἔναντι τούτων, καὶ προσκυνεῖσθαι ταῦτα νομοθετεῖ, ἵνα καὶ τὸν Σταυρὸν

προτυ-

προτυπώσῃ, καὶ τὸν ὑπὸ Χερουβὶμ τρισαγίαις φωναῖς ἀνυμνούμενον τρισυπόστατον Κύριον, προσκυνεῖσθαι διδάξῃ τὰς ἐφεξῆς γενεάς. Σταυροῦ γὰρ ὕψει Ἄγγελοι ἀγιάζονται, ὅτι καὶ τὰ τῷ θείῳ Ἡσαΐᾳ ὀφθέντα φρικτὰ Σεραφὶμ, ὅτε εἶδε τὸν Κύριον, τούτῳ ἱπτάμενα ὦπται τῷ σχήματι· Σταυροῦ τῷ βάθει δαίμονες δραπετεύουσι· Σταυροῦ τῷ μήκει αἱρετικοὶ μακρύνονται ἀφ᾽ ἡμῶν· καὶ Σταυροῦ τῷ πλάτει ὀρθόδοξοι σκέπονται.

Ἐπεὶ γὰρ ὁ πάντα πρὶν γενέσεως αὐτῶν ἐπιστάμενος Κύριος, διὰ Σταυροῦ τὸν ἄνθρωπον σώζειν ᾤετο δεῖν, ἐν αὐτῇ τῇ φύσει τῶν ὄντων τε καὶ τῶν γινομένων τὸν τύπον αὐτοῦ ἐγκατέσπειρε, πολλαχόθεν ἐνάγων ἡμᾶς εἰς τὴν τούτου ἐπίγνωσιν. Διὸ καὶ τὰ τῆς ὀρθοδόξου Ἐκκλησίας μυστήρια πάντα διὰ τοῦ θείου τελεῖται Σταυροῦ· κἂν λουθῆναι δέῃ τῷ θείῳ λουτρῷ, κἂν τῷ μυστικῷ Μύρῳ χρισθῆναι, κἂν ἀλείψασθαι τῷ ἁγίῳ Ἐλαίῳ, κἂν γῆμαι νομίμως, κἂν τιμηθῆναι Ἱερωσύνῃ, κἂν ἁμαρτιῶν λαβεῖν ἄφεσιν, κἂν τῷ οὐρανίῳ ἄρτῳ τραφῆναι, κἂν ὁτιοῦν ἐπιτελέσαι καλὸν, τοῦτο ἡγεῖται πανταχοῦ τὸ τῆς νίκης ἀήττητον σύμβολον. Ταύτῃτοι καὶ ἐπὶ τῶν θυρῶν, καὶ ἐπὶ τῶν τοίχων, καὶ ἐπὶ τοῦ μετώπου, καὶ ἐπὶ τῆς ῥινὸς, καὶ ἐπὶ τῶν χειλέων, καὶ ἐπὶ τοῦ στήθους, καὶ ἐπὶ τῶν ὀφθαλμῶν, καὶ ἐπὶ τῶν ὤτων μετ᾽ εὐλαβείας καὶ πίστεως, συνεχῶς αὐτὸ ἐπιγράφομεν· ἐπεὶ καὶ τῆς ἐλευθερίας ἡμῖν, καὶ τῆς σωτηρίας τοῦτο ἐστὶ τὸ σημεῖον· καὶ γὰρ ἀνεῖλε τὴν ἁμαρτίαν, τὴν οἰκουμένην ἐκάθηρεν, ᾅδου πύλας συνέτριψε, παραδείσου εἴσοδον ἀνεκαίνισε, ναοῦ θύρας ἐσφραγισμένας ἤνοιξε, δηλητήρια φάρμακα ἔσβεσε, καὶ δήγματα ἰοβόλα πολλαχοῦ καὶ πολλάκις ἰάσατο· τί δεῖ πολλὰ λέγειν; τοῦτο τὸ θεῖον σημεῖον, ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ τοῦ οἰκείου Πατρὸς αὐτοῦ, καὶ πάντα τὰ τῶν Ἀγγέλων τάγματα μετ᾽ αὐτοῦ ἐνώπιον αὐτοῦ προπορεύσεται, λάμπον ὑπὲρ τὸν ἥλιον, ἀπ᾽ ἄκρων οὐρανῶν, ἕως ἄκρων αὐτῶν. Διατοι τοῦτο καὶ αὐτὸς πρὸ τοῦ λόγου, τὸ μέγα τοῦτο σημεῖον, τρίτον ἐνώπιόν μου

πιόν με ποιῶ· πρῶτον ὅλον σφραγίζων ἐμὲ, εἶτα τὸ πρόσωπον ἅπαν, καὶ τρίτον τὸ σόμα εὐθύς· ἤτοι τὴν ἐμὴν πᾶσαν διάπλασιν ἅμα, τὸ καίριον μέρος ἰδίως, ὅπε συνῆπλαι τὰ αἰσθητήρια ἅπαντα, καὶ ἔνθα ὀχεῖται ὁ νῦς, καὶ τὴν δίοδον ἔπειτα, ὅθεν ὁ ἐμὸς ἐτοσὶ λόγος πρόεισιν· ὡς ἅμα συμβαίνειν ἡμῖν, τὸν προκείμενον λόγον, μὴ λόγον μόνον λεγόμενον εἶναι, ἀλλὰ καὶ πρᾶγμα φαινόμενον ἄντικρυς, τοῖς ἔχεσι πίσεως ὀφθαλμὲς. Καὶ τοιῦτον μὲν ἡμῖν τὸ τῦ λόγυ προοίμιον.

Καιρὸς δὲ τῆς ὑποθέσεως ἅψασθαι, περὶ ἧς δεῦρο κληθέντες ὑπ' αὐτῆς συνηθροίσθημεν. Προσέχειν δὲ ἄξιον, εἰδότας ὅτι ὥσπερ ὁ αἰσθητὸς ὀφθαλμὸς εἰς τὸ γράμμα ἀφορῶν τὰ ἐξ αὐτῦ λαμβάνει νοήματα, ὅτω καὶ ὁ τῶν ὀρθῶν δογμάτων εἰσηγητὴς, εἰς Θεὸν ὁρᾷ, καὶ ἐξ αὐτῦ λαμβάνει τὰ θεῖα καὶ δόγματα καὶ νοήματα, ἔχων ἀντὶ μὲν βίβλε τὸ Πνεῦμα τὸ ἅγιον, ἀντὶ δὲ καλάμε τὴν ἑαυτῦ διάνοιαν, καὶ γλῶτταν τινὰ νοητὴν, περὶ ἧς
„ εἴρηται „ ἡ γλῶσσά με κάλαμος γραμματέως ὀξυγρά-
„ φε· τὸ θεῖον δὲ φῶς ἀντὶ μέλανος· ἐμβάπτων ἦν ἐν τῷ φωτὶ τὴν διάνοιαν, καὶ φῶς ἀποτελῶν, διαγράφει τὲς λόγες τῶν τῦ Θεῦ μυσηρίων ἐν Πνεύματι, ἐν ταῖς καθαραῖς τῶν ἀκεόντων καρδίαις, καὶ τότε γίνεται καὶ τὸ εἰρημένον, ὡς εἰσὶ καὶ ἔσονται διδακτοὶ Θεῦ οἱ πισοί· καὶ διδάσκει Θεὸς ἄνθρωπον γνῶσιν, κατὰ τὸν Προφήτην, ἐν Πνεύματι· καὶ δὴ λέγομεν.

Πλάσας ἀρχῆθεν ὁ Θεὸς τὸν Ἀδὰμ, κατὰ τὴν τῶν θείων γραφῶν ἀληθεστάτην παράδοσιν, αὐτὸς ὁ πλάσης τῦ πλάσματος τέτε, ὁ καὶ ἐκ μὴ ὄντων τῦτο εἰς τὸ εἶναι παραγαγὼν, καὶ πρὸ τῦ παραγαγεῖν αὐτὸ μάλα σαφῶς ἐπισάμενος οἷον ἔσαι, εὐθὺς καὶ αὐτὸ τὸ πλάσμα, καὶ τὴν πλάσιν αὐτῦ, καὶ τὴν συντριβὴν τέτε, καὶ τὴν ἀνάπλασιν ἅμα, καὶ πάντα τὰ τότε, τὰ νῦν, τὰ μετέπειτα, τά τε περὶ τὰ πάντα καὶ τὰ περὶ τὸ πλάσμα τῦτο ἐσόμενα, ὡς ἤδη παρόντα, καθὸ Θεὸς προϊδὼν, τῶν ἐν τῷ πλάσματι τέτῳ γενησομένων

ἑκάσῳ,

ἑκάστῳ ἔκτοτε ὅρια ἔστησε, πότε, καὶ πῶς, καὶ ὅτου χάριν γενήσεται ἕκαστον. Τινὲς μὲν λέγουσιν, ἆρα οὐ προῄδει ὁ Θεὸς ὅτι παραβήσεται τὴν ἐντολὴν αὐτοῦ ὁ γενάρχης Ἀδάμ; ἐγὼ δὲ οὐ τοῦτο μόνον φημὶ, ὅτι πάντα προῄδει ὁ ἀλάθητος νοῦς, τὸ καὶ παισὶ πρόδηλον, ἀλλ᾽ ὅτι πρότερον ἐναπέθετο τὸ τῆς διορθώσεως φάρμακον, καὶ τότε συνεχώρησεν εἰς πεῖραν ὀλίθου τὸν ἄνθρωπον ἀνελθεῖν· ἐπεὶ καὶ παντὸς κτίσματος θείου, καὶ τεχνουργήματος ἀνθρωπίνου, εἰ μέλλει ἐπὶ μακρὸν διαμένειν χρόνον, προφθάνει τὴν ἐσομένην περὶ τοῦτο φθορὰν ἡ ἑτοιμασία τῆς αὐτοῦ διορθώσεως· ὃ καὶ κατ᾽ ἔτος τοὺς ἰατροὺς ὁρῶμεν ποιοῦντας πρὸ καιροῦ, παντὸς ἐπιόντος, ἢ καὶ προσδοκωμένου νοσήματος, προαποτιθεμένους τοῖς σώμασι σωτήρια φάρμακα. Καὶ ἵν᾽ ἐκδηλότερον ἡμῖν τὸ λεγόμενον γένηται, καθάπερ μετὰ πολλὰς γενεὰς ὕστερον ἐν Αἰγύπτῳ προαποθέμενος τὸ φάρμακον τοῦ λιμοῦ, τὰ ἔτη τῆς εὐθηνίας, τηνικαῦτα ἐπήγαγε τὰ ἔτη τοῦ λιμοῦ, καὶ προέλαβε τὴν τοῦ τραύματος φύσιν ἡ τοῦ φαρμάκου βοήθεια, οὕτω καὶ πρὶν πλασθῇ ὁ Ἀδὰμ, πάντα τὰ περὶ τὸν Ἀδὰμ συμβησόμενα προϊδὼν ὁ Θεὸς, προητοίμασε φιλανθρώπως, καὶ ὡς οὐκ ἂν νοῦς ἐφίκοιτο τὰ τῆς ἀναπλάσεως ἅπαντα· καὶ ὥσπερ ἄν εἴτις Ἀρχιτέκτων πλούσιος καὶ σοφὸς, προθέμενος οἰκίαν οἰκοδομεῖν, αὐτίκα βουλεύεται, ἵνα κἄν ποτε αὕτη φθαρῇ μετὰ τὸ γενέσθαι, πάλιν ταύτην ἀνανεώσηται, τοῦτο δὲ καθ᾽ ἑαυτὸν βουλευόμενος, προετοιμάζει καὶ δίδωσι τῷ ἐργασομένῳ τὴν ἀνάκτισιν ταύτης, τὰ δι᾽ ὧν ἔσται κρεῖττον ἡ ἐσομένη μετὰ μακρὸν χρόνον ἀνάκτισις, καὶ γίνεται οἷον πρὸ τῆς οἰκίας ἡ τῆς ἀνανεώσεως προπαρασκευή· οὕτως ἄρα πρὸ τῆς τοῦ κόσμου καταβολῆς, καὶ τῆς ἡμῶν εἰς τὸ εἶναι παραγωγῆς, ἡ τῆς ἡμετέρας σωτηρίας ἀνανέωσις ἐθεμελιώθη ἐν τῷ Χριστῷ, ὥστε πεσόντας ἡμᾶς παγγενῆ, καὶ φθαρέντας, ἐν Χριστῷ ἀνακαινισθῆναι κατὰ καιρόν· καὶ ἡ μὲν βουλὴ καὶ ἡ πρόθεσις αὕτη πρὸ τοῦ αἰῶνος ἡτοίμασται, τὸ δ᾽ ἔργον γέγονεν, ὅτε ἡ χρεία ἀπῄτησε· καὶ ὁ Σωτὴρ ὁ πάντα ποιῶν καὶ μετασκευάζων

ζων ἐπὶ τὸ κρεῖττον πρὸς ἡμᾶς ἐπεδήμησεν· αὐτὸς γὰρ ἀντὶ πάντων ἡμῖν, καὶ ἐν τοῖς ὀυρανοῖς, καὶ ἐν τῇ γῇ, καὶ πανταχοῦ, καὶ πρὸ τῆς τοῦ κόσμου συστάσεως, καὶ νῦν, καὶ μετὰ τὴν τοῦ κόσμου συντέλειαν, καὶ γέγονε, καὶ ἐστὶ, καὶ γενήσεται· προλαμβάνων ἡμᾶς εἰς ζωὴν τὴν αἰώνιον.

Διόπερ ἡ τοῦ ἀνθρώπου ἀνάκλησις, οὔτε δι' Ἀγγέλου, οὔτε δι' ἀνθρώπου ψιλοῦ ἐνεργείας, ἀλλὰ διὰ τῆς αὐτοῦ ἐνανθρωπήσεως γέγονεν, ἐπεὶ πάντως οὐκ ἂν τῆς αὐτοῦ φιλανθρωπίας ἡμεῖς τὸ μέγεθος ἐγνωρίζομεν, ἀλλὰ καὶ τὸν λυτρωσάμενον ἡμᾶς ἐκεῖνον, ὅς τις ἂν ἦν, Θεὸν ἀνηγορεύσαμεν ἅπαντες· οὗ γεγονότος, δῆλον ὡς οὐκ ἔμελλεν εἶναι τοῦ πεπτωκότος γένους ἔγερσις τὸ γινόμενον, πτῶσις δὲ τοῦτο μᾶλλον πολὺ τῆς πρώτης καὶ χαλεπωτέρα, καὶ ἀδιόρθωτος· καὶ πρὸς τούτοις, οὐκ ἦν τὴν φύσιν ἡμῶν θεωθῆναι, καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς ἱδρυνθῆναι, καὶ δόξης ἀπολαύειν τοσαύτης, ἧς ἄρα τετύχηκε. Πάλιν, εἴπερ διὰ τὸ ἑαυτοῦ δυνατὸν ὁ Θεὸς προστάγματι μόνῳ ταύτην εἰργάζετο, τοῦ κελεύσαντος μὲν ἡ δύναμις ἂν ἐδείκνυτο μόνη, ὁ μέντοι ἄνθρωπος, τοιοῦτος ἐγίνετο πάντως, οἷος ἦν καὶ ὁ Ἀδὰμ πρὸ τῆς παραβάσεως· ἤγουν ἔξωθεν ἔχων τὴν χάριν, καὶ οὐ συνημμένην αὐτὴν τῇ ψυχῇ καὶ τῷ σώματι· τοιοῦτος δὲ ὢν, εἰ ἐξηπάτητο καὶ αὖθις ὑπὸ τοῦ πλάνου, πάλιν ἐγένετο χρεία προστάξαι τὸν Θεὸν, καὶ λῦσαι τὴν ἀρὰν, καὶ οὕτως εἰς ἄπειρον ἡ χρεία ἐγένετο, καὶ κατ' οὐδὲν ἧττον οἱ ἄνθρωποι ἦμεν ὑπεύθυνοι ἄνωθεν τῇ ἁμαρτίᾳ, καὶ τῷ πολλάκις ἡμᾶς δελεάζοντι.. Ἄλλως τε, εἰ δι' ἀνθρώπου ψιλοῦ τὴν τοῦ ἀνθρώπου ἀνάκλησιν ἐποιήσατο, ἔμεινεν ἂν ὁ ἄνθρωπος οὐδὲν ἧττον θνητὸς, μὴ τῷ Θεῷ συναπτόμενος τῇ αὐτοζωῇ, ὅ φησιν Ἀθανάσιος· οὐδὲ γὰρ κτίσμα πάντως συνῆπτε κτίσματι τὸν Θεὸν, οὐδ' ὁ τοῖς πάθεσιν ὑποκείμενος ἀπάθειαν ἑτέρῳ παρέχειν ἠδύνατο, οὐδ' ὁ τῇ ἁμαρτίᾳ ὑπεύθυνος τὰς τῶν πάντων ἁμαρτίας ἐξᾶραι οἷός τε ἦν, οὐδὲ τὸ μέρος τῆς κτίσεως ἂν, σωτηρία τῆς ὅλης κτίσεως ἐγεγό-

ἐγεγόνει, οὐδ' εἰς τὸν οὐρανὸν ἐξ ᾅδου μεταστῆσαι τὴν ἀνθρωπίνην φύσιν ἴσχυσεν ἄν, οὐδ' ἀφθαρτίσαι ταύτην, οὐδὲ θεῶσαι, ὁ τῇ φθορᾷ ὑποκείμενος.

Εἰ μὲν γὰρ ἔξωθεν τοῦ σώματος ὁ θάνατος ἦν, ἔξωθεν ἔδει καὶ τὴν ζωὴν αὐτὸ προσλαβεῖν, ἵν' ὥσπερ ἐκτὸς τοῦ σώματος γέγονεν ὁ θάνατος, οὕτως ἐκτὸς αὐτοῦ γένηται καὶ ἡ ζωή· ἐπεὶ δὲ ὅλος ὅλῳ τῷ σώματι συνεπλάκη, καὶ κατὰ κράτος αὐτὸ πᾶν διέφθειρεν, ἀνάγκη ἄρα ὑπῆρχε τὴν ζωὴν συμπλακῆναι τῷ σώματι, ἵνα συγκραθὲν ὅλον τὸ σῶμα τῇ ζωῇ, δι' αὐτῆς ὅλην τὴν φθορὰν ἀποβάληται. Ὅτι ὥσπερ οὐκ ἂν ἠλευθερώθημεν ἀπὸ τῆς ἁμαρτίας καὶ τῆς κατάρας, εἰ μὴ φύσει σὰρξ ἦν ἀνθρωπίνη, ἣν ὁ τοῦ Θεοῦ ἐνεδύσατο Λόγος· τὶ γὰρ κοινὸν ἡμῖν πρὸς τὸ φύσει ἀλλότριον; οὕτως οὐκ ἂν ἐθεοποιήθη ὁ ἄνθρωπος, εἰ μὴ φύσει τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἴδιος αὐτοῦ, καὶ ἐνυπόστατος Λόγος ἦν, ὁ γενόμενος σάρξ· καὶ διὰ τοῦτο τοιαύτη γέγονεν ἡ πρὸς τὸ γένος ἡμῶν αὐτοῦ συνάφεια, καὶ ἀδιαίρετος ἕνωσις, ἵνα τῷ φύσει Θεῷ συνάψῃ τὸν φύσει ἄνθρωπον· ἀμέλει καὶ διαῤῥήδην πιστεύειν ὁμολογοῦμεν, ὅτι ὁ τοῦ Θεοῦ Λόγος ἐπ' ἐσχάτων τῶν ἡμερῶν σάρκα εἴληφεν ἐκ Παρθένου θνητὴν, οὐκ αὐτὸς ὢν θνητὸς, ἄπαγε! πῶς γὰρ ἡ πηγὴ τῆς ζωῆς καὶ αὐτοζωή; ἀσθενῆ, οὐκ αὐτὸς ὢν ἀσθενής· πῶς γὰρ ὁ νεύματι μόνῳ τὰ πάντα δυνάμενος; ὁρατὴν, οὐκ αὐτὸς ὢν ὁρατὸς ὁ φύσει ἀόρατος· αὕτη δὲ πάντα ὑπέστη τὰ ἀνθρώπινα πάθη, ἁμαρτίας χωρίς· αὕτη ὑψώθη ἐν τῷ σταυρῷ, αὕτη πέπονθεν, αὕτη τέθνηκεν, αὕτη ἐτάφη, καὶ οὐκ αὐτός· οὐδὲ γὰρ ὑπὲρ ἑαυτοῦ ἔπαθε τῇ σαρκὶ ὁ παντὸς πάθους ἀνώτερος, ἀλλ' ὑπὲρ ἡμῶν, καὶ ἵν' ἡμῖν πάντα τὸν πλοῦτον αὐτοῦ χαρίσηται, μᾶλλον δὲ καὶ ἑαυτὸν ὅλον, καὶ πάντα τὰ ἑαυτοῦ· ἐπεὶ καὶ ἡ κάθοδος αὐτοῦ, ἡμῶν ἄνοδος γέγονε, καὶ διὰ τοῦτο ταπεινὸς ἐφάνη, ἡμᾶς ἑλκύσαι πρὸς ὕψος βουλόμενος· διὸ ἔφη „ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας “ ἑλκύσω πρὸς ἐμαυτόν· καὶ τὸ βάπτισμα αὐτοῦ ἡμῶν ἁ- “ γιασμός· ὑπὲρ αὐτῶν γὰρ εἶπεν ἁγιάζω ἐμαυτὸν, ἵνα “ ὦσι

ὦσι καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ· καὶ ὁ μώλωψ αὐτοῦ ἡμῶν ἴαμα „ τῷ γὰρ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν, ὁ Ἡσαΐας ἔλεγε· καὶ αὐτὸς μὲν ὁ ἀσώματος Λόγος, ἰῶν ἐν τῷ σώματι ἀπαθῶς, τὸ δὲ σῶμα εἶχεν ἐν ἑαυτῷ τὸν ἀπαθῆ Λόγον, ἀφανίζοντα πάσας τὰς ἀσθενείας αὐτοῦ τοῦ παθητοῦ τούτου σώματος· ὅθεν ὥσπερ παρὰ πάντα τὸν βίον αὐτοῦ, οὐκ ἐγέλασεν, οὐκ ἔπαιξεν, οὐδὲ ἀσεῖον εἶπε (πῶς γὰρ ὁ τὰς τῶν πάντων ἁμαρτίας αἴρων;) οὕτω καὶ παρὰ πᾶσαν αὐτοῦ τὴν ζωὴν, ἡ ζωηφόρος αὐτοῦ σὰρξ ἠῤῥώστησεν οὐδαμῶς, οὐδόλως, οὐδοπωσοῦν· νοσεῖν γὰρ ὅλως οὐκ ἔδει τὸν τῶν πάντων πάσας τὰς νόσους, τὸ εἰς αὐτὸν ἧκον, ἰώμενον.

Διάτοι τοῦτο τὴν καθ' ὑπόστασιν ἕνωσιν αὐτοῦ πρὸς τὸ σῶμα δηλῶν, τὸ πρόσωπον πρός τινος ῥαπισθεὶς, ὡς αὐτὸς παθὼν ἀπελογήσατο „ τί με δέρεις; καὶ ἄψαυστος ὢν τῇ τῆς Θεότητος φύσει, διὰ τὴν πρὸς αὐτὸ συνάφειαν ἔλεγε „ τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπεστράφη ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ μέντοι καθάπερ τὰ τῆς ἀνθρωπίνης αὐτοῦ ἀσθενείας ἡ Θεότης αὐτοῦ οἰκειοῦται, διὰ τὴν ἄκραν αὐτοῦ πρὸς ἡμᾶς συγκατάβασιν, οὕτω καὶ τὰ τῆς Θεότητος αὐτοῦ πάντα, τὸ ἀνθρώπινον αὐτοῦ ἰδιοποιεῖται, διὰ τὴν πρὸς αὐτὴν ἀδιαίρετον αὐτοῦ ἕνωσιν· διὸ νῦν μὲν φησὶν „ ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· νῦν δὲ, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα· νῦν δὲ, ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, καὶ ὅσα τούτοις ἐφάμιλλα. Ταῦτα δὲ πάντα πανσόφως καὶ ἔργοις οἰκονομεῖ, καὶ λόγοις συνίστησιν, ἵνα καὶ ἡ Θεότης αὐτοῦ ἅμα, καὶ τὸ ἀνθρώπινον πιστωθῇ· ὅτι ἐν τῷ παλαιωθέντι σώματι τὴν καινότητα, ἐν τῷ πειρασθέντι τὴν νίκην, ἐν τῷ πεπονθότι τὴν ἀπάθειαν, ἐν τῷ θνητῷ τὴν ἀθανασίαν, καὶ ἐν τῷ φθαρέντι τὴν ἀφθαρσίαν, Θεοπρεπῶς ἐπιδείκνυται.

Μάταιοι οὖν οἱ τῇ Θεότητι τούτου πάθος προσάπτοντες, ἢ τῇ ἀνθρωπότητι αὐτοῦ ἀπιστοῦντες, ἢ τὸν ἕνα

Υἱὸν

Υἱὸν δύο πιστεύοντες εἶναι, ἢ παρὰ τὰς Γραφὰς λέγειν τολμῶντες, ἢ ἀναξιοπάθειαν αὐτῷ ἐγκαλοῦντες· ἢ Ἕλληνες μὲν εἰς κροκοδείλους, καὶ ἔχεις, καὶ ξύλα, καὶ λίθους. καὶ εἰσέτι τούτων ἀτιμότερα κατάγειν τολμῶσι τοῦ Θεοῦ τὴν οὐσίαν, τῷ παντεργέτῃ δὲ λόγῳ εἰκότως τις ἐγκαλέσει, ὅτι ἀπρεπὲς αὐτῷ καὶ ἀνοίκειον τὸ ἐνανθρωπῆσαι, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον; καὶ ταῦτα πάντη ἀτρέπτου μενούσης τῆς θείας αὐτοῦ μεγαλειότητος; εἰ μὴ καὶ πάσης ὕλης ἀψύχου τὸ ἀνθρώπινον γένος ἀτιμότερον εἶναι φαντάζεται, οὐκ εἰδὼς ὅτι μένων μὲν ἐν τῷ ὕψει τῆς οἰκείας περιωπῆς ὁ Θεοῦ Θεὸς λόγος, καὶ μηδενὶ τὸ παράπαν ὁρώμενος, καὶ αὐτὸς, καὶ ὁ τούτου Πατὴρ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἀμυδρῶς πως καὶ μόγις ἐκ τῶν ἰδίων κτισμάτων, ὀλίγοις τισὶ τῶν πάντων ἐγινώσκετο μόνον, ἄνθρωπος δὲ γενόμενος ἀναλλοιώτως καὶ ἀτρέπτως, καὶ τὸν Πατέρα, καὶ ἑαυτὸν, καὶ τὸ Πνεῦμα προδηλότατα πᾶσιν ἐγνώρισε. Πλὴν καὶ τοῦτο μέγιστον δεῖγμα τῆς ἄκρας τούτου συγκαταβάσεως, ὅτι τοιαῦτα ἐστὶν ἃ εὐηργέτησε τὸ ἀνθρώπινον γένος, ὥστε τοὺς εὐεργετηθέντας αὐτοὺς ἀνθρώπους ἐπαισχύνεσθαι τῷ εὐεργετήσαντι ταῦτα Δεσπότῃ αὐτὰ περιάπτειν, ἀναξίαν κρίνοντας εἶναι τῆς μακαρίας οὐσίας ἐκείνης τὴν ἐνανθρώπησιν. Καὶ αὐτὸ δὲ τὸ τολμᾶν διηγεῖσθαι τοῖς ἄλλοις, ὅτι θάνατον ὁ τοῦ Θεοῦ Λόγος ὑποστῆναι ἠνέχετο διὰ τὸ σῶσαι τὸν ἄνθρωπον, τοῖς πολλοῖς τῶν ἀνθρώπων βλασφημίας οὐ πόῤῥω νενόμισται· καὶ ὄντως μέγα τὸ καὶ δοῦλον γενέσθαι τὸν φύσει πάντων καὶ πλάστην καὶ Κύριον, τὸ δὲ καὶ θάνατον ὑπομεῖναι, τοῦτο πολλῷ πλέον, καὶ πάντα νοῦν ἐκπλῆττον· ἀλλ' ἔστι καὶ ἕτερόν τι τούτου καὶ μεῖζον, καὶ σφόδρα παραδοξότερον· ποῖον δὴ τοῦτο; ὃ δὴ ἐρῶ· ὅτι οὐχὶ πᾶς θάνατος ὅμοιος, ἀλλὰ πολλὴ κἀν τούτοις δείκνυται ἡ διαφορά· ὁ δὲ διὰ σταυροῦ ἐπαγόμενος, πάντων πᾶσιν ἐδόκει καὶ ἀτιμότερος, καὶ χειρονιώτερος, καὶ ἐπονείδιστος εἶναι, καὶ θριάμβου, καὶ αἰσχους, καὶ πόνου γέμων πολλοῦ, καὶ ἀρᾶς· διὸ καὶ Ἰουδαῖοι τούτῳ ἐσπούδασαν αὐτὸν ἀνελεῖν τῷ θανάτῳ, ὥστε καὶ ἐπονείδιστον δῆθεν τοῦτον ποιῆσαι, καὶ τούτῳ δύο λῃστὰς συνε-

συνεσαύρωσαν, ἵνα κοινωνήσῃ τῆς δόξης αὐτοῖς, καὶ ὡς κακῦργος καὶ αὐτὸς τοῖς ἐρῶσι νομίζηται.

Ἀλλὰ τῆς ὥρας ἐπιλειπέσης ἡμᾶς ὡς ὁρῶ, καὶ τῦ καιρῦ κατεπείγοντος, εἰ δοκεῖ περιεκτικώτερον δεῦρο, καὶ ἐπιτομώτερον τῷ λόγῳ χρησώμεθα. Διὰ τῦτο μετὰ παθημάτων τοσύτωντε καὶ τοιύτων, ὁ πάντα μετασκευάζων ἐπὶ τὸ βέλτιον Λόγος, τὴν τῦ ἀνθρώπυ ἀνάκλησιν ἐποιήσατο, ὅτι τὰ ἐναντία διὰ τῶν ἐναντίων ἰῶνται μάλισα, ὡς καὶ ἐν ἄλλοις ἡμῖν κατὰ σύνοψιν εἴρηται· ἡ ἄχρησος ἄνεσις κόπῳ χρησίμῳ, ἡ παρακοὴ τῇ ὑπακοῇ, ἡ ὑπερηφάνεια τῇ ταπεινώσει, ἡ κενοδοξία δι᾽ ἀτιμίας, ἡ γασριμαργία διὰ νησείας, ἡ ἄλογος χαρὰ διὰ λύπης εὐλόγυ, καὶ διὰ πολυτρόπων ὀδυνῶν ἡ πολυποίκιλος ἡδονή· καὶ ὅτι τὰ πταίσαντα τῦ σώματος ἄρθρα, καὶ τὰ μέρη τῆς ψυχῆς, ἐχρῆν διὰ πάθυς θεραπευθῆναι ἑκάσῳ οἰκειοτάτυ, καὶ ἀντίθετυ ἐκείνῳ τῷ παλαιῷ τῦ Ἀδὰμ παραπτώματι· εἰς τῦτο γὰρ ἧκεν ἅπασαν τὴν ὀφειλομένην ἡμῖν παρὰ τῦ Πατρὸς τιμωρίαν ὑπὲρ ἡμῶν ὑποσῆναι, καὶ τὰς ὕβρεις, καὶ τὰ ὀνείδη ἅπερ πάντες ἐποιησάμεθα κατὰ τῦ Θεῦ, αὐτὸς μόνος δέξασθαι. Λοιπὸν ὥσπερ ἄνθρωπος ὁ φιλάνθρωπος γέγονε Λόγος ἵνα Θεὺς ἡμᾶς ἀπεργάσηται, καὶ ὑπερηγάπησεν ἡμᾶς ἵνα καὶ ἡμεῖς αὐτὸν ἀγαπήσωμεν, κατῆλθεν ἵνα ἡμᾶς ὑψώσῃ, νέος Ἀδὰμ πλὴν ἁμαρτίας ἐγένετο ἵνα τὸν παλαιὸν ἐκεῖνον Ἀδὰμ ἀναπλάσῃ, καὶ ἐπτώχευσεν ὡς ἂν ἡμεῖς τῇ ἐκείνυ πτωχείᾳ πλυτήσωμεν, καὶ δύλυ μορφὴν ἔλαβεν ἵνα εἰς τὴν πρώτην δεσποτείαν ἡμᾶς ἀπαγάγῃ, καὶ ἐπειράσθη ἵνα νικήσωμεν, καὶ ἐδίδαξεν ἵνα μάθωμεν.

Οὗτος ἀπημπώληται τῆς ἀρᾶς ἡμᾶς ἐκλυτρύμενος, προδέδοται ἵνα πάντας ἐξαγοράσῃ, ἐδέθη ὁ ἀναμάρτητος ἵνα λύσῃ τὺς ταῖς ἁμαρτίαις συνεσφιγμένυς, εἰς πολλὰ δικασήρια ἀπήχθη καὶ κριτὰς διαφόρυς ἵνα διὰ πάντων φανερωθῇ ἡ ἀλήθεια· ῥάπισμα ἐπὶ κόῤῥης πρὸς ἀγνώμονος δύλυ ἐδέξατο, ἐλευθερίαν ἡμῖν προξενῶν· μάσιγας ἔλαβεν ἐπὶ νώτυ, ἵνα καὶ τῶν μυρίων πληγῶν τῦ ἀντικειμέ-

κειμένου, καὶ τοῦ πολλοῦ βάρους τῆς ἁμαρτίας ἀνακουφίσῃ καὶ ἀναπαύσῃ ἡμᾶς· ἐμπτυσμοὺς εἰς τὸ πρόσωπον ἠνέχετο, ὥστε καλλωπίσαι καὶ ὡραῖσαι τὴν καταισχυνθεῖσαν φύσιν ἡμῶν· πορφύραν ἐφόρεσε, καταστολὴν δόξης ἀντὶ τῆς πάλαι γυμνώσεως ἐπενδύων ἡμᾶς· στέφανον περιετέθη ἀκάνθινον, διὰ τὰς ἀκάνθας, τῆς ποτὲ ἀρᾶς τὸν καρπόν· ἔλαβε κάλαμον, ὅτι τῷδε περιειληθεὶς ὁ ὄφις τῷ εἴδει τοῦ φυτοῦ τῇ Εὔᾳ πάλαι πρὸς τὸ οὖς ἐψιθύρισεν· ἐτύφθη τούτῳ τὴν κορυφὴν δι' ἄκραν ταπείνωσιν, τῆς ἐπαράτου ἐπάρσεως ἡμᾶς διϊστῶν· βλασφημίας ἀρρήτους ἤκουσε καὶ ὀνειδισμοὺς, λυτρούμενος ἡμᾶς τῆς παρακοῆς· ἀνεπαίχθη, ἵνα δοξάσῃ· ἐφραγγελώθη, ἵνα ἡμᾶς ἑλκύσῃ πεσόντας εἰς βάραθρον· αὐτὸς τὸν ἑαυτοῦ σταυρὸν ἐβάστασε πρῶτος, καὶ ἡμᾶς σταυροφόρους ἀκολουθεῖν αὐτῷ προτρεπόμενος· ἐν ξύλῳ ἐτάθη, διὰ τὸ ξύλον· ἐν κήπῳ ἐσταύρωται, διὰ τὸν Παράδεισον· ἥλοις τὰς χεῖρας καὶ τοὺς πόδας προσήλωται, τοὺς μὲν τῆς παρανόμου πορείας, τὰς δὲ τῆς ἀθέσμου ἐκτάσεως τῆς ἐπὶ τὸ ξύλον ἰώμενος· τέτυπται, καὶ καθήμακται, τὴν μὲν ἁγίαν κορυφὴν τῷ καλάμῳ, τὸ δὲ πρόσωπον τῷ ἀκανθίνῳ στεφάνῳ καὶ τοῖς ῥαπίσμασι, τὸν νῶτον ταῖς μάστιξι, τὰς χεῖρας καὶ τοὺς πόδας ταῖς τῶν ἥλων πικραῖς διατρήσεσι, καὶ τὸ πᾶν σῶμα τοῖς ποικίλοις κολαφισμοῖς, ἵνα τῷ οἰκείῳ αἵματι ὅλον τὸ ἑαυτοῦ σῶμα βαπτίσῃ· καὶ βάπτισμα τοῦτο ἐκάλει πρὸ τοῦ σταυροῦ, λέγων „βάπτισμα ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως ὅτου τελεσθῇ.

Σταυρικὸν καὶ μὴ ἕτερον ᾑρετίσατο θάνατον, ὅτι τὸ σχῆμα τοῦτο τέσσαρσι προβολαῖς, ἀπὸ τῆς ἐν τῷ μέσῳ συμβολῆς μεριζόμενον, τὴν διὰ πάντων ἥκουσαν τοῦ ἐν αὐτῷ φανέντος δύναμίν τε καὶ πρόνοιαν διασημαίνει, πανταχοῦ τοῦ λόγου ἑαυτὸν ἁπλώσαντος, καὶ ἄνω καὶ κάτω, εἰς τε μῆκος καὶ εἰς τὸ πλάτος, καὶ τὰ πάντα τῆς ἑαυτοῦ πληρώσαντος γνώσεως. Ὅτι τε εἰ καὶ πρότερον ὁ Σταυρὸς ὄργανον ἦν θανάτου, καὶ ὅπλον τοῦ πονηροῦ, ἀλλ' οὖν ὁ Χριστὸς ὡς ἰσχυρότερος τούτῳ τὸν ἰσχυρὸν νικήσας καὶ δή-

δήσας τὴν πανοπλίαν αὐτοῦ ἥρπασε, καὶ ὅπλον ἑαυτοῦ ταύτην ἐποιήσατο, ἐφ' ᾧ μάλιστα θριαμβεύεσθαι τὴν ἧτταν τοῦ ἡττηθέντος, καὶ μεγαλύνεσθαι τὴν νίκην τοῦ ταύτην ἁρπάσαντος· Σταυρὸς οὖν εἰς θάνατον τοῖς ἀνθρώποις ἐπινενόηται, καὶ θάνατος νεκρὸς διὰ Σταυροῦ ἀποδέδεικται· καὶ ὅτι τὸ ὄρθιον σχῆμα τιμιώτερον τοῦ ὑπτίου, καὶ ὁ φανερὸς τοῦ ἀφανοῦς, καὶ ὁ ὑπὲρ ἀληθείας τοῦ φυσικοῦ καὶ συνήθους θάνατος ἐνδοξότερος. Ἄλλως τε, ἵν' ἁπλώσας τὰς χεῖρας ἐναγκαλίσηται καὶ περισυνάξῃ τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα εἰς ἕν, καὶ τὸ ξύλον ἁγιάσῃ δι' οὗ κατηράθημεν, καὶ τὰ σύμπαντα εὐλογήσῃ, τά τε οὐράνια, ἃ δηλοῦται διὰ τοῦ ἀνωτέρου μέρους τοῦ Σταυροῦ δηλαδή· τὰ ὑποχθόνια, ἅπερ σημαίνεται διὰ τοῦ κατωτέρου μέρους· τὰ πέρατα τῆς γῆς, ἃ διὰ τῶν ἑκατέρωθεν ἄκρων· καὶ τὰ μέσα, διὰ τῆς περὶ τὸ μέσον ἑνώσεως. Πρὸς δὲ, καὶ ἵνα φανῇ ὅτι ἄνωθεν ἦλθε, καὶ ἄνω ὑπάγει· καὶ γυμνὸς τὸ κατὰ τοῦ ἐχθροῦ μέγα ἵστησι τρόπαιον, καὶ μετὰ θάνατον ζῇ, καὶ ἀλήθεια ἀήττητος μετὰ θάνατον ἵσταται, καὶ εὐχαριστεῖ, ἅτε τέλειος ἄνθρωπος τῷ Θεῷ τῶν ὅλων, καὶ θριαμβεύει τὸν θάνατον· τὰ ἐναέρια πνεύματα καταράττει ἐξ ὕψους, καὶ πάντας ἀνθρώπους ἀπὸ γῆς καὶ τῶν γηΐνων ὑψοῖ· καὶ πάντα αὐτοῦ τὰ μέλη ἐκτείνει ἐφ' ἡμετέρᾳ ἐνεργεσίᾳ· καὶ τοὺς δηχθέντας ὑπὸ τῶν νοητῶν ὄφεων θεραπεύει, εἰς αὐτὸν μετὰ πίστεως ἐνορῶντας.

Διὰ ταῦτα καὶ ἕτερα πλείω σταυρικὸν ὑπομεῖναι τὸν θάνατον ἠρετίσατο· καὶ σταυροῦται μὲν ἐν Ἱερουσαλὴμ, ὅτι καὶ πάντες οἱ προαποσταλέντες παρ' αὐτοῦ ἐν αὐτῇ ἀπεκτάνθησαν, καὶ ὅτι ὁ ἅγιος Ἀβραὰμ αὐτόθι τὸν υἱὸν σφαγιάζων ἀνήγαγε, τοῦτον τὸν ὑπὲρ ἡμῶν σφαγέντα μονογενῆ προτυπῶν· καὶ ἐν Κρανίου δὲ τόπῳ, ἵνα ὅπου τὸ διὰ ξύλου πτῶμα, ἐκεῖ καὶ ἡ διὰ τοῦ ξύλου ἔγερσις γένηται· ἔνθα καὶ μετ' ὀλίγον Ἐνὼχ καὶ Ἠλίας, οἱ Προφῆται καὶ μάρτυρες, ὑπὲρ Χριστοῦ μαρτυρήσουσι, καὶ μετὰ τρίτην ἡμέραν τῆς αὐτῶν τελευτῆς ἀναστήσονται·

λῃσαῖς συςαυρῦται, ἵνα κἀκεῖθεν κερδάνῃ, πῇ μὲν τὴν οἰκείαν Φιλανθρωπίαν ἐπιδεικνύμενος, πῇ δὲ, τὴν σωτηρίαν πραγματευόμενος τῷ λῃςῇ· μετὰ τὸ καὶ τὴν Γραφὴν ἐκπληρῦν· τίτλον καταδέχεται ἐπὶ τῦ ςαυρῦ, δεικνὺς ὅτι τὰ κράτιςα τῶν ἐθνῶν, ὁποῖοι οἱ Ῥωμαῖοι, καὶ τὰ σοφώτατα, ὁποῖοι οἱ Ἕλληνες, καὶ τὰ θεοσεβέςατα, ὁποῖοι ποτὲ ἐτέλυν Ἑβραῖοι, ὑπὸ τὴν αὐτῦ βασιλείαν τεθήσονται, καὶ Βασιλέα αὐτῶν ἐπιγράψονται καὶ ἀνακηρύξυσιν, ὃς τῶν ἐξομολογυμένων, (τῦτο γὰρ δηλοῖ τῶν Ἰυδαίων) αὐτὸς ἐςὶν ὁ Βασιλεύς· χολῆς ἐγεύσατο, διὰ τὴν πικρὰν ἡμῶν ἡδονήν· καὶ ὄξος ἐποτίσθη, τὴν ἐν τῷ παραδείσῳ πάλαι γεῦσιν ἡμῶν ἐξιώμενος· σπόγγον ἔλαβε διὰ τὸ ἑλκτικὸν καὶ σομφὸν καὶ φυλακτικὸν τῆς ἡδονῆς, καὶ ὕσσωπον διὰ τὸ ῥαντιςικὸν τῆς ἁμαρτίας· καὶ ἐσμυρνισμένον ἔπιεν οἶνον, τὸ αὐςηρὸν καὶ δριμύτατον ταύτης ἀναιρῶν παντελῶς.

Πρὸς τύτοις θαυματυργεῖ τὴν ἑαυτῦ πιςύμενος δύναμιν· καὶ σκοτίζει μὲν ἥλιον ἐν μέσῃ ἡμέρᾳ, ὐδὲ γὰρ εἰκὸς ἦν τῷ τῆς κτίσεως δεσπότῃ πάσχοντι, μὴ συμπάσχειν αὐτῷ καὶ τὰ κτίσματα· τρίωρον δὲ σκότος ἐπάγει κοσμικὸν, ἀλλ᾽ ὐ μερικὸν, ἵνα δείξῃ ὡς πᾶσα ἡ κτίσις πενθεῖ, καὶ τῶν Ἰυδαίων ἀπέςη τὸ Φῶς, καὶ ἔςαι τύτοις τριῶν ὡρῶν σκότος· ἤτοι Φωτὸς Πατρικῦ, ἀπαυγάσματος Υἱῦ, καὶ ἐλλάμψεως Πνεύματος ἁγίυ· σείει μέντοι καὶ πᾶσαν τὴν γῆν, τὴν μετάθεσιν τῶν καθόλυ πραγμάτων δηλῶν· τὸ καταπέτασμα τῦ Ναῦ διαῤῥήγνυσιν, ἵνα δείξῃ ὅτι τὸ μεσότειχον, ὃ διεῖργεν ἡμᾶς ἀπὸ τῶν ἐν ὐρανοῖς ἁγίων, ἡ πρὸς τὸν Θεὸν ἔχθρα, καὶ ἡ ταύτης αἰτία ἡ ἁμαρτία, διαλύεται ἀπὸ ἄνωθεν ἕως κάτω· ἤγυν ἀπὸ Ἀδὰμ ἕως τῶν τελευταίων ἀνθρώπων· εἰς ἔλεγχόν τε τῶν πεπωρωμένων καὶ λιθοκαρδίων Ἑβραίων πέτρας ῥαγῆναι ποιεῖ, μνήματα ἀνοίγει, καὶ νεκρὺς νεκρωθεὶς ἀνιςᾷ, ἵνα δείξῃ ὅτι εἰ καὶ τέθνηκε, τῶν ζώντων αὐτὸς ἐςὶν ἡ ζωὴ, καὶ τῶν τεθνεώτων σαφῶς ἡ ἀνάςασις, τῶν τε καταχθονίων Κύριος, καὶ τῦ ᾅδυ δεσπότης· καὶ

μεριϑῆναι μὲν ἀνέχεται τὰ ἑαυτȣ̃ ἱμάτια, τὸν τῆς ψυχῆς καὶ τȣ̃ σώματος αὐτȣ̃ μερισμὸν αἰνιττόμενος, τὸν δέγε ἄνωθεν ὑφαντὸν χιτῶνα μὴ μεριϑῆναι οἰκονομεῖ, τὸ ἀχώριστον τῆς αὐτȣ̃ Θεότητος διὰ τȣ́τȣ παραδεικνύς· διψᾷ, ἀλλὰ μετὰ τȣ̃ φυσικȣ̃ ἀπαιτήματος, τὴν ἡμῶν σωτηρίαν καὶ πάντων τῶν γεννηθησομένων τὴν τῆς ἀληθείας ἐπίγνωσιν· εἰς χεῖρας τȣ̃ ἑαυτȣ̃ Πατρὸς τὴν οἰκείαν ψυχὴν παρατίθησι, διδάσκων καὶ ἡμᾶς, τὸν τῇδε βίον ἀπολιμπάνοντας, εἰς χεῖρας τȣ̃ ἐπȣρανίȣ τȣ̃δε Πατρὸς τὰ πνεύματα ἡμῶν παρατίθεσθαι· καὶ παρακαταθήκην τὸν θάνατον ὀνομάζει, ὡς πάλιν ληψόμενος τὴν ψυχήν.

Ἐν ἔαρι δὲ πέπονθεν, ὅτι ἐν ταύτῃ τῇ ὥρᾳ καὶ ὁ Ἀδὰμ πέπτωκε· καὶ τῇ ἕκτῃ δὲ ἡμέρᾳ, καὶ ὥρᾳ, ὅτι καὶ ἐν ταύταις παρέβησαν τὴν ἐντολὴν οἱ προπάτορες· τῇ ἐννάτῃγε τῆς Παρασκευῆς ὥρᾳ παρέδωκε τὴν ψυχήν, ὅτι ἐν ταύταις καὶ οἱ γενάρχαι ἐξεβλήθησαν τῆς Ἐδέμ· Παρασκευῇ δὲ τȣ̃ Πάσχα ἐσφάγη, ἵνα δείξῃ ὅτι αὐτὸς ἐστὶν ἀληθῶς ὁ ἀμνὸς τȣ̃ Θεȣ̃, ὃν ἐτύπȣν πάλαι ἀμνοὶ, οἱ διὰ τὸ Πάσχα σφαζόμενοι κατ᾽ αὐτὴν τὴν ἡμέραν· ἐπὶ πᾶσι λόγχῃ ἠνέωκται τὴν πλευρὰν, τὴν Ἀδαμιαίαν ἐκείνην πλευρὰν θεραπεύων, ἤτοι τὸ τῆς Εὔας ὀλίσθημα διορθȣ́μενος, καὶ τὴν καθ᾽ ἡμῶν στρεφομένην ῥομφαίαν ὑπὲρ ἡμῶν στρέφεσθαι προνοȣ́μενος· αἷμάτε καὶ ὕδωρ ἡμῖν ἐκ τῆς ἑαυτȣ̃ ζωηῤῥύτȣ πλευρᾶς ἀνέβλυσε, τȣ́τῳ μὲν πλύνων ἡμᾶς, ἐκείνῳ δὲ χρίων, καὶ δι᾽ ἀμφοῖν ζωῆς ἐμπιπλῶν· καὶ γὰρ ὥσπερ τȣ̃ Ἀδὰμ ἐν τῷ παραδείσῳ ὑπνώσαντος, ἐκ τῆς πλευρᾶς αὐτȣ̃ ἐλήφθη ἡ Εὔα, ἥτις ἐστὶ Μήτηρ τῶν ζώντων ἁπλῶς, ȣ̃τω καὶ τȣ̃ Χριστȣ̃ ἐν τῷ Σταυρῷ ὑπνώσαντος, ἐκ τῆς πλευρᾶς αὐτȣ̃ ἐλήφθη τὸ αἷμα καὶ τὸ ὕδωρ, δι᾽ ὧν ἀναγεννώμεθα καὶ σωζόμεθα οἱ ζῶντες ἐν αὐτῷ· καὶ ὥσπερ γυνὴ τὸ ἐξ αὐτῆς τεχθὲν οἰκείῳ τρέφει αἵματίτε καὶ γάλακτι, ȣ̃τω καὶ ὁ Χριστὸς, ȣ̃ς ἐγέννησε Πνεύματι, αὐτὸς οἰκείῳ τρέφει διηνεκῶς σώματίτε καὶ αἵματι· καὶ ὥσπερ τὸ αἷμα τȣ̃ προβάτȣ, ἐπὶ συντηρήσει τῶν πρωτοτόκων ἐν Αἰγύπτῳ σταυροειδῶς

τὰς φλιὰς χρίσαν, κατὰ τὸ παλαιὸν θανάτου ἐρρύσατο, οὕτω καὶ τὸ αἷμα τοῦ ἀμνοῦ καὶ Θεοῦ, τὴν ἐκ τεσσάρων στοιχείων σύνθετον ἡμῶν φύσιν χρίον ἀπαλλάττει φθορᾶς;

Καὶ ἵνα συνελὼν εἴπω (Βασιλεῖ γὰρ παρίσταμαι μυρίαις φροντίσι περισπωμένῳ, καὶ δεῖ συντεμεῖν·) ἀπέθανεν, ἵνα ἐπεὶ πάντες ἦμεν ὑπεύθυνοι τῷ θανάτῳ, ἄλλος ὢν τῶν πάντων αὐτὸς, ὑπὲρ πάντων τὸ ἴδιον σῶμα προσενεγκὼν τῷ θανάτῳ, διὰ τούτου τοὺς πάντας θανάτου λυτρώσηται· πρὸς δὲ, καὶ ἵνα πείσῃ τοὺς αὐτῷ πειθομένους θανάτου καταφρονεῖν· τοιοῦτόν τι ποιῶν, οἷον ἂν εἴτις ἰατρὸς οὐκ ἔχων ἀνάγκην τῶν τῷ ἀῤῥώστῳ παρεσκευασμένων σιτίων ἀπογεύσασθαι ὁπωσοῦν, διὰ τὴν περὶ ἐκεῖνον κηδεμονίαν πρῶτος αὐτὸς ἀπογεύσηται, ἵνα πείσῃ τὸν ἄῤῥωστον κατατολμῆσαι θαῤῥούντως τῆς βρώσεως· ὅθεν οὐ μόνον ἄνδρας ἔπεισεν, ἀλλὰ καὶ γυναῖκας, καὶ παῖδας θανάτου καταφρονεῖν· καὶ μάρτυς τοῦ πράγματος προφανὴς, ὁ τῶν ἁγίων Μαρτύρων ἁγιώτατος κύκλος· ἐν καινῷ μνημείῳ ἐτέθη, ἵνα μὴ ὁ προτεθεὶς, ἢ διὰ τῆς τοῦ προτεθέντος δυνάμεως δόξῃ ἀναστῆναι τοῖς Χριστομάχοις· ἐτάφη, ἵνα ἀναστήσῃ· εἰς ᾅδου κατῆλθεν ὁ μόνος ἐλεύθερος ἐν νεκροῖς, ἵνα λύσῃ τοὺς ἀπ' αἰῶνος ἐκεῖσε κατεχομένους· ἀνέστησεν, ἐπεὶ ἐνεκρώθη· ἐψηλαφήθη, ὡς ἂν πιστώσηται τὴν ἀνάστασιν· εἰς οὐρανοὺς τὴν τῶν ἀνθρώπων φύσιν ἀνύψωσεν, ἐπεὶ ἐκεῖ ἀνυψώθη, ὅθεν καὶ πρὶν κατῆλθεν ὁ ἀπερίγραπτος· ὁ αὐτὸς καὶ πρὸς ἡμᾶς ὑπὲρ ἡμῶν καταβὰς, ἔνθα πάντοτε ἦν ὁ τὰ πάντα πληρῶν· καὶ δι' ἡμᾶς ἐκεῖ ἀναβὰς, ὅπου μηδόλως ἀπῆν· καὶ νῦν ἐκεῖ καθήμενος σὺν τῇ ἡμῶν ἀπαρχῇ· καὶ ὥσπερ ὁ αἰσθητὸς ἥλιος ἀγαλλιάσεται, ὡς γίγας δραμεῖν ὁδὸν κατὰ τὸ ὁρώμενον, οὕτω δὴ καὶ ὁ τῆς δικαιοσύνης ἥλιος ὁ Χριστὸς, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ κατὰ τὸ νοούμενον· ἐκεῖνος μὲν ἀπὸ Ἀνατολῶν εἰς Δυσμὰς, καὶ ἀπὸ Δυσμῶν εἰς Ἀνατολὰς ὁ κύκλος· αὕτη δὲ ἀφ' ὕψους εἰς βάθος ἢ καθο-

κάθοδος, καὶ αὖ ἐκ βάθȣς εἰς ὕψος ἡ ἄνοδος καὶ ἐπάνοδος· ὅτε καταβῆναι κατώτερον ἦν, ὅπȣ κατέβη ὁ ἄνθρωπος, ὅτ' ἀναβῆναι ἀνώτερον ἦν, ὅπȣ ἀνέβη ὁ Κύριος· εἰς τὰ κατώτερα μέρη τῆς γῆς κατέβη μετὰ ψυχῆς ὡς Θεὸς, καὶ ὑπὲρ ἄνω πάντων τῶν ȣρανῶν ἀνέβη μετὰ παντὸς τȣ͂ οἰκείȣ προσλήμματος ὁ τȣ͂ παντὸς συνοχεύς.

Οὕτω καὶ πλείω καὶ κρείττονα ἦν, ὧν ἀπώλεσεν ἄνθρωπος, ἅπερ ἡμῖν ὁ Χριςὸς ἐχαρίσατο· καὶ τοσȣ́τῳ πλείω καὶ κρείττονα, ὅσῳ πέλαγος ἄπειρον πρὸς ςαγόνα μικράν· διὸ καὶ ὁ μακάριος ἔγραφε Παῦλος „ὅπȣ ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερεπερίσσευσεν ἡ χάρις· ἤγȣν μεῖζον τὸ ἐπιδοθὲν χάρισμα τȣ͂ προφθάσαντος ἁμαρτήματος· ταύτητοι ἐπιφέρει „ȣ̓χ ὡς τὸ παράπτωμα ȣ̔́τω καὶ τὸ χάρισμα· ἤτοι ȣ̓χ ὅσον ἄνθρωπος ἥμαρτε, τοσȣ͂τον καὶ ὁ Θεὸς ἐχαρίσατο, ἀλλὰ τὰ χαρίσματα μείζω καὶ κρείττονα· ὅθεν καὶ ὁ βαπτιςὴς Ἰωάννης ἐκήρυττεν „ἴδε ὁ ἀμνὸς τȣ͂ Θεȣ͂, ȣ̓χ ὁ αἴρων τὴν ἁμαρτίαν τȣ͂ Ἀδὰμ, ἢ τȣ͂ δεῖνος, ἀλλ' ὁ αἴρων τὴν ἁμαρτίαν τȣ͂ κόσμȣ· καὶ ὁ τῆς βροντῆς ὑὸς, καὶ πάντων μαθητῶν ἀγαπώμενος πλέον, ἐν τῇ πρὸς αὐτὸν γενομένῃ Ἀποκαλύψει· „παρὰ Κυρίȣ φησὶν, ἤκȣσα μυρίων μυριάδων Ἀγγέλων φωνῇ μεγάλῃ λεγόντων, ἄξιος ἐςὶν ὁ ἀμνὸς ὁ σφαγεὶς λαβεῖν δύναμιν, καὶ θεότητα, καὶ πλȣ͂τον, καὶ σοφίαν, καὶ ἀνδρίαν, καὶ ἰσχὺν, καὶ δόξαν, καὶ τιμὴν, καὶ εὐλογίαν, καὶ πᾶσαν τὴν κτίσιν, ὅση ἐςὶν ἐν τῷ ȣ̓ρανῷ, καὶ ἐπὶ τῆς γῆς, καὶ ἐπὶ τῆς θαλάσσης, καὶ ὑπὸ τὴν γῆν, καὶ τὰ ἐν τȣ́τοις ἅπαντα· εἶδες τὸ ὕψος τῆς ταπεινώσεως τȣ͂ Χριςȣ͂; συνῆκας τὴν δύναμιν τȣ͂ Σταυρȣ͂; κατενόησας ὅσα κατώρθωσε τὸ τῆς οἰκονομίας τȣ͂ Λόγȣ μυςήριον;

Ἀλλὰ τί πρὸς ταῦτα φασὶν οἱ φρονȣ͂ντες ὑπὲρ τὸ δέον; ἄνωθεν ταῦτα πάντα προώριςο παρὰ τῆς τὰ πάντα καλῶς καὶ πανσόφως οἰκονομȣ́σης προνοίας, ἡ προδοσία, τὰ πάθη, ἡ ςαύρωσις, ἡ σφαγὴ, ἡ ταφὴ, ἁπλῶς ἅπαντα· ὡς καὶ οἱ Εὐαγγελιςαὶ προφανῶς μαρτυρȣ͂σι γράφοντες πολλαχȣ͂ „τȣ͂το δὲ ὅλον γέγονεν, ἵνα ἡ δεῖνα ἢ δεῖ-

ἡ δεῖνα Γραφὴ πληρωθῇ· καὶ αὐτὸν δὲ τὸν Κύριον εἰσάγουσι λέγοντα περὶ τοῦ προδότου Ἰούδα, οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰμὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ Γραφὴ πληρωθῇ· ὥστε τὸ προωρισμένον πρὸ τῶν αἰώνων γενέσθαι ποιῶν ὁ προδότης, καὶ ἵνα ἡ Γραφὴ πληρωθῇ ἀπολλύμενος, οὐ κολάσεως ἄξιος, ἀλλὰ πολλῶν ἐπαίνων, ὅτι ὡς συνεργῶν τῇ παγκοσμίῳ σωτηρίᾳ, τὸν προωρισμένον προδοθῆναι ὑπὲρ παντὸς τοῦ κόσμου παρέδωκεν· εἰ γὰρ ἵνα ἡ Γραφὴ πληρωθῇ ὁ υἱὸς τῆς ἀπωλείας ἀπώλετο, οὐκ αὐτὸς ἑαυτῷ τῆς ἀπωλείας αἴτιος ἐγένετο, ἀλλὰ τῆς Γραφῆς ἡ ἀνάγκη, ἢ ὁ ταῦτα προειρηκὼς, καὶ προορίσας οὕτω γενέσθαι ὡς γέγονεν· ἆρον οὖν τὸν λόγον τῆς Γραφῆς, καὶ ὁ Ἰούδας υἱὸς ἀπωλείας οὐ γίνεται. Ἀλλ᾽ ἡ τοιαύτη διάνοια αἱρετικός ἐστιν ἔμετος, καὶ τῆς ἀληθείας πολὺ ἀποδέει· οὔτε γὰρ ὁ Προφήτης αἴτιος τοῦ τὸν προδότην, προδότην γενέσθαι, οὔτε ὁ Ἰούδας τῆς ἑαυτοῦ ἀπωλείας ἀνεύθυνος· ὅτι ὁ μὲν Προφήτης προβλέπων ἃ μέλλει πράττειν ὁ τολμητίας, ἅτε Προφήτης ἀπήγγειλεν, αὐτὸς δὲ προδότης μετὰ ταῦτα γενόμενος, τὸν τοῦ Προφήτου λόγον ἀληθέστατον ἔδειξε, καὶ οὐχ ὡς τῷ προφητικῷ λόγῳ διακονῶν, κατὰ τοῦ Σωτῆρος ἐχώρησεν, ἀλλ᾽ ἐξ οἰκείας προαιρέσεως μόνης τὴν προδοσίαν εἰργάσατο, καὶ οἴκοθεν αἴτιος μόνος γέγονε τῷ Προφήτῃ, τοῦ ταῦτα προφητεῦσαι περὶ αὐτοῦ. Ὥσπερ γὰρ ἡμεῖς τὰ ἐν ὀφθαλμοῖς ὁρῶντες, οὐ σφαλλόμεθα βλέποντες, καὶ οὐδὲ ἄλλως μὲν ἡμεῖς αὐτὰ βλέπομεν, ἄλλως δὲ ταῦτα γίνεται, ἀλλ᾽ ὡς γίνεται βλέπομεν, καὶ ὡς βλέπομεν γίνεται· καὶ οὔτε διότι καλῶς, ἢ μὴ καλῶς ἡμεῖς βλέπομεν, διὰ τοῦτο οὕτω πως, ἢ ἄλλως γίνεται τὰ γινόμενα κατ᾽ ἀνάγκην, ἀλλὰ διότι μᾶλλον οὐκ ἄλλως, ἀλλ᾽ οὕτω πως γίνεται, διὰ τοῦτο οὐχ ἑτέρως ταῦθ᾽ ὁρῶμεν γινόμενα· οὕτω καὶ οἱ Προφῆται τὰ μέλλοντα ὡς παρόντα ὁρῶντες, τὰ γενησόμενα ὡς ἤδη γινόμενα ἔβλεπον, καὶ οὐ διότι ταῦτα ἔβλεπον, οὕτως ἐγίνετο τὰ γινόμενα, ἀλλὰ πᾶν τοὐναντίον ὅτι ταῦτα οὕτως ἐγίνετο, οὕτω κἀκεῖνοι ταῦτ᾽ ἔβλεπον· ὥστε οὐκ ἐπειδὴ λέγουσιν οἱ Προφῆται, διὰ τοῦτο καὶ γίνεταί πως τὰ γινόμενα, ἀλλ᾽ ὅτι

οὕτως

ὕτως (*) γενέϑαι, διὰ τῦτο ὕτω προλέγυσιν· ἐπεὶ εἰ τὰ γινόμενα καὶ γεγονότα καὶ γενησόμενα μὴ προέβλεπον, ὐκέτι ἂν ἦσαν Προφῆται· νῦν δὲ ὁρῶσιν ἀληθῆ, ἅτε παρὰ Θεῦ φωτιζόμενοι. Οὐκῦν ὥσπερ ὁ ἀνασκευάζων ἔφη, ἆρον τὸν λόγον τῆς Γραφῆς, καὶ ὁ Ἰῦδας υἱὸς ἀπωλείας ὐ γίνεται, ὕτω κατασκευάζων καὶ αὐτὸς φαίίω ἂν λόγον ἀληθείας ἐχόμενον, ἆρον τὸν τῦ προδότε φιλάργυρον τρόπον, καὶ ὐδεὶς προφητεύσει περὶ αὐτῦ· μᾶλλον δὲ κἂν προφητεύσῃ πᾶστις, κἂν μὴ, ὕτε προδότης ἐκεῖνος, ὕτε υἱὸς ἀπωλείας γενήσεται. Ὅταν τοίνυν ἀκέσῃς, „ ὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπω„ λείας, ἵνα ἡ Γραφὴ πληρωθῇ, μὴ τῷ λόγῳ τῆς Γραφῆς, τῆς προδοσίας, ἢ τῆς ἀπωλείας αὐτῦ τὴν αἰτίαν πρόσαπτε, ἀλλὰ τῇ φυλαργύρῳ τέτε γνώμῃ, καὶ πράξει μόνον· τὸ γὰρ ΙΝΑ τῦτο ὐ πανταχῦ αἰτιολογίας ἐςὶν, ἀλλὰ πολλαχῦ καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως. Οὕτω
„ καὶ ὁ Χριςὸς αὐτὸ τίϑησιν, ὅταν λέγῃ „ εἰς κρίμα ἐγὼ
„ εἰς τὸν κόσμον τῦτον ἦλϑον, ἵνα οἱ μὴ βλέποντες βλέπω-
„ σι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. Οὕτω καὶ ὁ
„ ἀπόςολος Παῦλος, ὅταν περὶ τῦ νόμυ διαλεγόμενος γρά-
„ φῃ „ νόμος δὲ παρεισῆλϑεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα· ἀλλ' ὔτε ὁ νόμος διὰ τῦτο ἐδόϑη, ἵνα τὰ τῶν Ἰυδαίων αὐξυνϑῆ ἁμαρτήματα, τῦτο δὲ ἐξέβη· ὔτε ὁ Χριςὸς διὰ τῦτο ἦλϑεν, ἵνα οἱ βλέποντες τυφλοὶ γένωνται, ἀλλὰ διὰ τὐναντίον συνέβη τῦτο. Τοιῦτον ἐςὶ καὶ ὅ φη-
„ σὶν ὁ Θεὸς τῷ Φαραὼ „ διὰ τῦτο ἐξήγειρά σε, ἵνα ἐνδεί-
„ ξωμαι ἐν σοὶ τὴν δύναμίν μυ· καὶ τὸ, σοὶ μόνῳ ἥμαρτον,
„ καὶ τὸ πονηρὸν ἐνώπιόν σε ἐποίησα, ὅπως ἂν δικαιωϑῇς
„ ἐν τοῖς λόγοις σε, καὶ νικήσῃς ἐν τῷ κρίνεϑαί σε· καὶ τὸ,
„ ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ Γραφὴ πληρωϑῇ, ὀςῦν ὐ-
„ συντριβήσεται ἀπ' αὐτῦ· καὶ πάλιν ἑτέρα Γραφὴ λέγει,
„ ὄψονται εἰς ὃν ἐξεκέντησαν· καίτοι οἱ ςρατιῶται, ὐχ ἵνα ἡ Γραφὴ πληρωϑῇ, ὐ κατέαξαν τὰ τῦ Δεσπότε σκέλη· ὐδ' ἵνα ὄψωνται οἱ Ἑβραῖοι εἰς ὃν ἐξεκέντησαν, τὴν καυτάτις λόγχῃ τὴν πλευρὰν αὐτῦ ἔνυξε· καὶ μυρία τοιαῦτα παρὰ τῇ Γραφῇ κείμενα εὑρήσει πᾶς ὁ βυλόμενος.

Ἀλλὰ

Ἀλλὰ τὰ ἀνθρώπινα πάντα φησὶ, παρὰ τῆς ἐφόρου τῶν πάντων προνοίας προώρισαι, καὶ πᾶσα ἀνάγκη μὴ ἄλλως ταῦτα γίνεσθαι, εἰμὴ καθὼς προώρισαι, ὃ καὶ οἱ Εὐαγγελισαὶ ῥητῶς λέγουσι περὶ τοῦ Ἰούδα „ ὁ μέλλων αὐτὸν παραδοῦναι· εἰ οὖν μέλλων ἦν τοῦτον προδοῦναι, τὸ προωρισμένον ποιῶν οὐκ ἐξήμαρτε. Πρὸς δὴ τοῦτο καὶ ἐκεῖνο ἐσὶν εἰπεῖν, ὅτι τὸ ΜΕΛΛΩ τοῦτο ῥῆμα, ἀφ᾽ οὗ γίνεται ἡ μετοχὴ ὁ μέλλων, σημαίνει ἑπτά· τὸ φρονῶ, τὸ ὀφείλω, τὸ φαίνω, τὸ διαβάλλω, τὸ βραδύνω, καὶ τὸ φροντίζω· ὡς οὖν μελετῶν, ὡς σπουδάζων, ὡς μεριμνῶν καὶ ἔργον τοῦτο ποιούμενος τὸ προδοῦναι, εἴρηται ὁ μέλλων αὐτὸν παραδοῦναι, ἀλλ᾽ οὐχ ὡς κατ᾽ ἀνάγκην ἀφοριζόμενος εἰς τοῦτο παρὰ Θεοῦ, ἢ τῆς φημιζομένης γενέσεως· εἰ γὰρ καὶ πάντα πρόκειτο καθ᾽ ὑπόθεσιν τῇ τῶν ἄσρων φορᾷ, ἢ γενέσει, καὶ εἱμαρμένῃ τινὶ, ἢ τὴν Λάχεσιν τυραννεῖν ἔδει, ὡς τοῖς ἔξω ἐδόκει, καὶ τὴν Ἀτροπῶ, καὶ Κλωθῶ, ἀλλ᾽ οὐκ ἂν καὶ τὸν τῶν πάντων αἴτιον, καὶ ἑαυτῶν Κυριάρχην κλῶσαι καὶ τρέψαι καὶ λαχεῖν τῇ ἑαυτῶν ἐξουσίᾳ ἠνάγκασαν.

Πάλιν, εἰ καὶ προγινώσκει ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν ἡμᾶς Κύριος, ἀλλ᾽ οὐδὲν προορίζει τῶν ἐφ᾽ ἡμῖν· καὶ ἡ θεία πρόγνωσις οὐκ ἀναιρεῖ τὸ ἡμῶν αὐτεξούσιον· καὶ γὰρ οὐχ ὅτι προγινώσκει πράττομεν, ἀλλ᾽ ὅτι πράξομεν προγινώσκει· καὶ οὔτε ἡ παρ᾽ ἡμῶν τελουμένη κακία, ἐκ τοῦ παρ᾽ αὐτοῦ προορᾶσθαι τὸ αἴτιον ἔχει, οὔτε ἡ ἐν ἡμῖν ἀρετὴ, ἐντεῦθεν τὴν ἀρχὴν τοῦ γίνεσθαι κέκτηται· ἐπεὶ οὔτε τὴν κακίαν αὐτὸς ὁπωσοῦν θέλει, οὐδὲ τὴν ἡμῶν ἀρετὴν ὅλως βιάζεται· οὐ γὰρ ἀνάγκη δέδεται τὰ ἡμέτερα, ἀλλ᾽ ἐλευθερίᾳ ἐπίσης πάντες ἄνθρωποι τετιμήμεθα· καὶ διὰ τοῦτο οὐ συγγινώσκομεν ἁμαρτάνουσιν, οὔτε δεσπόται οἰκέταις, οὔτε ἄνδρες γυναιξὶν, οὔτε πατέρες παισὶν, οὔτε διδάσκαλοι μαθηταῖς, οὔτ᾽ ἄρχοντες ἀρχομένοις, οὔτε νομοθέται νομοθετουμένοις, ἀλλὰ πικροὶ τῶν τολμηθέντων ἐξετασαὶ καὶ τιμωροὶ γινόμεθα, ἐπειδὴ πάντες ἴσμεν, ὅτι οὐκ ἐσμὲν δοῦλοι ἀνάγκης, ἀλλὰ προαιρέσεως

κύριοι

κύριοι· τίνος γὰρ ἕνεκεν πολλὴν σπουδὴν ποιούμεθα νοσοῦντες, καὶ χρήματα δαπανῶμεν, καὶ ἰατροὺς καλοῦμεν, καὶ φάρμακα κατασκευάζομεν, καὶ γαστρὸς κατέχομεν, καὶ ἐπιθυμίαν κολάζομεν, καὶ πρόγε πάντων ἁγίους παρακαλοῦμεν, καὶ τὸν Θεὸν ἱκετεύομεν; εἰ γὰρ προώρισαι θανεῖν τῷ νοσοῦντι, ἢ ἀνασφῆλαι τῆς νόσου, πάντα τὰ πρὸς βοήθειαν τῶν ἀνθρώπων ἐπινοούμενα περιττά· νῦν δὲ ἐξ ὧν ἅπαντες ποιοῦσι, Ῥωμαῖοι ὡσαύτως καὶ Βάρβαροι, σοφοίτε καὶ ἄσοφοι, ἔχω δὲ λέγειν ὅτι πιστοὶ καὶ ἄπιστοι, δηλοῦσι προδήλως, ὅτι τούτων οὐδὲν ἐστὶ περιττόν.

Πάλιν εἴπερ ὁ δεῖνα προώρισαι γενέσθαι καλὸς, καὶ καθεύδων ὁ τοιοῦτος καὶ ῥέγχων, καὶ πράττων ὅ,τι ἂν βούληται, καὶ μὴ πράττων, πάντως ἔσαι καλός· τὶς δὲ χρεία τούτῳ μερίμνης καὶ πόνων καὶ ἱδρώτων ὑπέρτινος; μᾶλλον δὲ οὐδὲ καλὸν τὸν τοιοῦτον ἔσι καλεῖν, τὸν κατὰ ἀνάγκην τοῦτο γινόμενον· καίγε τῷ κακῷ εἰ προώρισαι γενέσθαι κακὸν, κἂν μυρία σπουδάσῃ ἀπαλλαγῆναι κακίας, πάντως ἔσαι κακός· μᾶλλον δὲ οὐδὲ τὸν τοιοῦτον κακὸν καλεῖν δίκαιον, τὸν ὑπ᾽ ἀνάγκης ὠθούμενον, καὶ πρὸ τοῦ εἶναι τεταγμένον εἰς τοῦτο, τὸ κακὸν πάντως εἶναι· εἰ δὲ οὐδεὶς καλὸς οὐδὲ κακὸς, οὐδὲν ἀρετὴ, οὐδὲν κακία· εἰ δὲ τοῦτο, οὐδ᾽ ὁ δικάζων ἔσαι ἀγαθὰ καὶ κακά· εἰ δὲ ὁ δικάζων οὐκ ἔσιν, οὐδὲ κρίσις ἔσαι· οὐδ᾽ ἀνταπόδοσις τῶν βεβιωμένων· εἰ δὲ οὐκ ἔσιν ἀνταπόδοσις τῶν βεβιωμένων, οὐκ ἔσι δίκαιος ὁ Θεός· εἰ δὲ οὐκ ἔσι δίκαιος ὁ Θεὸς, οὐδὲ Θεὸς ἐσίν· εἰ δὲ Θεὸς οὐκ ἔσιν, ἁπλῶς ἅπαντα φέρεται. Συνορᾶτε πῶς ἑνὸς ἀτόπου δοθέντος, πολλὰ τὰ ἄτοπα ἕπεται; ὥστε οὐ δεῖ τὰς θείας ἀποφάσεις κακῶς ἐκλαμβάνειν, καὶ κατὰ τὰς οἰκείας θελήσεις διασρέφειν αὐτὰς, αἰχμαλωτίζειν δὲ πᾶν νόημα (κατὰ τὸν Ἀπόσολον) εἰς ὑπακοὴν τοῦ Χρισοῦ.

Πλὴν ὑπεραπολογουμένη τοῦ δικαίου, ἡ τοῦ λόγου φορὰ πόῤῥω τῆς νύσσης ἡμᾶς λεληθότως παρήγαγε· διὸ χρὴ ἐκεῖσε πάλιν νοσῆσαι, ὅθεν ὁ λόγος τῆς εὐθείας ἐξέδραμε,

δραμε, καὶ ὑπομνῆσαι ὑμᾶς τῶν τοῦ δεσπότου παθημάτων
μεμνῆσθαι, καὶ σκοπεῖν ὁσημέραι, οὐ μόνον ὅσα κατὰ τὴν
σήμερον πέπονθεν, ἀλλὰ καὶ ὅσα πρὸ τῆς ἡμέρας ταύ-
της, λέγω δὲ παρὰ πάντα τὸν βίον, ὑπέμεινε δι' ἡμᾶς·
οἷον τὴν εἰς τὴν Αἴγυπτον φυγήν· τὴν ἐξ Αἰγύπτου εἰς
τὴν Ἰουδαίαν ἐπάνοδον· τὴν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλι-
λαίαν· τὸν πάντα πειρασμὸν ἐκεῖνον, ὃν ὑπέστη πρὸς τοῦ
ἐχθροῦ ἡμέρας τεσσαράκοντα, καὶ νύκτας τοσαύτας ἐν
τῇ ἐρήμῳ, ἀνενδότως ἐγκαρτερῶν τοῖς δεινοῖς· τὸ „ εἰπὲ “
ἵν' οἱ λίθοι οὗτοι ἄρτοι γένωνται· τὸ, εἰ υἱὸς εἶ τοῦ Θεοῦ, “
βάλλε σεαυτὸν κάτω· τὸ, ταῦτα πάντα σοι δώσω ἐὰν “
πεσὼν προσκυνήσῃς μοι· ὅτε ἐπ' ὀφρύος τοῦ ὄρους ἀνήγα- “
γον αὐτὸν οἱ ἴδιοι ἐπὶ τὸ κρημνίσαι· ὅτε εἰς τὴν Ἐφραὶμ
κατέφυγε πόλιν· ὅτε παρῴκησε τῇ Καπερναοὺμ· ὅτε
δαιμόνιον ἔχειν, καὶ Σαμαρείτην εἶναι, καὶ λαλεῖν βλασ-
φημίας, καὶ ἄλλα βλάσφημα τὰ καὶ ἀριθμὸν ὑπερβαίνον-
τα, ἤκουσε παρ' αὐτῶν· ὁσάκις οἱ πρεσβύτεροι, ὡς λιθάσον-
τες λίθους ἦραν ἐπ' αὐτόν· ὁσάκις ἀνεχώρησεν εἰς τὴν Γα-
λιλαίαν, καὶ εἰς ἔρημον ἄβατον, χώραν τῇ τῶν Ἑβραίων
κακίᾳ διδούς· ἡνίκα ὁ Ἡρώδης ἐζήτει αὐτὸν ἀνελεῖν· ὅσας
προσῆγον αὐτῷ διὰ τῶν λόγων ἐνέδρας, ὁτὲ μὲν οἱ Φα-
ρισαῖοι, ὁτὲ δὲ οἱ Γραμματεῖς, ἔνθεν οἱ Σαδδουκαῖοι,
ἐκεῖθεν οἱ Ἡρωδιανοὶ, ἄλλοθεν οἱ Νομοδιδάσκαλοι, καὶ
ἰδίᾳ ἕκαστος καθ' ὑπόκρισιν, καὶ πάντες ἅμα ἰταμῶς
ἐκείνῳ καὶ ἀναίδην προσβάλλοντες.

Τούτοις συναριθμεῖτε καὶ ὅσα τὸν πάλαι νόμον πληρῶν, ἢ διδάσκων ἡμᾶς τοὺς ἐν τῇ Καινῇ ἐκαρτέρησεν· οἷον τὴν κατὰ σάρκα περιτομήν· τὴν εἰς τοὺς γονεῖς ἄχρι τέλους ὑποταγήν· τὴν ἑκούσιον ἐκείνην καὶ ἄκραν πτωχείαν· ὅτι οὐκ εἶχε ποῦ τὴν κεφαλὴν κλῖναι, ὁ τοὺς οὐρανοὺς ἐκτείνας βουλήματι· τὸν ἁγνισμὸν, τὴν νηστείαν, τὴν μετὰ τῶν θηρίων πολλάκις ἐν ἐρήμῳ διαγωγὴν, τὸν κόπον, τὰς ἀγρυπνίας, τὰς διὰ τὸ Εὐαγγέλιον περιόδους, τὰ δι' οἰκονομίαν ἐπὶ Λαζάρῳ, καὶ τὰ ἐκ

συμπα-

συμπαθείας ἐπὶ τὴν Ἱερουσαλὴμ αὐτοῦ δάκρυα, τὸν ἱδρῶτα, τὴν ἀγωνίαν, καὶ τὰ λοιπά· καὶ μάλιστα ὅσα καὶ οἷα ἔκτοτε μέχρι τῆς δεῦρο διὰ τὸ πρόσλημμα πρὸς τῶν ἀπίστων καὶ πάντων αἱρετιζόντων βλάσφημα φέρει μακροθυμῶν· καὶ μετὰ πάντων ἐν ταῖς καρδίαις ὑμῶν ἀνεξαλείπτους ἔχετε τὰς θείας ἐκείνας
„ καὶ σωτηρίους φωνὰς „ μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶ-
„ πον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ Κυρίου αὐτοῦ· εἰ ἐμὲ
„ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· ἐν τῷ κόσμῳ ὄντες θλί-
„ ψιν ἕξετε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται·
„ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον· ἔρχεται ὥρα ἵνα
„ πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ
„ Θεῷ· καὶ ἔσεσθαι μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνο-
„ μάμου, ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται.

Μέμνησθε δὲ καὶ τίνων ἐστὲ μιμηταὶ καὶ συμμέτοχοι· τῶν Ἀποστόλων, τῶν Μαρτύρων, τῶν Προφητῶν· ὧν οἱ μὲν ἐδιώχθησαν, οἱ δὲ ἐμαστίχθησαν, οἱ δὲ καὶ αὐτὸ τὸ ζῆν ἀφῃρέθησαν· τούτων οὖν ὄντες ζηλωταὶ καὶ συμμέτοχοι, χαίρετε σὺν αὐτοῖς καὶ σκιρτᾶτε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· ὅτι τὰ πρόσκαιρα πάντα παρέρχεται, ἀπέραντοι δὲ τῆς ἀναπαύσεως οἱ αἰῶνες· κἂν ταῖς ἀνωμαλίαις τῶν καιρῶν ταράττησθε, καὶ ταῖς τῶν πραγμάτων ἀνελπίστοις μεταβολαῖς, ἅτε μὴ κατὰ τὴν ὑμετέραν θέλησιν γενομέναις, λογίσασθε τῶν ἀνθρωπίνων τὸ ἄστατον, καὶ τίνος κριτοῦ βούλεσθε μὴ πειθαρχεῖν διατάξεσι, καὶ ποίου πανσόφου οἰκοδεσπότου οἰκίᾳ νομοθετεῖν, καὶ ἐν οἷς ἀπορεῖτε τὰς αἰτίας τῶν γινομένων, τὰς τούτων λύσεις τῇ τῆς κρίσεως ἡμέρᾳ ταμιεύεσθε πάσας, ἡνίκα πάντων παρόντων Ἀγγέλων τε καὶ ἀνθρώπων, παρελθὼν εἰς μέσον ὁ πάντων δεσπότης Χριστὸς, ὑπὲρ ὑμῶν παῤῥησίᾳ πρὸς πάντας ἐρεῖ· οὗτοι οἱ ἄνθρωποι, πειρασμοῦ ποτὲ αὐτοῖς ἐπελθόντος, ὑπὲρ τοῦ ὀνόματός μου διὰ τὸν πόθον τὸν εἰς ἐμὲ πάντα προθύμως ἀφῆκαν, πάντα παρεῖδον, πάντα προθύμως

ἐζημιώ-

ἐζημιώθησαν, πόλεις, χώρας, ἀγροὺς, ἀμπελῶνας, ἀρχὰς, τιμὰς, χρήματα, πρὸς δὲ καὶ ὄνειδος πᾶσιν ἀνθρώποις γεγόνασι, καὶ τὰς ἑαυτῶν ψυχὰς μυριάκις εἰς θάνατον ἐκδεδώκασιν· ἀνθ' ὧν ἐγὼ τούτους σήμερον, τῆς ἐμῆς βασιλείας συμμετόχους ποιοῦμαι, καὶ πάντων τῶν ἐμῶν ἀγαθῶν κληρονόμους. Ναὶ Κύριε πάντων, ὁ εἰπὼν „πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· καὶ, ὅστις ἀφῆκέ τι ἐν τῷ κόσμῳ, ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει· ὡς ἐπηγγείλω πάντως, οὕτω δὴ καὶ ποιήσεις ἡμῖν ἡ αὐτοαλήθεια. Ἀμήν· Ἀμήν· ἔσται ταῦτα εἰς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ
ΕΝ ΤΩ ΑΥΤΩ ΛΑΛΗΘΕΝ

# ΠΑΛΑΤΙΩ ΥΠΟΜΝΗΜΑ ΠΕΡΙ ΝΟΟΣ.

Κεφαλαιώδεσι χρήσεσι διαλαμβάνον, ὡς χρὴ τοῦτον καθαίρειν· ἐπεὶ τῶν ἐν τῇ ἡμετέρᾳ ψυχῇ δυνάμεων οὗτος ἐστὶ τὸ κράτιστον καὶ κυριώτατον.

Ὁ τὰ πάντα πληρῶν καὶ περιέχων Θεὸς, διὰ προσκτήσεως νοῦ καὶ ψυχικῆς καθαρότητος, τοῖς γνησίως αὐτὸν ἐκζητοῦσιν εὑρίσκεται· οὐκοῦν παντὶ τρόπῳ νοῦν ἀεὶ προσκτητέον, καὶ πάσῃ δυνάμει τὴν ψυχὴν ἡμῶν καθαρτέον, ὡς ἂν τοῦ ἀκροτάτου τῶν ἐφετῶν ἐπιτύχωμεν. Συμβάλλεται δὲ μέγα πρὸς μὲν τὸ πρῶτον, ἡ διὰ μαθημάτων γνῶσις τῶν ὄντων, ᾗ ὄντα ἐστί· πρὸς δέ γε τὸ δεύτερον, πρᾶξις σὺν θεωρίᾳ τῶν ἀγαθῶν· χρὴ μέντοι τὸν ταύτας μετερχόμενον τὰς μεθόδους, διὰ τὸ γνωριμώτερον τῶν αἰσθήσεων, ἔκτε (*) τῶν καθόλου ἐπὶ τὰ καθ' ἕκαστα προϊέναι, καὶ ἐπὶ τὰ ὑπὲρ ἡμᾶς ἀνάγεσθαι ἐκ τῶν καθ' ἡμᾶς· τούτῳ δὲ τῷ τρόπῳ δεῖν χρῆσθαι φημὶ, ἐπείπερ ὁ μὴ εἰδὼς ὅ τί ποτε ἐστὶν ὁ κόσμος οὑτοσὶ, οὐκ οἶδεν ὅπου ἐστίν· ὁ δὲ μὴ εἰδὼς ὅπου ἐστὶν, οὐκ οἶδεν ὅς τις ἐστὶν, ἀλλ' οὐδὲ πρὸς ὃ αὐτὸς πέφυκε συνοιδεν· ὁ δὲ ἓν τι τούτων ἀπολιπὼν, οὐδὲ Θεὸν ζητῆσαι, ἢ εὑρεῖν ὅλως μέμνηται. Ἀμέλει πρότερον περὶ γνώσεως κόσμου, καὶ τῶν ἐν τούτῳ συνοπτικῶς, πράξεως τε καὶ θεωρίας θεοφιλοῦς ἐν προοιμίοις ὀλίγα διαλαβόντες, ἔπειτα τὸ τοῦ λόγου λοιπὸν εἰς

Κεφα-

Κεφαλαιώδεις ἐπιτομὰς διελόντες, καὶ ἁγίων σοφοῖς ἀποφθέγμασι, περὶ τȣ͂ Νȣ͂ ἄχρι τέλȣς διέλθωμεν.

Οὐρανὸς ȣ͂ν ἐςὶ περιοχὴ ὁρατῶν τε καὶ ἀοράτων κτισμάτων. Κόσμος ἐςὶ τὸ ἐξ ȣ̓ρανȣ͂ καὶ γῆς καὶ τῶν ἐν μέσῳ σύςημά τε καὶ σύγκριμα. Αἰθὴρ ἐςὶ θεωρητικὸν κατασκεύασμα, πολυχάρακτον μόρφωμα, ἐπλαπλανὲς κύκλωμα. Ἥλιος ἐςὶν ȣ̓ράνιος ὀφθαλμὸς, νυκτὸς ἀνταγωνιςὴς, κοσμικὸς ἔλεγχος. Σελήνη ἐςὶ νυκτερινὴ παραμυθία, ἡλίȣ διαδοχὴ, παλίνδρομος ἀνάμνησις. Ἄςρον ἐςὶ φωτὸς δοχεῖον, ἀκήρατος φλὸξ, κεχορηγημένη λαμπάς. Φῶς ἐςὶ τὸ πρώτιςον πάντων τῶν ὁρωμένων, καὶ ἥδιςον. Παράδεισος ἐςὶν εὐφροσύνης ἁπάσης καὶ θυμηδίας ταμεῖον. Πῦρ ἐςὶ ςοιχεῖον λεπτομερέςατον θερμότατον, καὶ ξηρότατον, κȣφόν τε, καὶ ἀνωφερέςερον τῶν λοιπῶν, καυςικὸν ὁμȣ͂ καὶ φωτιςικόν. Ἀὴρ ἐςὶ ςοιχεῖον λεπτότατον, ἀναπνοῆς καὶ ἐκφωνήσεως αἴτιον, ἀχρωμάτιςον, διειδὲς, διαφανὲς, δεκτικὸν θάλψεως καὶ ψύξεως, ξηρότητός τε καὶ ὑγρότητος. Ὕδωρ ἐςὶ ςοιχεῖον ὑγρόν τε καὶ ψυχρὸν, βαρύ τε καὶ κατωφερὲς, καὶ εὐδιάχυτον. Θάλασσα ἐςὶ γῆς ἐναγκάλισμα, νήσων ςεφάνωμα, κυμάτων περίαμμα. Γῆ ἐςὶ ςοιχεῖον ξηρόν τε καὶ ψυχρὸν, βαρύ τε καὶ ἀκίνητον. Ἅδης ἐςὶ χωρίον ἀφεγγὲς, σκότȣς αἰωνίȣ καὶ ζόφȣ πεπληρωμένον· ἢ τῶν ἁμαρτωλῶν κοινὸν πανδοχεῖον, καὶ θρήνων ἐργαςήριον. Ζῶον ἐςὶν ȣ̓σία ἔμψυχος, αἰσθητικὴ, μεταβατική. Ζωόφυτον ἐςὶν ȣ̓σία ἔμψυχος, αἰσθητικὴ, ἀμετάβατος. Φυτὸν ἐςὶν ȣ̓σία ἔμψυχος, ἀναίσθητος, ἀμετάβατος. Λίθος ἐςὶν ȣ̓σία ἄψυχος, ἀναίσθητος, ἀμετάβατος.

Πάλιν, φύσις ἐςὶν ἀρχὴ καὶ αἰτία τις κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ ὑπάρχει πρώτως, καθ᾽ αὑτὸ, καὶ μὴ κατὰ συμβεβηκός. Φύσει, καὶ κατὰ φύσιν ἐςὶ, τά τε ἔχοντα τὴν φύσιν, καὶ ὅσα τȣ́τοις ὑπάρχει καθ᾽ αὑτὰ, οἷον τῷ πυρὶ τὸ φέρεσθαι ἄνω. Φύσει πρότερον ἐςὶ τὸ συνεισφέρον καὶ μὴ συνεισφερόμενον, τὸ συναναιρȣ͂ν καὶ μὴ συναναιρȣ́μενον. Ὕλη ἐςὶ τὸ πρῶτον ὑποκείμενον ἑκάςω,

ςω, ἐξ ȣ̃ γίνεταί τι ἐνυπάρχοντος, μὴ κατὰ συμβεβηκός. Αὐτόματον ἐςὶν αἰτία κατὰ συμβεβηκὸς, ἐν τοῖς κατὰ φύσιν τῶν ἕνεκά τȣ γινομένοις. Τύχη ἐςὶν αἰτία κατὰ συμβεβηκὸς, ἐν τοῖς κατὰ προαίρεσιν τῶν ἕνεκά τȣ γινομένοις. Μάτην ἐςὶ τὸ πεφυκὸς ἄλλȣ ἕνεκα, ὅταν μὴ περαίνῃ ἐκεῖνο ȣ̃ ἕνεκα ἦν καὶ ἐπεφύκει. Τόπος ἐςὶ τὸ ἔχατον τȣ̃ περιέχοντος, καὶ ἁπτόμενον τȣ̃ κινητȣ̃ σώματος πέρας ἠρεμȣ̃ν. Ἄπειρον ἐςὶν ȣ̃, κατὰ τόπον λαμβάνȣσιν, ἀεί τι ἐςὶ λαβεῖν ἔξω. Κενὸν ἐςὶ τόπος ἐν ᾧ μηδὲν ἐςὶ σῶμα. Κίνησις ἐςὶν ἡ τȣ̃ κινητȣ̃, ᾗ κινητὸν, ἐντελέχεια. Γένεσις ἐςὶν ἡ τȣ̃ γενητȣ̃, ᾗ γενητὸν, ἐντελέχεια. Φθορὰ ἐςὶν ἡ τȣ̃ φθαρτȣ̃, ᾗ φθαρτὸν, ἐντελέχεια. Αὔξησις ἐςὶν ἡ τȣ̃ αὐξητȣ̃, ᾗ αὐξητὸν, ἐντελέχεια. Φθίσις ἐςὶν ἡ τȣ̃ φθιτȣ̃, ᾗ φθιτὸν, ἐντελέχεια. Ἀλλοίωσις ἐςὶν ἡ τȣ̃ ἀλλοιωτȣ̃, ᾗ ἀλλοιωτόν· καὶ μεταβολὴ ἡ τȣ̃ μεταβλητȣ̃, ᾗ μεταβλητὸν, ἐντελέχεια. Φορὰ ἐςὶ κίνησις ἐκ τόπȣ εἰς τόπον. Περιφορὰ ἐςὶ κίνησις ἐν τῷ αὐτῷ τόπῳ.

Αὖθις, Αἰὼν ἐςὶν ȣ̓́τε χρόνος, ȣ̓́τε χρόνȣ τὶ μέρος· ȣ̓δὲ γὰρ μετρητόν· ἀλλ' ὅπερ ἡμῖν ὁ χρόνος ἡλίȣ φορᾷ μετρȣ́μενος, τȣ̃το τοῖς ἀϊδίοις αἰών. Χρόνος ἐςὶ τὸ συμπαρεκτεινόμενον τῇ συςάσει τȣ̃ κόσμȣ διάςημα, ᾧ πᾶσα μετρεῖται κίνησις, εἴτε ἀςέρων, εἴτε ζώων, εἴτε ȣ̔τινοσȣ̃ν τῶν κινȣμένων. Ἐνιαυτὸς ἐςὶν ἡ ἀπὸ τȣ̃ αὐτȣ̃ σημείȣ ἐπὶ τὸ αὐτὸ σημεῖον τȣ̃ ἡλίȣ ἀποκατάςασις κατὰ τὴν οἰκείαν κίνησιν· ἢ χρόνος ἐν ᾧ, ὁ ἥλιος τὸν ζωδιακὸν διέξεισι κύκλον. Ὧρα ἐςὶ μέρος ἐνιαυτȣ̃ τέταρτον· ἢ τȣ̃ νυχθημέρȣ τὸ εἰκοςὸν τέταρτον· ἢ ἀκμὴ ψυχῆς· ἢ σώματος ἄνθος· ἢ νεότητος κάλλος. Ἔαρ ἐςὶ χρόνος, ἐν ᾧ τὸ ὑγρὸν ἐπικρατεῖ. Θέρος ἐςὶ χρόνος, ἐν ᾧ τὸ θερμὸν ἐπικρατεῖ. Φθινόπωρον ἐςὶ χρόνος, ἐν ᾧ τὸ ξηρὸν ἐπικρατεῖ. Χειμὼν ἐςὶ χρόνος, ἐν ᾧ τὸ ψυχρὸν ἐπικρατεῖ. Καιρὸς ἐςὶ χρόνος κατορθώματος. Μὴν ἐςὶ χρόνος, ἀπὸ συνόδȣ σελήνης πρὸς ἥλιον ἐπὶ τὴν ἑξῆς σύνοδον. Ἑβδομὰς ἐςὶν ἐπὶ χρόνȣ, ἡμερῶν, ἢ μηνῶν, ἢ καὶ ἐτῶν ἑπτὰ

συνθε-

σιώθεσις. Νυχθήμερον ἐςὶν ὀρανȣ̃, ἢ κόσμȣ περιςροφή. Ἡμέρα ἐςὶ χρόνȣ μέτρον, ἐν ᾧ, ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ ὁ ἥλιος διατρίβει. Νύξ ἐςὶν, ἐν τῷ τὸν ἥλιον ὑπὸ γῆν εἶναι. Σκότος ἐςὶν ἀὴρ ἀφώτιςος· ἢ τόπος ἐξ ἀντιφράξεως σώματος σκιαζόμενος· ἢ πάθος περὶ τὸν ἀέρα ςερήσει φωτὸς γινόμενον. Νῦν ἐςὶ τελευτὴ χρόνȣ παρήκοντος, μέλλοντος δ' ἀρχή. Ἄρτι ἐςὶ τὸ ἐγγὺς τȣ̃ παρόντος νῦν, μόριον τȣ̃ παρελθόντος χρόνȣ. Ἤδη ἐςὶ τὸ ἐγγὺς τȣ̃ παρόντος νῦν ἀτόμȣ, μέρος τȣ̃ μέλλοντος. Πάλαι ἐςὶ τὸ πόῤῥω τȣ̃ παρόντος νῦν, ἐπὶ παρῳχηκότος. Ἅμα ἐςὶν, ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ. Ἐξαίφνης ἐςὶ τὸ ἐν ἀνεπαισθήτῳ χρόνῳ διὰ σμικρότητα ἐκςάν. Θᾶττον ἐςὶ τὸ πρότερον μεταβάλλον, ἐν ᾧ χρόνῳ τὶ μεταβέβληκεν ἀπότινος εἴς τι. Πρότερον ἐςὶ κατὰ μὲν τὸν παρελθόντα χρόνον, τὸ πρότερον τȣ̃ νῦν· κατὰ δὲ τὸν μέλλοντα, τὸ ἐγγύτερον. Ὕςερον ἐςὶ, κατὰ μὲν τὸν μέλλοντα χρόνον τὸ ποῤῥώτερον τȣ̃ νῦν, κατὰ δὲ τὸν παρελθόντα, τὸ ἐγγύτερον. Ἔχατον ἐςὶ τȣ̃ γεγονότος, ȣ̃ ἐπὶ τάδε ȣ̉δὲν ἐςὶ τȣ̃ μέλλοντος· καὶ ἔχατον ἐςὶ τȣ̃ μέλλοντος, ȣ̃ ἐπὶ τάδε ȣ̉δὲν ἐςὶ τȣ̃ γεγονότος. Ὅλον καὶ τέλειον ἐςὶν, ȣ̃ πρὸς τὰ μέρη μηδὲν ἄπεςιν ἔξω. Ἀτελὲς καὶ μέρος ἐςὶν, ȣ̃ ἐςὶν ἀπȣσία τις ἔξω.

Πρὸς δὲ, δύναμις ἐςὶν, ὅθεν ἡ ἐνέργεια πρόεισιν. Ἐνέργεια ἐςὶ κίνησις δραςικὴ ἐκ τῆς τȣ̃ ποιȣ̃ντος προϊȣ̃σα δυνάμεως· ἢ αὐτὴ ἡ δραςικὴ, καὶ ȣ̉σιώδης τῆς φύσεως κίνησις. Πεῖρα ἐςὶ γνῶσις ἑνὸς πράγματος ἄλογος. Ἐμπειρία ἐςὶ, γνῶσις πλειόνων ἄλογος· ἢ μνήμη, καὶ τήρησις ἄλογος τῶν πολλάκις καὶ ὡσαύτως ὀφθέντων. Ἕξις ἐςὶν ἐνέργεια τȣ̃ ἐχομένȣ καὶ τȣ̃ ἔχοντος. Μέθοδος ἐςὶν ἕξις ὁδοποιητικὴ μετὰ λόγȣ, ἢ μετὰ ὁδȣ̃ τινος εὔτακτος πρόβασις ἐπὶ τὸ γνωςόν. Τέχνη ἐςὶ σύςημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, πρός τι τέλος εὔχρηςον τῶν ἐν τῷ βίῳ. Μελέτη ἐςὶ τροφὸς ἐπιςήμης. Ἐπιςήμη ἐςὶ κατάληψις τȣ̃ ὑποκειμένȣ ἀπλαιςος, καὶ ἀμετακί-

τακίνητος. Χρήσιμον ἐςὶν, ὃ παρὸν μὲν ὠφελεῖ, ἀπὸν δὲ ȣ̓ διαφθείρει. Καλόν ἐςὶ, τὸ δι' αὑτὸ αἱρετὸν μόνον. Αὔταρκες ἐςὶν, ὃ μονȣ́μενον ἀρκιον καὶ αἱρετὸν ποιεῖ τὸν βίον, καὶ μηδενὸς ἐνδεῆ. Ἀναγκαῖον ἐςὶν, ȣ̔ χωρὶς εἶναι ἀδύνατον. Ἀγαθὸν ἐςὶν, ȣ̔ πάντα ἐφίεται. Ἦθος ἐςὶν ἀνθρώπȣ κόσμος ἄξιος τȣ̃ ταύτης ἀξίȣ τῆς κλήσεως. Κόσμος δὲ τῶν ἀνθρώπων ἑκάςȣ, ἡ τελειότης ἑκάςȣ ἐςίν. Ἄριςον μάθημα ἐκεῖνο ἐςὶ, τὸ ἀπομαθεῖν τὰ κακά. Παίδευσις ἐςὶν ἄσκησις ἀρίςων λόγων, ἠθῶν τε, καὶ πράξεων. Φρόνησις ἐςὶν ἕξις ἀληθὴς μετὰ λόγȣ πρακτικὴ, περὶ τὰ ἀνθρώπȣ ἀγαθὰ καὶ κακά. Γνῶσις ἐςὶ φῶς ψυχῆς λογικῆς, καὶ σκότος ταύτης ἡ ἄγνοια. Γραμματικὴ ἐςὶν ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν, ὡς ἐπὶ τὸ πολὺ λεγομένων. Ῥητορικὴ ἐςὶ δύναμις τεχνικȣ̃ λόγȣ πιθανȣ̃, ἐν πράγμασι πολιτικοῖς, τέλος ἔχȣσα τὸ καλῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον. Διαλεκτικὴ ἐςὶ δύναμις τεχνικὴ, συλλογιςικαῖς ἀνάγκαις τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος ἀποδεικνύȣσα. Ἀριθμητικὴ ἐςὶν· ἐπιςήμη θεωρητικὴ τῶν περὶ ἀριθμȣ̀ς συμβαινόντων, κατά τε τὰ πλήθη, καὶ τὰ εἴδη, καὶ τȣ̀ς λόγȣς αὐτῶν· ἔτι δὲ διαιρέσεις, καὶ συνθέσεις. Γεωμετρία ἐςὶν ἐπιςήμη περὶ ποσὸν καταγινομένη συνεχὲς καὶ ἀκίνητον, συλλογιςικαῖς μεθόδοις δι' ἀξιωματικῶν ἐννοιῶν, μήκȣς πλάτȣς καὶ βάθȣς μέτρησιν εὑρίσκȣσα. Ἁρμονικὴ ἐςὶ δύναμις καταληπτικὴ, τῶν ἐν τοῖς ψόφοις περὶ τὸ ὀξὺ καὶ τὸ βαρὺ διαφορῶν. Ἀςρονομία ἐςὶν ἐπιςήμη καταληπτικὴ, τῶν ἑκάςοτε γινομένων σχηματισμῶν, ἡλίȣ τε, καὶ σελήνης, καὶ τῶν ἄλλων ἀςέρων πρός τε ἀλλήλȣς, καὶ πρὸς τὴν γῆν. Φιλοσοφία ἐςὶ γνῶσις τῶν ὄντων, ᾗ ὄντα ἐςίν· ἢ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων· ἢ ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ· ἢ τέχνη τεχνῶν καὶ ἐπιςήμη ἐπιςημῶν· ἢ μελέτη θανάτȣ· ἢ φιλία σοφίας, ἤτοι Θεȣ̃. Σοφία ἐςὶν ἐπιςήμη τῆς ἐν τοῖς ȣ̓̃σιν ἀληθείας. Ἀλήθεια ἐςὶν ἐκεῖνο τὸ ὄντως ὄν· ἢ λόγος περὶ γεγονότος, ἢ ὄντος, ἢ ἐσομένȣ, ὡς γέγονεν, ἢ ἔςιν, ἢ ἔςαι ἀποφαινόμενος. Ἀρετὴ

τὴ ἐςὶ ποιότης ἀγαθῆς διανοίας, ᾗ ζῶμεν ὀρθῶς, καὶ ᾗ ὀδεὶς ἡμῶν κακῶς χρῆται, ἡ ἀγαθὸν ποιῦσα τὸν ἔχοντα· ἢ ἕξις προαιρετικὴ, ἐν μεσότητι ὖσα τῇ πρὸς ἡμᾶς ὡρισμένη λόγῳ. Εὐγένεια ἐςὶν ἡ τῆς εἰκόνος τήρησις, καὶ πρὸς τὸ ἀρχέτυπον ἐξομοίωσις. Πρᾶξις ἐςὶν, ὐ τὸ πράττειν ἁπλῶς δύνασθαι τὰ καλὰ, ἀλλὰ καὶ τὸ ὡς δεῖ πράττειν αὐτὰ, τὸν καιρὸν καὶ τὸ μέτρον πρὸς τὰ πρακτὰ συνεπιφερομένυ τῦ πράττοντος. Θεωρία ἐςὶν, ὐ τὸ θεωρεῖν μόνον ὡς ἔχυσι τὰ σώματα φύσεως, ἀλλὰ καὶ τὸ τὺς λόγυς αὐτῶν πρὸς τὶ βλέπυσιν· ἢ αἴσθησις τῶν θείων μυςηρίων τῶν κεκρυμμένων ἐν τοῖς πράγμασι, καὶ ταῖς αἰτίαις. Νῦς ἐςὶν ὅρασις ἀσώματος, εἰς πάντα διατρέχων ἀκαμάτως· ἢ ψυχῆς τὸ καθαρώτατον καὶ λογικὸν, εἰς θεωρίαν τῶν ὄντων καὶ προκατειλημμένων.

Τύτων ὖν ὕτω προειλημμένων, περί τε πράξεως καὶ θεωρίας, ἐκεῖνο φαμὲν, ὡς ἀρχὴ παντὸς ἀγαθῦ λόγος ἔμπρακτος, καὶ πρᾶξις ἐλλόγιμος· διὸ ὔτε πρᾶξις λόγυ χωρὶς ἀγαθὴ, ὔτε λόγος πράξεως ἄνευ προφορικός.

Ὅτι περ ἡ καθ' ἡμᾶς φιλοσοφία λόγῳ καὶ πράξει μερίζεται. καὶ ὔτε δεῖ λέγειν ἄπρακτα, ὔτε πράττειν ἄλογα.

Ἡ σωματικὴ ἐργασία προηγεῖται τῆς ψυχικῆς, ὥσπερ ὁ χῦς τῆς ἐμπνευσθείσης τῷ Ἀδὰμ ψυχῆς.

Ὁ μὴ κτησάμενος τὴν σωματικὴν ἐργασίαν, ὐδὲ τὴν ψυχικὴν ἔχειν δύναται.

Ὅτι ὥσπερ ὕλη τῷ εἴδει, ὕτω πρᾶξις τῇ θεωρίᾳ· καὶ αὕτη ἐξ ἐκείνης γεννᾶται, ὥσπερ ὁ ςάχυς ἐκ τῦ γυμνῦ κόκκυ.

Ὁ μετὰ πράξεως γινώσκων, καὶ μετὰ γνώσεως πράττων, θρόνος καὶ ὑποπόδιον ἐςὶ τῦ Θεῦ· θρόνος μὲν διὰ τὴν γνῶσιν, ὑποπόδιον δὲ διὰ τὴν πρᾶξιν.

Ὅτι μέσον ἐξ παγίδων ἐςὶ πᾶσα σωματικὴ καὶ ψυχικὴ πρᾶξις· ἄνω λέγω καὶ κάτω, ἤγυν ἐπάρσει καὶ ἀπογνώσει· ἔμπροσθέν τε καὶ ὄπισθεν, ἤγυν θρασύτητι

σύτητι καὶ δειλίᾳ· δεξιὰ καὶ ἀριστερὰ, ἤγουν ὑπερβολῇ καμάτων καὶ ἐλλείψει.

Οὐδὲν ὄφελος ἐκ τῆς ἐργασίας τοῦ ἀνθρώπου, δίχα τῆς ἄνωθεν ῥοπῆς· οὐδὲ ἡ ἄνωθεν ῥοπὴ ἐπὶ τὸν μὴ προαιρούμενον παραγίνεται· ἀλλ᾽ ἀμφοτέρων δεόμεθα, καὶ θείας καὶ ἀνθρωπίνης πράξεως καὶ γνώσεως, καὶ φόβου καὶ ἐλπίδος, καὶ πένθους καὶ παρακλήσεως, καὶ κόπου καὶ ταπεινώσεως, καὶ διακρίσεως καὶ ἀγάπης.

Διότι πάντα τὰ τοῦ βίου διπλᾶ εἰσὶν, ἡμέρα καὶ νὺξ, ὑγεία καὶ νόσος, ἀρετὴ καὶ κακία, εὐχέρεια καὶ δυσχέρεια, ζωὴ καὶ θάνατος· καὶ ὅσον τὶς ἐπὶ πλέον ἐμβαθύνει τοὺς λόγους, καθ᾽ οὓς τὰ ὄντα γεγένηται, καὶ καθ᾽ οὓς οἰκονομεῖται, τοσοῦτον μᾶλλον θεωρεῖ τὴν μεγαλοπρέπειαν τοῦ Κυρίου, καὶ, τὸ ὅσον ἐφ᾽ ἑαυτῷ, μεγαλύνει τὸν Κύριον.

Ὅτι ἐν μὲν τοῖς λόγοις τῶν ἀσωμάτων γινώσκεται τὰ ἀσώματα, ἐν ἀσωμάτοις δὲ λόγοις ὁ ὑπερούσιος, πρὸς ὃν ἐπείγεται πᾶσα σπουδαία ἀναλῦσαι ψυχή.

Ὥσπερ ψυχὴ καὶ σῶμα ἕνα ποιεῖ κατὰ σύνθεσιν ἄνθρωπον, οὕτω πρᾶξις καὶ θεωρία μίαν κατὰ σύνοδον ἀποτελοῦσι σοφίαν γνωστικήν· καὶ ὥσπερ ὀφθαλμὸς προσώπῳ, οὕτω θεωρία τῷ πρᾶξιν κεκλημένῳ ἐστί· καὶ ὥσπερ λόγος ἄπρακτος ἀτελὴς, οὕτω καὶ πρᾶξις ἄλογος ἀνωφελής· καὶ ὥσπερ ἀπὸ ὠδίνων τίκτεται καρπὸς εὐφραίνων τὴν τεκοῦσαν, οὕτως ἐκ τοῦ κόπου τίκτεται ἐν τῇ ψυχῇ ἡ γνῶσις τῶν μυστηρίων τοῦ Θεοῦ.

Ὥσπερ τὸ σῶμα κατὰ φύσιν ἡ ψυχὴ ζωοποιεῖ, οὕτω καὶ τὴν ψυχὴν ἡ ἀρετὴ καὶ ἡ γνῶσις· καὶ ὥσπερ τῶν ζώων τινὰ μὲν ἐστὶ χερσαῖα, τινὰ δὲ πτηνὰ, τινὰ δὲ ἔνυδρα, οὕτω καὶ τῶν ἀνθρώπων, οἱ μὲν τὸν μέσον βίον κατέχουσιν, ὡς τὰ χερσαῖα· οἱ δὲ πρὸς τὰ ὑψηλὰ ἀτενίζουσιν, ὡς τὰ πτηνά· οἱ δὲ τοῖς ὕδασι τῶν ἁμαρτημάτων εἰσὶ κεκαλυμμένοι, ὡς οἱ ἰχθύες.

Ὥσπερ ὁ κρατῶν κάτοπτρον ἐν χειρὶ, μέσον δὲ εἰ τύχοι πολλῶν ἱστάμενος καὶ παριόντων ἐνατενίζων τῷ κατόπτρῳ, βλέπει μὲν τὸ ἴδιον πρόσωπον ὁποῖον, βλέπει

δὲ,

δὲ, καὶ τὰ τῶν ἄλλων τῶν ἐγκυπτόντων τῷ κατόπτρῳ, ἔτως ὁ δι᾽ ὅλε ἀνατενίζων τῇ τῦ Θεῦ θεωρίᾳ, βλέπει μὲν τὴν ἑαυτῦ κατάστασιν ἐν αὐτῇ, βλέπει δὲ καὶ τὲς λόγες τῶν ὄντων ὡς ἔχεσι φύσεως· προσέτι δὲ καὶ τὰ μελανὰ πρόσωπα τῶν νοητῶν αἰθιόπων.

Πρακτικῆς μὲν ἀρχὴ, ἐγκράτεια καὶ ἀλήθεια· μεσότης δὲ, σωφροσύνη τε καὶ ταπεινοφροσύνη· τέλος δ᾽ αὐτῆς, λογισμῶν εἰρήνη καὶ ἁγιασμὸς σώματος.

Ἐπὶ μὲν τῶν λογικωτέρων ἡ θεωρία προηγεῖται τῆς πράξεως, ἐπὶ δὲ τῶν ἀγροικοτέρων τῆς θεωρίας ἡ πρᾶξις προτέρα εὑρίσκεται· εἰς ἓν μέντοι τέλος χρηστὸν ἀμφότερα καταλήγει· συντομώτερον δὲ τῦτο ὀφθήσεται, οἷς ἡ θεωρία προηγεῖται τῆς πράξεως.

Πολλάκις ἐκ τῆς περὶ τὴν πρᾶξιν ἀμελείας καὶ ἡ γνῶσις σκοτίζεται· ὧν γὰρ αἱ ἐργασίαι καθόλε παρελογίσθησαν, τέτων καὶ αἱ μνῆμαι κατὰ μέρος οἰχήσονται. Μὴ τοίνυν ἀμέλει τῆς πράξεως, ἐπεὶ μειῦται ἡ γνῶσις· καὶ λιμῦ γενομένε, καταβαίνει εἰς Αἴγυπτον.

Φιλομαθὴς ὢν φύσει, γίνε καὶ φιλόπονος· ἡ γὰρ ψιλὴ γνῶσις φυσιοῖ τὸν ἄνθρωπον· διότι χρὴ τὴν ἀρετὴν μὴ χωλεύειν καθ᾽ ἕτερον, ἀλλ᾽ ἔργῳ καὶ λόγῳ ἀπηρτισμένην κατ᾽ ἀμφότερα γίνεσθαι.

Ἄλλος ἐςὶν ὁ ἐκ τῆς πράξεως λόγος, καὶ ἄλλος ὁ καλὸς λόγος· καὶ χωρὶς πείρας τῶν πραγμάτων οἶδεν ὁ σοφὸς κοσμῆσαι τὲς λόγες αὐτῦ, καὶ τῦ λαλῆσαι ἀλήθειαν, μὴ γινώσκων αὐτὴν, καὶ τῦ φανερῶσαι περὶ ἀρετῆς, καὶ αὐτὸς μηδέποτε λαβὼν πεῖραν τῦ ἔργε αὐτῆς.

Ὥσπερ τεχνίτης ἐςὶ ζωγραφῶν τὸ ὕδωρ ἐν τοίχοις, καὶ ἐ δύναται τὸ ὕδωρ ἐκεῖνο τὴν δίψαν αὐτῦ ἀναψύξαι· καὶ ὥσπερ ἄνθρωπος θεωρῶν ἐνύπνια καλά· ἔτως ἐςὶν ὁ ἀπράκτες λόγες ἀέρι διδές· διὸ καί τινες τὰ δέοντα λέγοντες, καὶ πρό γε τέτε νοῦντες, ἑαυτῶν ἐκ αἰσθάνονται, ὥσπερ αἱ λύραι τὸ καλὸν φθεγγόμεναι, τῆς ἐκ τῶν φθόγγων τελεμένης τέρψεως ἐκ ἀκέεσιν.

Κλέπτης ἐστὶν ὁ κατὰ μόνην τὴν ἐν λόγῳ προφορὰν πρὸς δόξαν ἰδίαν τὴν τῶν ἀκουόντων κλέπτων διάνοιαν· καὶ ὁ τὴν ἀρετὴν κατὰ τὴν τῶν ἠθῶν ἀπατηλὴν διάπλασιν ὑποκρινόμενος, καὶ τῷ φαινομένῳ σχήματι τὴν λανθάνουσαν συγκαλύπτων τῆς γνώμης πονηρίαν· καὶ γὰρ δι᾽ ἀπάτης ἀμφότεροι κλέπτοντες πλανῶσιν, ὁ μὲν διάνοιαν ψυχῆς τῶν ἀκουόντων, ὁ δὲ τῶν θεωμένων σώματος αἴσθησιν.

Ὁ μόνην τῆς γνώσεως τὴν μορφὴν, ὅπερ ἐστὶν ὁ ψιλὸς λόγος, καὶ ὁ τὴν εἰκόνα τῆς ἀρετῆς, ὅπερ ἐστὶ τὸ σεμνὸν ἦθος, ἐπιτηδεύων, Ἰουδαῖος ἐστὶ καὶ αὐτὸς ἀληθείας τύποις φυσιούμενος.

Ὁ ἐκτὸς ἔργου σοφιζόμενος, καὶ λαλῶν λόγους, πλουτεῖ ἐξ ἀδικίας, καὶ οἱ λόγοι αὐτοῦ κατὰ τὴν Γραφὴν εἰς οἴκους ἀλλοτρίων εἰσέρχονται.

Οὐ προσποιεῖσθαι δεῖ φιλοσοφεῖν, ἀλλ᾽ ὄντως δεῖ φιλοσοφεῖν· οὐ γὰρ προσδεόμεθα τοῦ δοκεῖν ὑγιαίνειν, ἀλλὰ τοῦ κατ᾽ ἀλήθειαν ὑγιαίνειν.

Εἶτα μουσικὸς μὲν οὐκ ἂν δέξαιτο ἀνάρμοστον αὐτῷ τὴν λύραν εἶναι· καὶ χοροῦ κορυφαῖος, μὴ ὅτι μάλιστα συνᾴδοντα τὸν χορὸν ἔχειν· αὐτὸς δέ τις ἕκαστος διαστασιάσει πρὸς ἑαυτὸν, καὶ οὐχὶ τοῖς λόγοις ὁμολογοῦντα τὸν βίον παρέξεται; καὶ τὸ δοκεῖν ἀγαθὸς πρὸ τοῦ εἶναι διώξεται;

Καὶ γὰρ περὶ τὰ ἀγαθὰ ἡ φρόνησις πραγματεύεται τετραχῶς· ἢ κτωμένη ταῦτα καλῶς, ἢ φυλάττουσα, ἢ αὔξουσα, ἢ χρωμένη δεξιῶς.

Οὗτοι πάσης πράξεως καὶ θεωρίας εἰσὶ κανόνες. Ἀλλὰ περὶ μὲν γνώσεως καὶ πράξεως καὶ θεωρίας, ταῦτα τό γε νῦν ἔχον ἀρκεῖ. Περὶ δὲ νοῦ καὶ τῶν περὶ τὸν νοῦν ἡμῶν, κατ᾽ ἐπιτομὴν φιλοσοφητέον.

Ὅτι ἐνεργὸς ἡμῖν ὁ νοῦς παρὰ τοῦ δημιουργοῦ κατεσκεύασαι· ὅταν οὖν μὴ δῶμεν αὐτῷ ἐνεργείας χρηστὰς, αὐτὸς ἐπιλαμβάνεται ἐνεργείας ἀτόπους.

Νοῦς μὲν γὰρ μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ὑπὸ τῶν αἰσθητηρίων ἐπὶ τὸν κόσμον διαφορούμενος, ἐπάνεισι

νεσι μὲν πρὸς ἑαυτὸν, δι᾽ ἑαυτοῦ δὲ πρὸς τὴν περὶ Θεοῦ ἔννοιαν ἀναβαίνει, κἀκείνου τῷ κάλλει περιλαμπόμενός τε καὶ ἐλλαμπόμενος καὶ αὐτῆς τῆς φύσεως λήθην λαμβάνει, καὶ χολὴν ἀπὸ τῶν γηΐνων φροντίδων ἄγων, τὴν πᾶσαν ἑαυτοῦ σπουδὴν ἐπὶ τὴν κτῆσιν τῶν αἰωνίων ἀγαθῶν μετατίθησι.

Νοῦς μὲν γὰρ ἀεὶ λόγου ῥίζα τε καὶ γένεσις, νοῦ δ᾽ αὖ λόγος καρπός τε καὶ κύημα.

Νοῦς Θεῷ συναπτόμενος, καὶ αὐτῷ ἐγχρονίζων διὰ προσευχῆς καὶ ἀγάπης σοφὸς γίνεται, καὶ ἀγαθὸς, καὶ δυνατὸς, καὶ φιλάνθρωπος, καὶ ἐλεήμων, καὶ μακρόθυμος, καὶ ἁπλῶς εἰπεῖν πάντα σχεδὸν τὰ θεῖα ἰδιώματα ἐν ἑαυτῷ περιφέρει· τούτου δ᾽ ἀναχωρῶν, καὶ τοῖς ὑλικοῖς προσχωρῶν, ἢ κτηνώδης γίνεται φιλήδονος γεγονὼς, ἢ θηριώδης διὰ ταῦτα τοῖς ἀνθρώποις μαχόμενος.

Νοῦς αἰσθήσεων δίχα τὰς ἰδίας ἐνεργείας οὐκ ἐπιδείκνυται, καὶ ἄνευ νοῦ αἱ αἰσθήσεις τὰς ἑαυτῶν οὐδαμῶς.

Ὅπερ ἐστὶν ὁ ὀφθαλμὸς τῷ σώματι, τοῦτο ὁ νοῦς τῇ ψυχῇ.

Νοῦς ἀγαθὸς τοὺς ὑπὲρ τοῦ ἀγαθοῦ λόγους ἑτοίμως παραδέχεται, καὶ τοσούτῳ θᾶττον, ὅσῳ καὶ πλείονος μετέχει τῆς ἀγαθότητος.

Νοῦς πεφωτισμένος λόγους προφέρει σοφοὺς, καὶ ψυχὴ καθαρὰ λογισμοὺς γεωργεῖ θείους· διὸ λέγεται, ἀγαθὴ καρδία, ἀγαθὰς ἐννοίας φέρει· πρὸς γὰρ τὸν θησαυρὸν αὐτῆς καὶ τὰ ἐνθυμήματα· καὶ ἀπὸ ἀγαθῆς καρδίας ἀγαθὸν ἐστὶ τὸ περιττεῦον.

Νοῦς ἐπιλανθανόμενος τῆς ἀληθοῦς γνώσεως, ὑπὲρ τῶν ἐναντίων ὡς συμφερόντων, τοῖς ἀνθρώποις διαμάχεται.

Σῶμα μεγάλως ἀσθενοῦν τὰ λιπώδη τῶν βρωμάτων ἀποστρέφεται, καὶ μυσάττεται· καὶ νοῦς τοῖς κοσμικοῖς πράγμασιν ἐνασχολούμενος, οὐ δύναται προσεγγίσαι τῇ ἐξερευνήσει τῶν θείων.

Νοῦς ἐγκρατοῦς, ναὸς ἁγίου Πνεύματος· ὁ δὲ τοῦ γαστριμάργου, κατοικητήριον κοράκων.

Νεφέλη

Νεφέλη ἄνυδρος διώκεται ὑπὸ ἀνέμου, καὶ νοῦς ὑπομονὴν μὴ ἔχων, ὑπὸ πνεύματος ἀκηδείας.

Ὁ νοῦς τοῦ ὀρθοδόξου χριστιανοῦ θρόνος ἐστὶ τοῦ Θεοῦ, καὶ τὸ σῶμα αὐτοῦ τράπεζα τοῦ Χριστοῦ, καὶ ἡ καρδία αὐτοῦ ναὸς τοῦ ἁγίου Πνεύματος· καὶ τῆς χριστιανικῆς ψυχῆς αὐλὴ μὲν ἐστὶν ἡ αἴσθησις, ναὸς δὲ ἡ διάνοια, ἀρχιερεὺς δὲ ὁ νοῦς· ἐν τῇ αὐλῇ οὖν ἵσταται ὁ ὑπ' ἀκαίρων λογισμῶν περικοπτόμενος νοῦς· ἐν τῷ ναῷ δὲ, ὁ ὑπ' εὐκαίρων· ὑπ' οὐδενὸς δὲ τούτων ὀχληθήσεται, ὁ εἰς τὸ θεῖον ἱερατεῖον ἀξιωθεὶς εἰσελθεῖν.

Δύο πάντων ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος· καὶ ὁ μὲν νοῦς ἀρχικὸς ἐστὶ τοῦ λόγου, ὁ δὲ λόγος ὑπηρετικὸς τοῦ νοῦ, τύχῃ μὲν ἀνάλωτος, συκοφαντίᾳ δὲ ἀναφαίρετος, νόσῳ δὲ ἀδιάφθορος, γήρᾳ δ' ἀλήμαντος· μόνος γὰρ ὁ νοῦς παλαιούμενος ἀνηβᾷ, καὶ ὁ χρόνος τἄλλα πάντα ἀφαιρῶν, τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην.

Τὶς οὖν ἑαυτὸν, πρὸ τοῦ κοινοῦ θανάτου τοῦ σώματος, ἴδοι τῆς ἁμαρτίας γυμνόν; καὶ τίνος ὁ νοῦς αὐτόν τε, καὶ τὴν ἰδίαν φύσιν ὁποία ἐστὶ, πρὸ τῆς μελλούσης γυμνώσεως;

Ὁ τῶν σοφῶν νοῦς, ὥσπερ χρυσὸς βάρος ἔχει μέγιστον.

Νοῦς μὲν καθαρὸς ὀρθὰ βλέπει τὰ πράγματα· λόγος δὲ γεγυμνασμένος ὑπ' ὄψιν ἄγει τὰ ὁραθέντα· ἀκοὴ δὲ λαμπρὰ ὑποδέχεται αὐτά· ὁ δὲ τῶν τριῶν ἐστερημένος, τὸν εἰρηκότα κακίζει.

Πάλιν τὰ πράγματα ὡς ἔχει φύσεως, ἢ νοῦς καθαρὸς ὁρᾷ, ἢ λόγος πνευματικὸς σαφῶς παρίστησιν· ὁ δὲ τῶν ἀμφοτέρων ἐστερημένος πρὸς κακηγορίαν χωρεῖ τοῦ λέγοντος.

Ὅταν ὁ νοῦς ὑλικῷ πράγματι βαρυνθῇ, οὐ δέχεται τὸν ἄϋλον λόγον.

Διὰ τοῦ νοήματος μὲν ὁ νοῦς διέρχεται πρὸς τὰ νοητὰ, διὰ δὲ τοῦ λογισμοῦ πρὸς τὰ λογικὰ ὁ λόγος, πρὸς δὲ τὰ πρακτικὰ διὰ τῆς φαντασίας ἡ αἴσθησις.

Ἐν

Ἐν νοήμασιν ἐκ ὢν ὁ νῦς, ἐν λογισμοῖς πάντως ἐςίν· ἐν λογισμοῖς δὲ ὤν, ἐν νοήμασιν ἐκ ἔςιν· ἐν δὲ τῇ αἰθήσει γινόμενος μετὰ πάντων ἐςίν.

Ὕλη πονηρὰ, σώματος μὲν ἐμπάθεια, ψυχῆς δὲ ἡδυπάθεια, προσπάθεια δὲ τῦ νοός· κατηγορεῖται δὲ τῆς μὲν ἁφὴ, τῆς δὲ αἱ λοιπαὶ αἰθήσεις, τῆς δὲ τελευταίας ἐναντία διάθεσις, ἧς θεία χάριτι ὁ νῦς ἐλευθερωθεὶς Θεῷ προσανέχει, καὶ τῆς γῆς ἀπανίςαται.

Νηςεύοντος νῦς, ἀςὴρ ἐν αἰθρίᾳ λαμπρὸς, ὁ δὲ τῦ κραιπαλῶντος, ἐν σκοτομήνῃ (*) καλεῖται.

Χερσωθεῖσα γῆ ἀκάνθας τίκτει, καὶ νῦς γαςριμάργυ βλαςάνει λογισμὲς αἰχρές.

Ἔοικεν ὁ νῦς τῦ ἔναγχος τῆς κακίας ἀναχωρήσαντος, σώματι ἐκ μακρᾶς ἀῤῥωςείας ἀναλαμβάνειν ἀρξαμένῳ, ᾧ καὶ ἡ τυχῦσα πρόφασις, τῆς ἐπὶ τὴν νόσον ἀναλύσεως αἰτία γίνεται, μήπω πρὸς ἰχὺν παγέντι κραταιάν.

Ὧν δὲ ὁ νῦς μεμάθηκεν ἀληθῶς εὔχεθαι, ἕτοι Κυρίῳ ἐνώπιοι ἐνωπίως λαλῦσιν, ὡς πρὸς τὸ ὖς τῦ βασιλέως.

Ὁ νῦς μὲν γραμμάτων, νῦ δὲ ἡ θεία χάρις ἀσυγκρίτῳ μέτρῳ πλεονεκτεῖ· ὅθεν ὁ μέγας Ἀντώνιος μέγατι καὶ ἀληθὲς ἀπεφήνατο· ἐὰν ὑγιαίνῃ ὁ νῦς, ἐκ ἀναγκαῖα τὰ γράμματα· καὶ ἄλλος τῶν αὐτῷ ὀπαδῶν, ὄχ ὕτω μετὰ χαρᾶς ἀπολυθεὶς αἰχμάλωτος διὰ χρόνυ πορεύεται, ὡς νῦς κέσεως ἐλευθερωθεὶς, πρὸς τὰ ἐράνια, ὡς πρὸς οἰκεῖα πορεύεται ἀγαλλομένῳ ποδί.

Ἐκ τῶν καμάτων καὶ τῆς φυλακῆς, βρύει ἡ καθαρότης τῶν λογισμῶν, καὶ ἐκ τῆς καθαρότητος τῶν λογισμῶν τὸ φῶς τῦ φρονήματος· καὶ ἐντεῦθεν ἐκ τῆς χάριτος ὁδηγεῖται ὁ νῦς εἰς ἐκεῖνο, εἰς ὅπερ ἐκ ἔχυσιν ἐξυσίαν αἱ αἰθήσεις.

Ἐμπεφυρμένος δὲ νῦς ἐ δύναται φυγεῖν τὴν λήθην, καὶ ἡ σοφία τὴν ἑαυτῆς θύραν τῷ τοιύτῳ ἐκ ἀνοίγει.

Ὁ νῦς ἐκτὸς τῦ σώματος ἀγαθὰ καὶ κακὰ ἐντελεῖ πολλὰ, τὸ δὲ σῶμα ἐκτὸς τῦ νοός ὐδὲν τύτων ἐπιτελέσαι

τελέσαι δύναται· διότι ὁ νόμος τῆς ἐλευθερίας πρὸ τῆς πράξεως ἀναγινώσκεται.

Ὁ νοῦς μὲν κεφαλὴ τῆς ψυχῆς ὀνομάζεται, αἱ δὲ ἀρεταὶ τριχῶν ἐπέχουσι λόγον· ὧν στερηθεὶς ὁ Ναζηραῖος τῆς γνώσεώς τε χωρίζεται, καὶ δέσμιος ὑπὸ τῶν πολεμίων ἀπάγεται.

Τρεῖς εἰσὶ τόποι εἰς οὓς ὁ νοῦς ἐκ μεταβολῆς εἰσέρχεται, κατὰ φύσιν, παρὰ φύσιν, ὑπὲρ φύσιν· καὶ ὅταν μὲν εἰς τὸν κατὰ φύσιν εἰσέλθῃ, εὑρίσκει ἑαυτὸν αἴτιον τῶν πονηρῶν λογισμῶν, καὶ ἐξομολογεῖται τὴν ἁμαρτίαν, ἐπιγινώσκων καὶ τὰς αἰτίας τῶν παθῶν· ὅταν δὲ εἰς τὸν παρὰ φύσιν γένηται, ἐπιλανθάνεται τῆς δικαιοσύνης τοῦ Θεοῦ, καὶ τοῖς ἀνθρώποις διαμάχεται ὡς ἀδικοῦσιν αὐτόν· ὅταν δὲ εἰς τὸν ὑπὲρ φύσιν εἰσαχθῇ, εὑρίσκει τοὺς καρποὺς τοῦ ἁγίου Πνεύματος.

Ἀπέριτλος εἰ μὴ ἐκ πάντων ὁ νοῦς τῶν κατ' αἴσθησιν γένηται, ἀνωφερὴς γενέσθαι οὐ δύναται, καὶ τὸ οἰκεῖον γνωρίσαι ἀξίωμα.

Εἰς ἑαυτὸν ὁ νοῦς συναγόμενος, οὐδὲν οὔτε τῶν κατ' αἴσθησιν, οὔτε τῶν κατὰ λογισμὸν θεωρεῖ, γυμνοὺς δὲ νόας, καὶ θείας αὐγὰς, βλυζούσας εἰρήνην τε καὶ χαράν.

Ὅταν ἐξέλθῃ ὁ νοῦς τῶν σωματικῶν φροντίδων, βλέπει κατὰ ἀναλογίαν τὰς τῶν ἐχθρῶν πανουργίας.

Ὁ μὲν λόγος διὰ προτάσεων, ὁ δὲ νοῦς ἀμέσως βάλλει πρὸς τὸ συμπέρασμα.

Ἄνωθεν ἠργμένος ὁ νοῦς οὐκ ἀναδραμεῖται αὖθις ἐκεῖσε, εἰ μὴ τελείαν τῶν κάτω ποιήσηται καταφρόνησιν, διὰ τῆς περὶ τὰ θεῖα σχολῆς. Διὸ σύστειλον τὴν ψυχὴν ἐκ τῆς αἰσθήσεως καὶ τῶν αἰσθητῶν, καὶ εὑρεθήσεται ὁ νοῦς ἐν τῷ Θεῷ καὶ τοῖς νοητοῖς· ἔχεις τὴν ἐξουσίαν τῆς ἐπ' ἀμφότερα ῥοπῆς· γενοῦ τοῦ κρείττονος, καὶ ὑποτάττεις τὰ χείρονα.

Ἐπὶ μὲν τῶν ἐνύλων ὁ νοῦς συνεργὸν ἔχει τὸν λογισμὸν, ἐπὶ δὲ τῶν αὔλων, εἰ μὲν αὐτὸν παραιτήσηται, ὡς σκόλοπα ἕξει τὸν κολαφίζοντα· νοήσεως δὲ καὶ νοῦ πάντα αἱρετὰ τοῖς ἀνθρώποις· εἴπερ αἰσθήσεως μὲν καὶ

νοῦ ἀφαιρεθεὶς ὁ ἄνθρωπος, φυτῷ γίνεται παραπλήσιος, νοῦ δὲ μόνου ἀφῃρημένος ἐκθηριοῦται, ἀλογίας δὲ ἀφαιρεθεὶς, μένων δὲ ἐν τῷ νῷ, ὁμοιοῦται Θεῷ.

Καταργητέον οὖν εἰς δύναμιν τῆς ἀτιμίας τὰ πάθη· ταῖς δὲ τοῦ νοῦ καθαραῖς ἐνεργείαις, καὶ εἰς ἑαυτὸν καὶ τὸ θεῖον ἀφορώσαις χρηστέον, καὶ ταῖς διεξόδοις τοῦ νοῦ μελετητέον, πᾶν τὸ τῆς προσευχῆς ὄμμα, καὶ τὸν ἔρωτα εἰς τοῦτο συνάψαντα, καὶ τὰς πράξεις καὶ πάντα τ᾽ ἄλλα, πρὸς νοῦν καὶ τὸν Θεὸν συνακτέον.

Οὐδὲν οὕτω καθαρότητα νοῦ καὶ τὸ διειδὲς θολοῖ τῶν φρενῶν, ὡς θυμὸς ἄτακτος μετὰ πολλῆς φερόμενος τῆς ῥύμης.

Ἡ τοῦ ἀέρος αἰθρία ἀκτῖνος, καὶ ἡ τοῦ νοῦ καθαρότης ἐλλάμψεως ἐστὶ δεκτική.

Ἡ τοῦ νοῦ βασιλεία, ἡ τοῦ σαρκικοῦ φρονήματος ἐστὶ νέκρωσις· καὶ οὐχ ὑποτάσσεται ὁ νοῦς τῷ Θεῷ, εἰ μὴ ὑποταγῇ τὸ αὐτεξούσιον τῷ λογικῷ.

Οἱ σωματικοὶ κόποι ἄνευ τῆς τοῦ νοῦ καθαρότητος, ὡς ἄτεκνος μήτρα, καὶ μαστοὶ κατάξηροι.

Διὰ τοῦ νοῦ τὸν Θεὸν καὶ χωρεῖν καὶ ὁρᾶν δυνάμεθα, καὶ τοῖς Ἀγγέλοις δι᾽ αὐτοῦ συναπτόμεθα.

Κρύπτονται ἀστέρες μὲν ἡλίου ἀνατολῇ, λογισμοὶ δὲ ἐκλείπουσι τοῦ νοῦ πρὸς τὴν οἰκείαν βασιλείαν ἐπαναστρέφοντος.

Χαλεπὸν ἀῤῥώστημα νοῦ, λήθη· πταισμάτων δὲ λήθη τῦφον ἐργάζεται.

Νοῦ θεοφιλοῦς μαρτύριον εὐχὴ μονολόγιστος, καὶ λόγος καίριος ἔμφρονος λογισμοῦ· μονοειδὴς δὲ γεῦσις τῆς ἐλευθέρας εἴη αἰσθήσεως· ἐν τούτοις οὖν τοῖς τρισὶ τὰ τῆς ψυχῆς ἔῤῥωται.

Πηγὴ μὲν τοῦ νοῦ αἱ αἰσθήσεις, ἄρχων δὲ τούτων αὐτός.

Αἱ μὲν ὑπερβολαὶ τῶν αἰσθητῶν φθείρουσι τὰς αἰσθήσεις, αἱ δὲ τῶν νοητῶν οὐ βλάπτουσι τὸν νοῦν, ἀλλὰ μᾶλλον εὐστοχώτερον ποιοῦσι· καὶ γὰρ φωτὸς μὲν ὑπερβολὴ βλάπτει τὴν ὄψιν, καὶ ἦχος ὑπερμεγέθης οἷον ἰσο-

ροῦσι

ρεῦσι γίνεσθαι ἀπὸ τῶν τοῦ Νείλου καταδέπων, ἀνιᾷ τὴν ἀκοὴν, ὁ δὲ νοῦς ὅταν τὶ νοήσῃ σφόδρα νοητὸν, μᾶλλον νοεῖ τὰ ὑποδεέστερα.

Καλὴ ἡ αἴσθησις, καὶ καλὰ τὰ αἰσθητὰ, ὡς Θεοῦ ἔργα τοῦ ἀγαθοῦ, οὐ συγκρίνονται δ' ὅμως παντάπασι τῷ νῷ, καὶ τοῖς νοητοῖς.

Ἐν τῷ τῆς ψυχῆς νοῒ, τῆς σοφίας ὑπάρχει τὸ χρῆμα.

Ἐν θορυβουμένῳ καὶ ἀγωνίας ἔχοντι νῷ, οὔτε ἔννοιά τις τῶν καλῶν, οὔτε Θεοῦ χάρις ἐγγίνεται.

Ὡς ἐστὶ πάντων κρεῖττον, νοῦν ἔχειν σοφόν.

Λαβοῦσα τὸν νοῦν ἡ αἴσθησις ὑποχείριον (*) διδάσκει πολύθεον, δι' ἑκάστης αἰσθήσεως τῇ περὶ τὰ πάθη δουλείᾳ, ὡς θεῖον τὸ προσφυὲς αἰσθητὸν θεραπεύουσα.

Νηφάλιον φρόνημα ἐν ξηροτάτῃ διαίτῃ, ὑγρὸς δὲ βίος βαπτίζει νοῦν εἰς βυθόν.

Ὀμίχλη καλύπτει ἡλιακὰς ἀκτῖνας, καὶ νοῦν σκοτίζει παχεῖα βρωμάτων ἀνάδοσις.

Ὀφθαλμῶν ἐνέργειαν ἀμαυροῖ γνόφος, καὶ νοῦν θεωρητικὸν ἀμβλυώει λύπη.

Βυθὸν ὕδατος οὐ διαβαίνει ἡλιακὸν φέγγος, καὶ νοῦν κατάλυπον οὐκ αὐγάζει θεωρία φωτός.

Ἀγάπη καὶ ἐγκράτεια, παθῶν τὴν ψυχὴν ἐλευθεροῦσιν.

Ἀνάγνωσις καὶ θεωρία, ἀγνοίας τὸν νοῦν ἀπαλλάττουσιν, ἡ δὲ τῆς προσευχῆς κατάστασις αὐτῷ παρίστησιν αὐτὸν τῷ Θεῷ.

Γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα νοῦν ἔχειν· ὅτι πολλοὶ πολυμαθεῖς νοῦν οὐκ ἔχουσι.

Ῥᾶον ἂν πιστεύσειέ τις ὀφθαλμὸν ἕνα πᾶν τὸ ἡλιακὸν χωρῆσαι φῶς δύνασθαι, ἢ νοῦν ἕνα πᾶσαν τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν.

Ὀφθαλμῶν ἐκκοπέντων πᾶν τὸ σῶμα τυφλοῦται, καὶ τοῦ νοῦ σκοτισθέντος ἡ ψυχὴ παραφέρεται· οὐκοῦν, ὥσπερ οὐκ ἂν ἕλοιο χρυσοφορεῖν, καὶ σηρικὰ φορεῖν ἱμάτια, καὶ πεπηρῶσθαί σου τοὺς ὀφθαλμοὺς, ἀλλὰ τὴν

ὑγείαν

ὑγείαν τὴν τούτων ἁπάσης τῆς τοιαύτης περιουσίας ποθεινοτέραν εἶναι νομίζεις· ἂν γὰρ αὐτὴν ἀπολέσῃς, οὐδέν σοι τῆς λοιπῆς ζωῆς ὄφελος· ὥσπερ γὰρ τῶν ὀφθαλμῶν τυφλωθέντων, τὸ πολὺ τῆς τῶν λοιπῶν μελῶν ἐνεργείας οἴχεται, τοῦ φωτὸς αὐτοῖς σβεσθέντος, οὕτω καὶ τοῦ νοῦ διαφθαρέντος μυρίων ἡ ζωή σου κακῶν ἐμπλησθήσεται.

Ὥσπερ γὰρ ὁ τὴν πηγὴν ἀνελὼν καὶ τὸν ποταμὸν ἐξήρανεν, οὕτως ὁ τὸν νοῦν ἀφανίσας, πᾶσαν αὐτοῦ τὴν ἐν τῇ ζωῇ ταύτῃ πρᾶξιν ἐθόλωσε.

Τί γὰρ ὄφελος στρατιωτῶν χρυσοφορούντων, ὅταν ὁ στρατηγὸς αὐτῶν αἰχμάλωτος ἕλκηται; τί δὲ κέρδος νηὸς καλλωπιζομένης, ὅταν ὁ κυβερνήτης ταύτης ὑποβρύχιος γένηται; τί δὲ σώματος εὖ συγκειμένου τὸ πλέον, ὅταν οἱ ὀφθαλμοὶ τῆς ὄψεως ὦσι κεκομμένοι; τί δὲ ψυχῆς, ὅταν ὁ ταύτης νοῦς σκοτισθῇ;

Ὥσπερ τὸν ἰατρὸν τὸν ὀφείλοντα ὑγιαίνειν ἵνα λύῃ τὰς νόσους, ἄντις ἐμβαλὼν εἰς νόσον, εἰς ἀργυρᾶν κελεύῃ κεῖσθαι κλίνην, καὶ χρυσοῦν θάλαμον, οὐδὲν ὄφελος ἔσται τοῖς κάμνουσιν, οὕτως ἂν τὸν νοῦν διαφθείρας τὸν δυνάμενον λύειν τὰ πάθη, προσπαθείᾳ προσδήσῃς τινὸς, οὐ μόνον ὤνησας οὐδὲν, ἀλλὰ καὶ τὰ μέγιστα ἐζημίωσας, καὶ πᾶσαν ἔβλαψας τὴν ψυχήν.

Ὥσπερ γὰρ αἱ νεφέλαι τὸν ἥλιον ἀποκρύπτουσιν, οὕτως αἱ πονηραὶ ἔννοιαι τὸν νοῦν σκοτίζουσι καὶ ἀπολλύουσιν.

Ὥσπερ ὀφθαλμὸν περιαγόμενον συνεχῶς, καὶ νῦν μὲν ἐπὶ τὰ πλάγια φερόμενον, νῦν δὲ πρὸς τὰ ἄνω καὶ κάτω πυκνὰ μεταστρεφόμενον, ἰδεῖν ἐναργῶς τὸ ὑποκείμενον οὐχ οἷόν τε, ἀλλὰ χρὴ προσερεισθῆναι τὴν ὄψιν τῷ ὁρωμένῳ, εἰ μέλλοι ἐναργῆ αὐτοῦ ποιεῖσθαι τὴν θέαν, οὕτω καὶ νοῦν ἀνθρώπου, ὑπὸ μυρίων τῶν κατὰ τὸν κόσμον φροντίδων περιελκόμενον, ἀμήχανον ἐναργῶς ἀτενίσαι τῇ ἀληθείᾳ.

Ὥσπερ ἡ ὄψις δεῖται φωτὸς πρὸς τὸ διενεργῆσαι τὴν οἰκείαν ἐνέργειαν, οὕτω καὶ ὁ νοῦς δεῖται πρὸς τὸ διενεργεῖν τοῦ πρώτου νοῦ· ὡς γὰρ ὁράσεως οὔσης, καὶ ὁρατοῦ, εἰ μὴ τρίτον προσῇ τὸ φῶς, μάτην ἔσται ταῦτα, οὕτω καὶ

ἐπὶ τοῦ νοῦ καὶ ἐπὶ τοῦ νοητοῦ, εἰμὴ ἐπιλάμψοι ὁ πρῶτος νοῦς, ὃς ἀνάλογος τῷ ἡλίῳ ἐστὶν, οὐ δύναται ὁ νοῦς ἐνεργεῖν τὴν οἰκείαν ἐνέργειαν.

Ὥσπερ τὸν αἰσθητὸν ὀφθαλμὸν ἡ καλλονὴ τῶν ὁρατῶν, οὕτω καὶ τὸν καθαρὸν νοῦν, ἡ γνῶσις τῶν ἀοράτων πρὸς ἑαυτὴν ἐπισπᾶται· καὶ ὥσπερ ἐνεργεῖ τὸ ἀπαύγασμα τοῦ ἡλίου τούτου ταῖς σαρκικαῖς ὄψεσιν, οὕτως ἐνεργεῖ ἡ δόξα τοῦ ἁγίου Πνεύματος τῷ κατὰ τὸν ἔσω ἡμῶν ἄνθρωπον νοερῷ ὄμματι, ἤτοι τῷ νῷ.

Ὥσπερ τὸ σῶμα ἀποθνῆσκον πασῶν χωρίζεται τῶν τοῦ κόσμου φροντίδων, οὕτω καὶ ὁ νοῦς ἐν τῷ ἀκλινῶς ἐνατενίζειν Θεῷ, πάντων χωρίζεται τῶν τοῦ κόσμου νοημάτων.

Ὥσπερ ἄρτος τροφὴ ἐστὶ τῷ σώματι, καὶ ἡ ἀρετὴ τῇ ψυχῇ, οὕτω δὴ καὶ τοῦ νοῦ ἡ πνευματικὴ προσευχή.

Ὥσπερ αἰσθητῶς τὰ βλάπτοντα ὁρῶντες βλαπτόμεθα, οὕτω καὶ νοητῶς τὰ βλάπτοντα νοοῦντες.

Ὥσπερ ὁ ἥλιος ἀνατέλλων καὶ τὸν κόσμον φωτίζων, δείκνυσί τε ἑαυτὸν καὶ τὰ ὑπ᾽ αὐτοῦ φωτιζόμενα πράγματα, οὕτω καὶ ὁ τῆς δικαιοσύνης ἥλιος τῷ καθαρῷ νῷ ἀνατέλλων, καὶ ἑαυτὸν δείκνυσι, καὶ πάντων τῶν ὑπ᾽ αὐτοῦ γεγονότων, καὶ γενησομένων τοὺς λόγους.

Ὥσπερ ὀφθαλμὸς τῶν περιλαμπομένων τόπων ὑπερπεσὼν, ἀναγκαίως δι᾽ ἐρημίαν τοῦ φωτὸς τῆς ἐνεργείας ἵσαται, οὕτωσὶ δὲ καὶ ὁ νοῦς ἐπὶ τὸ ἔξω τοῦ ὄντος ταῖς φαντασίαις εἰσβιαζόμενος ἀπελθεῖν, οἷον τινὸς φωτὸς τῆς ἀληθείας ἐπιλειπούσης, συγχυθεὶς καὶ ἀνοηταίνων τῆς νοήσεως ἀπολήγει.

Ὥσπερ αἱ αἰσθήσεις ἀλλοιοῦνται διαφόρων ἀντιλαμβανόμεναι ποιοτήτων, οὕτω καὶ ὁ νοῦς ἀλλοιοῦται ποικίλαις θεωρίαις ἐνατενίζων ἀεί.

Ὥσπερ μύλον ἐξ ὑδάτων κινούμενον στῆσαι μὲν τῆς φορᾶς ἀδύνατον, ὑπὸ τὴν ἐξουσίαν δ᾽ ὅμως ἐστὶ τοῦ ἐφεστηκότος, ἢ ζιζάνιον, ἢ σῖτον ἀλῆσαι, οὕτω δὴ καὶ τὸν ἡμέτερον νοῦν ἀεικίνητον ὄντα, ἀργεῖν μὲν ἀπὸ λογισμῶν ἀδύνατον, ἐφ᾽ ἡμῖν δὲ ἐστὶν, ἢ πνευματικὴν μελέτην, ἢ ἑτέραν αὐτῷ παραχεῖν.

Ὥσπερ

Ὥσπερ ἀνήρ τις τοῦ ἑαυτοῦ οἴκου ἀπόδημος, ἐπὰν ἐπιστρέψῃ ἐκ ἔχει ἂν ὅ,τι καὶ γένηται ἀπὸ τῆς χαρᾶς, ὅτι κατηξιώθη τοῖς τέκνοις καὶ τῇ γυναικὶ ἐντυχεῖν, οὕτω καὶ ὁ νοῦς ἐπὰν μετὰ ψυχῆς ἑνωθῇ, ἀῤῥήτου ἡδονῆς καὶ εὐφροσύνης ἐμπίπλαται.

Ὥσπερ τὸ σῶμα ἔχει κόσμον τὰ πράγματα, οὕτω καὶ ὁ νοῦς ἔχει κόσμον τὰ νοήματα.

Ὥσπερ τὸ σῶμα πορνεύει μετὰ τοῦ σώματος τῆς γυναικὸς, οὕτω καὶ ὁ νοῦς πορνεύει μετὰ τοῦ νοήματος τῆς γυναικὸς, διὰ τῆς φαντασίας τοῦ ἰδίου σώματος· τὴν γὰρ μορφὴν τοῦ ἰδίου σώματος βλέπει μεμιγμένην μετὰ τῆς μορφῆς τῆς γυναικὸς, κατὰ διάνοιαν· ὡσαύτως καὶ τὴν μορφὴν τοῦ λυπήσαντος ἀμύνεται κατὰ διάνοιαν, διὰ τῆς μορφῆς τοῦ ἰδίου σώματος· καὶ ἐπὶ τῶν ἄλλων ἁμαρτημάτων ὁμοίως· ἅπερ γὰρ πράττει τὸ σῶμα κατ᾽ ἐνέργειαν εἰς τὸν κόσμον τῶν πραγμάτων, ταῦτα πράττει καὶ ὁ νοῦς κατὰ διάνοιαν εἰς τὸν κόσμον τῶν νοημάτων.

Ὥσπερ τοῦ πεινῶντος ὁ νοῦς ἄρτον φαντάζεται, καὶ τοῦ διψῶντος ὕδωρ, οὕτω καὶ ὁ τοῦ γαστριμάργου ποικιλίας ἐδεσμάτων, καὶ τοῦ φιληδόνου μορφὰς γυναικῶν, καὶ τοῦ κενοδόξου τὰς ἐξ ἀνθρώπων τιμὰς, καὶ τοῦ φιλαργύρου τὰ κέρδη, καὶ τοῦ μνησικάκου τὴν ἄμυναν τοῦ λυπήσαντος, καὶ τοῦ φθονεροῦ τὴν κάκωσιν τοῦ φθονουμένου, καὶ ἐπὶ τῶν ἄλλων παθῶν ὁμοίως· ἐκ γὰρ τῶν παθῶν ὁ νοῦς ὀχλούμενος λαμβάνει τα ἐμπαθῆ νοήματα, καὶ ἐγρηγορότος τοῦ σώματος, καὶ κατὰ τοὺς ὕπνους.

Ὥσπερ ὑγεία καὶ νόσος θεωρεῖται πρὸς τὸ σῶμα τοῦ ζώου, καὶ φῶς καὶ σκότος πρὸς τὸν ὀφθαλμὸν, οὕτως ἀρετὴ καὶ κακία πρὸς τὴν ψυχὴν, καὶ γνῶσις καὶ ἀγνωσία πρὸς τὸν νοῦν.

Ὥσπερ τὸ ἔαρ πρὸς τὸ βλαστάνειν ἀνακινεῖ τὰ φυτὰ, οὕτω καὶ ἡ ἀπάθεια τὸν νοῦν πρὸς τὴν γνῶσιν τῶν ὄντων.

Ὥσπερ τῆς σαρκὸς ἴδιον ἡ αἴσθησις καὶ τὰ αἰσθητὰ, οὕτω καὶ τῆς ψυχῆς ἴδιον ὁ νοῦς καὶ τὰ νοητά.

Ὥσπερ ὁ μὴ τὸν ὀφθαλμὸν τὸν αἰσθητὸν ἀπονίπτων σκοτίζεται, οὕτως ὁ τὸν νοῦν μὴ καθαίρων ἀπόλλυται.

Ὥσπερ ὁ κηπωρὸς μὴ ἐξαίρων τὰς ἀγρίας βοτάνας ἀποπνίγει τὰ ἥμερα λάχανα, οὕτω καὶ ὁ νοῦς μὴ καθαίρων τοὺς λογισμοὺς ἀπόλλυσι τοὺς πόνους.

Ὥσπερ ἄτοπον δούλῳ φαύλῳ δεσπότην ἀγαθὸν ὑποτάξαι, οὕτως ἄτοπον νοῦν λογικὸν σώματι δουλῶσαι φθαρτῷ.

Ὡς ἡδύτερον τοῖς μὲν ὄμμασι φῶς, τοῖς δ᾽ ὠσὶν ἀλήθεια, τῇ δὲ ῥινὶ μύρον, τῇ δὲ γλώττῃ μέλι, τῇ δ᾽ ἁφῇ ὕδωρ, οὕτω τῷ μὲν νοῒ Θεός, τῇ δὲ διανοίᾳ Ἄγγελος, τῇ δὲ δόξῃ τὸ ὄν, τῇ δὲ φαντασίᾳ τὰ μέλλοντα ἀγαθὰ, τῇ δ᾽ αἰσθήσει ἡ χάρις τοῦ Πνεύματος· ὡς γὰρ ἐκεῖνα τὰς ἔξω αἰσθήσεις ἐξαιρέτως εὐφραίνει τοῦ σώματος, οὕτω ταῦτα, ὑπὲρ πάνθ᾽, ὅσ᾽ ἄντις εἴποι, τὰς ἐντὸς φωτίζει δυνάμεις τοῦ Πνεύματος.

Ὥσπερ οἱ ὀφθαλμοὶ ἡμῶν τὰ ἔξω βλέποντες ἑαυτοὺς οὐχ ὁρῶσιν, ἐὰν μήπου λείου τινὸς ἅψωνται καὶ στερεοῦ, κἀκεῖθεν ἀνακλασθεῖσα ἡ ὄψις ὥσπερ ἀπὸ παλιῤῥοίας ὁρᾷν αὐτοὺς ποιήσῃ τὰ ἑαυτῶν κατόπιν, οὕτω καὶ ὁ νοῦς ὁ ἡμέτερος ἄλλως ἑαυτὸν οὐ βλέπει, ἐὰν μὴ τῇ θείᾳ θεωρίᾳ ἐνατενίσῃ· τὸ γὰρ ἐκεῖσε φῶς ἀνακλώμενον τοῦ καθορᾶσθαι ἕκαστον ἡμῶν αἴτιον γίνεται· ἐπεὶ ἀσύνετοι ἐσμὲν ἑαυτῶν, καὶ ἀπερίοπτοι τῆς κατασκευῆς, ὅπερ ἐσμὲν, καὶ τί ἐσμὲν ἀγνοοῦντες· ἀμελέστατα γὰρ διακείμενοι τῶν προχείρων τῆς γνώσεως, καὶ τῶν σμικροτάτων ἐν ἡμῖν γνῶσιν οὐκ ἔχομεν.

Ὥσπερ ὁ αἰσθητὸς ὀφθαλμὸς εἰς τὸ γράμμα ἀφορῶν τὰ ἐξ αὐτοῦ λαμβάνει νοήματα, οὕτω καὶ ὁ νοῦς ὅταν καθαρθεὶς εἰς τὸ ἀρχαῖον ἐπανέλθῃ ἀξίωμα, εἰς Θεὸν ὁρᾷ, καὶ ἐξ αὐτοῦ λαμβάνει τὰ θεῖα νοήματα.

Ἀλλ᾽ ἵνα ὅθεν ἠρξάμεθα ἐκεῖ καταλήξωμεν πάλιν, ἐκεῖνο εἰπόντες τῷ λόγῳ τέλος παρέξωμεν· βȣ́λει γνῶναι Θεόν; προλαβὼν γνῶθι σαυτόν· θέλεις δὲ γνῶναι σαυτόν; γνῶθι τὸν κόσμον πρὸ τȣ̃· ὀρέγῃ γνῶναι τὸν κόσμον; μάθε τȣ̀ς λόγȣς τῶν ὄντων ὡς ἔχȣσιν· εἰδέπȣ θέλεις γνῶναι καὶ κόσμον, καὶ σαυτὸν, καὶ Θεόν, γνώσεως, πράξεως, καὶ θεωρίας ἐπιμελȣ̃. Ὅτι ἕπεται τῇ γνώσει τὰ ἔργα, ὥσπερ τῷ σώματι ἡ σκιά· καὶ θεωρία τῇ πράξει, καθάπερ θυγάτηρ μητρί· εἰ δ᾽ ἀνεπιτήδειον ἴσως πρός ταῦτα κέκτησαι φύσιν, ἕπȣ προθύμως τῷ ταῦτα γινώσκοντι, καὶ μετερχομένῳ, καθάπερ χρή· διαφέρει γὰρ ȣ̓δὲν, ἢ μικρὸν, τȣ̃ φρόνιμον ἅμα καὶ ἅγιον εἶναι, τὸ φρονίμῳ ἕπεσθαι, καὶ ςοιχεῖν ἁγίῳ· ἄθροισον γνῶσιν, πλȣ́τησον πρᾶξιν, εἰδὼς ὡς ἀρχὴ γνώσεως τῆς ἀγνοίας ἡ γνῶσις, καὶ ἐκτὸς τῶν κατ᾽ αὐτὴν ἔργων ȣ̓́πω βεβαία ἡ γνῶσις, κἂν ἀληθὴς τυγχάνῃ· διότι παντὸς πράγματος τὸ ἔργον ἐςὶν ἡ τελείωσις.

Καὶ μὴ λέγε, ὅτι ȣ̓κ ἐπίςαμαι τὸ δέον, καὶ ἀναίτιος εἰμὶ μὴ ποιῶν αὐτό· εἰ γὰρ ἐποίεις καλὰ ὅσα ἐπίςασαι, καὶ τὰ λοιπὰ ἄν σοι εὐκόλως ἀπεκαλύπτετο, ἓν δι᾽ ἑνὸς οἰκίσκων τρόπον κατανοȣ́μενα· ἀλλὰ νȣ̃ν ἔχων, πάντα τὰ σαυτȣ̃ εἰς τȣ̃το συντείνας εὐσεβῶς βίωσον· πρῶτον μαθήματα τιμῶν, ȣ̓χ ὅσα περίεργον, ἀλλὰ γνωςικὴν τὴν ψυχὴν ἀπεργάζεται, τὰ δ᾽ ἄλλα παραβλέπων· ἔπειτα τὴν τȣ̃ σώματος ἕξιν, ȣ̓χ ὅπως τῇ θηριώδει καὶ ἀλόγῳ ἡδονῇ ἐπιτρέψας ἡγεῖσθαί σȣ, τετραμμένος ζήσῃς, ἀλλὰ διὰ τȣ̃ σώματος πᾶσαν πρᾶξιν τῆς ἐν τῇ ψυχῇ ἕνεκα ποιȣ́μενος θεωρίας, ἐάνπερ μέλλῃς τῇ ἀληθείᾳ χριςιανὸς εἶναι καὶ μὴ ὀνόματι· καὶ γὰρ πολλοὶ τῶν ἀνθρώπων, φρονίμȣς εἶναι δοκȣ̃σι, τȣ̀ς περὶ τὰ ἀνθρώπινα πράγματα τῶν πολλῶν εὐδοκιμωτέρȣς· οἷον τὸν περὶ κέρδη ἐπτοημένον θαυμάζȣσι, πῶς δύναται πολλὰ πολλαχόθεν νοσφίζεσθαι· τὸν φιλήδονον, ὅτι πλεῖςα πρὸς ἀπάτην ἐπιτηδεύει θέλγητρα καὶ δελέατα· τὸν κενόδοξον, ἐπεὶ παρὰ πάντων ἐπισπάσασθαι

δόξαν ἐπίςαται· καὶ ἁπλῶς ἕκαςον τῶν ἐν τῷ βίῳ τέτω κατάτι δοκέντων εὐδοκιμεῖν· ἐγὼ δὲ πάντας μὲν τέτες καὶ τὲς τοιέτες, μωρὲς εἶναι καὶ ἀσυνέτες φημὶ, ὅτι τὴν ἀπώλειαν ἑαυτῶν κατεργάζονται· μόνες δὲ τῷόντι φρονίμες, τὲς διὰ βίε ἐργαζομένες τὴν ἀρετήν· ἢ τί μωρότερον γένοιτ' ἂν, τε κατὰ τῆς ἑαυτε κεφαλῆς πῦρ ἀνάπτοντος, καὶ κατισχύοντος φλόγα; καὶ ὅσῳ μᾶλλον αἴρεται ἡ πυρὰ ἐπισιβάζοντος φρύγανα; τί δὲ φρονιμώτερον, τε διὰ τῶν γηΐνων καὶ φθειρομένων, τὰ μὴ φθειρόμενα καὶ ἐράνια κτωμένε ἀνδρός; καὶ γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον ἐξ ἀρχῆς κατ' εἰκόνα πλάσας τὴν ἑαυτε, κἂν τῷ σώματι περιγραπτὸν ἔπλασε τετον, ἀλλάγε τῷ νῷ, καὶ τοῖς τε νε ὀξυτάτοις κινήμασι, τε καὶ πανταχε σχεδὸν εἶναι τέτω ἐνέθηκε δύναμιν, ἐντε ἀνατολῇ, φέρε λέγειν, καὶ δύσει, καὶ ἄνω, εἰ δεῖ συντόμως εἰπεῖν, καὶ κάτω, καὶ πολλαχε· καὶ ὁμολογεμένως μέγα τὸ τῆς ψυχῆς ὕψος καὶ βάθος, καὶ μῆκος καὶ πλάτος, ὃ πεπλέτηκε πρὸς Θεε· εἰ δὲ τῷ σώματι κατεχομένη τοσαύτη, καὶ ἔτως ἀχώριςος, τίς ἔςαι καὶ μέχρι τίνων ἀφικνεμένη λυθεῖσα τε σώματος; ὥςε ὁ διάτι τῶν παθῶν εἰς λίγα τόπον ἄτοπον ἑαυτε περιγράψας τὸν νεν, τῆς τε θείας εἰκόνος μακρὰν ἀπῳκίσθη, καὶ ἀλογίαν ἑαυτῷ προσεκτήσατο τὴν ἐσχάτην.

Διὸ χρὴ τὸν νενεχῆ, καὶ σωθῆναι προθέμενον, μὴ ἐᾶν τὸν ἑαυτε νεν, ταῖς περιτταῖς προόδοις, ἢ διεξόδοις ταῖς τυχέσαις τῶν ἰδίων κινημάτων ἐνασχολεῖσθαι, μᾶλλον δὲ τοῖς ἀναγκαίοις, ἢ καλοῖς, ἢ χρησίμοις τῶν ἐν τοῖς πράγμασιν ἐγκεκρυμμένων θεωρημάτων καλακοσμεῖσθαι, καὶ ἐρευνᾶν, τί μὲν τὸ θέλημα τε Θεε; εἰς τί δὲ συντελεῖ τὰ δοθέντα οἱ χαρίσματα; ὅτι ἡ ἀρχὴ τῆς ὁδε τῆς ζωῆς, τὸ ἀεὶ μελετῆσαι τὸν νεν ἐν τοῖς λόγοις τε Θεε, καὶ τοῖς ἐγκεκρυμμένοις μυςηρίοις ἐν τοῖς κτίσμασι καὶ τοῖς πράγμασι, καὶ μὴ τὸν πρὸς

τῆς

τῆς προνοίας εἰς τὴν τούτων χρῆσιν αὐτῷ παραχεθέντα χρόνον, ἀλληνάλλως διαβιβάζειν ἐν τοῖς ματαίοις· ἐπεὶ ἄβυσσος θεωρημάτων εὑρέσεως, καὶ πέλαγος ἀπειράπλετον πορισμάτων ὁ τοῦ ἀνθρώπου νοῦς πέφυκεν ἀληθῶς· τοιοῦτος δὲ ὁ τῶν σοφῶν μάλιστα ἔοικεν εἶναι, τῶν τῆς κλήσεως ταύτης ἀξίων· ἔνθεντοι καὶ δεῖ τὸν ταύτης μετέχοντα ὁπωσοῦν, θεωρίας ἐπιβάντα καθάπαξ, μηκέτι καταδέξασθαι ταῖς ὑλικαῖς μελέταις συμφέρεσθαι, ἀλλ᾽ ἀεικίνητον εἶναι, ὡς λόγος, εὐκίνητον, ἐν ἁγίῳ Πνεύματι, ἐν Χριστῷ Ἰησοῦ, καὶ ἐν Θεῷ Πατρὶ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ

# ΛΟΓΟΣ.

## Ῥηθεὶς ἐν τῷ τῶν ἁγίων Ἀποσόλων Σηκῷ, πρὸ τριῶν ἡμερῶν τῆς τῶν ἁγίων Θεοφανίων Ἑορτῆς.

Οἱ νόμοι τῶν ἀνθρωπίνων ἐγκωμίων παρὰ τοῖς ἔξω, τοῖς αἱρȣμένοις προσέχειν αὐτοῖς, ἔτοι εἰσί· πατρίδα τȣ͂ ἐγκωμιαζομένȣ τοῖς μὴ εἰδόσι γνωρίζειν, καὶ προγόνων εὐγένειαν, καὶ περιφάνειαν ἀξιωμάτων, καὶ πλȣ́τȣ περιȣσίαν, καὶ ἀνατροφὴν, καὶ πλεονέκτημα φύσεως, καὶ ἀγωγὴν, καὶ ἐπιτήδευμα, τȣ͂ περὶ ὃν ταῦτα λέγεται, καὶ ὅσα τοιαῦτα μηδαμινὰ, οἷς οἱ πολλοὶ τῶν περὶ τὰ μάταια ἐπτοημένων ἐχολακότες ἠπάτηνται, φεῦ! καὶ πόῤῥωπȣ τῆς εὐθείας πεπλάνηνται· ὁ δὲ νόμος τῶν ἃ τοῖς ἁγίοις πρέπȣσιν ἐγκωμίων, ἐκ τῶν ἑκάσῳ δοθέντων παρὰ Θεȣ͂ χαρισμάτων, ἢ τῶν πραχθέντων παρ' ἑαυτȣ͂ πλεονεκτημάτων, τὴν μαρτυρίαν πληροῖ· καὶ τȣ͂το πάνυ ἑπομένως τοῖς πράγμασι· τί γὰρ ὄφελος ἀνθρώπῳ, εἰ ἐξ ἐπαρχίας ἐςὶν ὑπερνεφῆ κεκτημένης ὄρη, εὐφόρȣ́ς τε καὶ εὐςάχυος, καὶ βοσκημάτων παντοίων πλήρȣς, εἰ μὴ τὰ πρὸς ψυχὴν αὐτὸς ὑπάρχει μακάριος; τί δέ; εἰ πόλεως πολυανθρώπȣ, καὶ πολλὰς πυργοβάρεις πλȣτȣ́σης, καὶ εὐθέτȣς λιμένας, καὶ πρὸς θέρος καὶ ψύχος ἐπιτηδείας; τί δὲ κρείττων ἐκ τȣ́των αὐτὸς γένοιτ' ἂν, εἰ προγόνων ἐςὶ περιφανῶν, καὶ ἀξιώμασι καὶ δόξῃ τῇ παρὰ ἀνθρώπων τετιμημένων; τί ταῦτα δύναται τὴν ἀνθρωπίνην φύσιν ποιῆσαι βελτίονα; πόσοι γὰρ φθορεῖς καὶ λυμεῶνες ἄνθρωποι τȣ́των μετέχȣσι τῶν ἠθέων ȣ̓χὶ καλῶς; ȣ̓ καταδέχονται ȣ̓͂ν νόμοις ἀνθρωπίνων ἐγκω-

ἐγκωμίων δουλεύειν οἱ πρὸς ἁγίους ἔπαινοι· ὅτι πόλις ἁγίων ἐστὶν ἡ ἄνω Ἱερουσαλὴμ, ἡ ἐλευθέρα Μητρόπολις, ἧς μόνος ἐστὶ τεχνίτης καὶ δημιουργὸς ὁ Θεός· ἐν ᾗ πανηγύρεις Ἀγγέλων, καὶ Ἐκκλησία πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς· γάος δὲ τὸ πνευματικὸν πάντων ἐν, κοινὸς γὰρ αὐτῶν Πατὴρ ὁ Θεὸς, καὶ ἀδελφοὶ πάντες ἐκ τῆς υἱοθεσίας τοῦ Πνεύματος· γέννησις δὲ αὐτῶν, ἀνατροφὴ, καὶ ἀγωγὴ ἀρίστη, οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ᾽ ἐκ Θεοῦ προηγμένη. Τοιγαροῦν καὶ ἡμεῖς οὐκ ἀνθρωπίνως, ἀλλὰ θειοτέρως τούτους τιμῶμεν, ὅτι χρήζομεν τῆς αὐτῶν βοηθείας, καὶ οὐ τῶν ἡμετέρων αὐτοὶ ἐπαίνων· οὐχ ἵνα τῇ δόξῃ αὐτῶν προσθῶμεν, ἀνενδεεῖς γάρ· ἀλλ᾽ ἵνα καὶ λέγοντές τι περὶ αὐτῶν, καὶ ἀκούοντες, ἐρεθισθῶμεν πρὸς τὰ καλὰ ὁπωσοῦν. Ἐπεὶ δὲ σήμερον εἰς εὐφημίαν ἡμῖν ὁ μέγας πρόκειται Πρόδρομος, (οὕτω γὰρ προὔτρεψεν ὁ Κρατῶν κατὰ σύνοψιν τοῦ ἁγίου ἐπιμνησθῆναι·) κατὰ τὸν ῥηθέντα τύπον λοιπὸν, ἔκ τε τῶν ἔργων, καὶ τῶν χαρισμάτων αὐτοῦ καὶ θαυμάτων, πλέξαντες πρέποντα στέφανον, ἀναθήσωμεν τῷ Βαπτιστῇ τοῦ Χριστοῦ.

Οὗτος τοίνυν ὁ ἔνσαρκος Ἄγγελος, γεννᾶται μὲν ἐν ὀρεινῇ πόλει τῆς Ἰουδαίας, ὡς ἱστορεῖ ὁ Λουκᾶς· μόνον δὲ μῆνας ἕξ ἐν ταύτῃ διαγαγὼν, διωγμοῦ γενομένου πρὸς τοῦ Ἡρώδου, ἀπέδρα πρὸς τῆς Μητρὸς βασταζόμενος εἰς τὴν ἔρημον, ἐν ᾗ καὶ τὴν Μητέρα θανάτῳ ζημιωθεὶς, ἔμεινε μετὰ τῶν θηρίων οἰκήσας ἄχρι χρόνων τριάκοντα· γυμνὸς μὲν τὸ πρῶτον, καὶ τὴν τροφὴν ἀκρίδας καὶ μέλι ἄγριον μόνον, εἶτα καὶ τροφῆς μεταχὼν τῆς ἐκεῖσε συνήθους μετέχεσθαι, καὶ πιναρὰν ἀμπεχόνην ἐνδὺς, ἵνα μὴ δόξῃ τῶν σωματικῶν ἀναγκῶν ὑπέρτερος εἶναι, ἢ ἀλαζὼν ἄλλως καὶ ὑπερόπτης, καὶ τοὺς πάντας ἡγούμενος ἴνδαλμα· ἀφικόμενος πλὴν εἰς τὴν τοῦ Ἰορδάνου πᾶσαν περίχωρον ἐκήρυττε μέγα, καὶ διαπρύσιον πᾶσι βοῶν
„ μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· τὸ δὲ „
ἐστὶν, μεταβάλλεσθε ἀπὸ κακίας εἰς ἀρετὴν, ὅτι ὁ βασι-

λοῦς τῶν ἐρανῶν ἐλήλυθε πρὸς ἡμᾶς. Ὁρῶν δὲ πολλοὺς μὴ μεταβαλλομένους τὸν τρόπον, γεννήματα ἐχιδνῶν ἀπεκάλει, καὶ γεέννης αὐτοὺς, καὶ τομῆς, καὶ ὀργῆς, καὶ πυρὸς ὑπεμίμνησκεν· ἐξ ὧν καὶ τὸν Ἡρώδην ἐπὶ πᾶσιν οἷς ἐποίει κακοῖς ἀπελέγχων, καὶ ὅτι τὴν τοῦ ἀδελφοῦ Φιλίππου γυναῖκα ἔτι ζῶντος ἥρπασε, τῆς ἀθέσμου πράξεως ἀποστῆναι παρῄνει· ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρώδῃ, ὡς ἐν Εὐαγγελίοις τρανώτερον γέγραπται, „ὅτι „ οὐκ ἔξεστί σοι ἔχειν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου· ἡ δὲ Ἡρωδιὰς ἐνεῖχεν αὐτὸν, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο· καὶ γενομένης ἡμέρας εὐκαίρου, εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρωδιάδος, καὶ ὀρχη„ σαμένης, καὶ ἀρεσάσης τῷ Ἡρώδῃ εἶπεν αὐτῇ „ αἴτησόν„ μοι ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι· ἡ δὲ συμβούλῳ τῇ Μητρὶ χρησαμένη, τὴν κάραν αἰτεῖται τοῦ Βαπτιστοῦ ἐπὶ πίνακι· καὶ οὕτω τὸ μακάριον ὑπέστη τέλος, ἐχηκὼς μὲν τὸ κατὰ φύσιν ὡς ἄνθρωπος, φυγὼν δὲ τὸ παρὰ τὸν λόγον βιῶναι, ὡς ὑπὲρ τὴν φύσιν ἀγωνισάμενος· τὸ βάπτισμα πρῶτος κηρύξας, καὶ τὴν τῶν Μοναχῶν πολιτείαν, ἐξ αὐτῶν τῶν σπαργάνων ἐπιδειξάμενος πράγμασι. Καὶ ταῦτα μὲν, ὡς συνελόντι φάναι, τὰ ἔργα τοῦ Βαπτιστοῦ· ὅσοις δὲ χαρίσμασιν ἡ πλουσιόδωρος χάρις τοῦτον ἐκόσμησεν, ὡς ἐν συνόψει ἀκούσατε.

Ὅτι δι᾽ Ἀρχαγγέλου καὶ οὗτος εὐηγγελίσθη τοῦ Γαβριὴλ· κ᾽ Ἄγγελος, οὐκ ἀπ᾽ ἀνθρώπων, ἀλλ᾽ ἐκ Θεοῦ προωνόμασται· περὶ αὐτοῦ γὰρ εἴρηκεν ὁ τῶν Φώτων Πα„ τὴρ τῷ Υἱῷ „ ἰδοὺ ἐγὼ ἀποστελῶ τὸν Ἄγγελόν μου πρὸ „ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου· καὶ διὰ Προφητῶν προκεκήρυκται τὰ περὶ αὐτοῦ, τοῦ μὲν „ Ἡσαΐου λέγοντος, „ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμά„ σατε τὴν ὁδὸν τοῦ Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· τοῦ δὲ πατρὸς αὐτοῦ Ζαχαρίου εἰπόντος αὐτῷ „ καὶ „ σὺ παιδίον Προφήτης ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ „ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ· καὶ ἐκ νηδύος „ μητρικῆς προσηγόρευσε τὸν Χριστὸν διὰ χειλέων τῆς Ἐλισάβετ

σάβετ τῇ Θεοτόκῳ εἰπὼν „ εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου· τήν τε τῆς Μητρὸς στείρωσιν συλληφθεὶς, καὶ τὴν τοῦ Πατρὸς σιγὴν γεννηθεὶς ἔλυσε· καὶ Ἰωάννης, ὃ δηλοῖ Θεοῦ χάρις, οὐρανόθεν πρὸ συλλήψεως κέκληται· καὶ πάντων τῶν τ' ἰδόντων καὶ ἀκουσάντων τὰ περὶ αὐτοῦ τὰς ψυχὰς εἰς ἔκπληξιν ἤγαγε, καὶ χαράν· καὶ μόνος μετὰ Χριστοῦ τὴν παιδοκτονίαν Ἡρώδου διέφυγε, θαυματουργήσαντος κἀνταῦθα τοῦ τῶν ὅλων Θεοῦ, ἵνα σώσῃ τὸν ἑαυτοῦ μεγαλόφωνον κήρυκα. Τὰ εἴδωλα τῆς Αἰγύπτου μὴ ἐνεγκόντα τὴν Χριστοῦ παρουσίαν αὐτόματα πέπτωκε· καὶ πέτρα ῥαγεῖσα τὸν Ἰωάννην διέσωσε· καὶ Προφήτου Ἀρχιερέως, Προφήτης προῆλθεν υἱός· καὶ Ἱερέων καὶ Προφητῶν ὑπῆρχεν ἁπάντων ὑπέρτερος· καὶ τοσοῦτον, ὅσῳ καὶ τὸν παρὰ πάντων προφητευόμενον εἶδε, καὶ τῇ οἰκείᾳ χειρὶ τοῦτον ἐβάπτισε, καὶ ἀνάδοχος γέγονε τούτου, καὶ ἀπόστολος, καὶ κήρυξ, καὶ τέλος τῶν Προφητῶν καὶ τῶν Μαρτύρων τῶν πρὸ Χριστοῦ, ἀρχὴ δὲ τῶν Ἀποστόλων καὶ τοῦ Εὐαγγελίου τῆς χάριτος· διόπερ μεσίτης καλεῖται παλαιᾶς καὶ καινῆς, καὶ Πρόδρομος τοῦ Κυρίου, ἐπεὶ προέδραμε τούτου, ἔν τε τῇ συλλήψει, καὶ τῇ γεννήσει, καὶ ἐν τῷ κηρύγματι, κἀν τῇ τελευτῇ, καὶ τῇ εἰς ᾅδου καθόδῳ, καὶ ἐν πάσῃ σχεδὸν τῇ ἐνσάρκῳ τοῦ Λόγου οἰκονομίᾳ, ἐν ἑκάστῳ τῶν μυστηρίων, ἐπίσης χρόνον ἑξάμηνον.

Πρὸς δὲ τοῖς εἰρημένοις, ἐπείπερ ὁ Κύριος νυμφίος τῷ ὄντι καὶ λέγεται καὶ ἐστὶν (ἡρμόσατο γὰρ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, ὡς νύμφην ἄμωμον ἑαυτῷ,) καὶ ἥλιος δικαιοσύνης, καὶ ἐρχόμενος Κύριος „ εὐλογημένος γάρ φησιν ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· καὶ κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἱερεύς· καὶ φῶς φωτίζον πάντα ἄνθρωπον εἰς τὸν κόσμον ἐρχόμενον· καὶ Λόγος, ὡς ἐκ νοῦ τοῦ Πατρὸς προερχόμενος· καὶ βασιλεύς, ὡς πάντων κρατῶν ὁρατῶν τε καὶ ἀοράτων· προηγεῖται δὲ τοῦ μὲν βασιλέως στρατιώτης, τοῦ δὲ λόγου φωνὴ, τοῦ δὲ φωτὸς λύχνος, ἱερέως διάκονος, τοῦ δὲ ἐρχομένου ἑτοιμαστὴς, τοῦ δὲ ἡλίου αὐγὴ,

καὶ

καὶ τοῦ νυμφίου νυμφαγωγός· ἅπαντα ταῦτα γέγονεν ὁ Ἰωάννης πρὸς τὸν Χριστόν· καὶ νυμφαγωγὸς γὰρ τοῦ νυμφίου, καὶ αὐγὴ τοῦ ἡλίου, ἑτοιμαστής τε τοῦ ἐρχομένου, καὶ τοῦ ἱερέως διάκονος, καὶ λύχνος τοῦ Φωτὸς, καὶ Φωνὴ τοῦ λόγου, καὶ στρατιώτης ἐξαίρετος τοῦ Βασιλέως τῶν οὐρανῶν, καὶ πρόδρομος διὰ πάντα καλούμενος· καὶ ἵνα συνελὼν εἴπω πόσοις ὀνόμασι σεμνιώεται παρὰ τῆς Γραφῆς, υἱὸς, βρέφος, παιδίον, μέγας, Ἰωάννης, ἄνθρωπος, διάκονος, ἱερεὺς, προφήτης, στρατιώτης, Ἠλίας, διδάσκαλος, ἑτοιμαστὴς, κήρυξ, Φωνὴ, αὐγὴ, βαπτιστὴς, ὁμολογητὴς, μάρτυς, δίκαιος, ἅγιος, ἀπόστολος, ὅσιος, εὐαγγελιστὴς, νηστευτὴς, παρθένος, ἀκτήμων, νυμφαγωγὸς, λύχνος, ἔλεγχος, ὅρος τῶν Προφητῶν, ἀρχὴ τοῦ Εὐαγγελίου, μεσίτης παλαιᾶς καὶ καινῆς, πρόδρομος, ἄγγελος, καὶ μείζων ἐν γεννητοῖς γυναικῶν. Καὶ ταῦτα μὲν τὰ πρὸς Θεοῦ δοθέντα Ἰωάννῃ χαρίσματα· ὅσοις δὲ θαύμασι τὸν ἅπαντα κόσμον δι' αὐτοῦ ὁ δοξάζων τοὺς δοξάζοντας αὐτὸν κατεκόσμησε, καὶ εἰσέτι κοσμεῖ, οὐδ' ἂν μυρίας γλώσσας τις κτήσαιτο, παραστῆσαι δυνήσεται· Ἀλλὰ περὶ μὲν τοῦ Ἰωάννου, τόγε νῦν ἔχον ταῦθ' ἱκανά.

Περὶ δὲ τῆς τῶν Θεοφανίων ἑορτῆς, τῆς μετὰ τρίτην ἡμῖν ἐπιούσης ἡμέραν, πολλὰ μὲν καὶ ἄλλα ἠπόρηται τοῖς περὶ τὰς ἀξιολόγους ἀπορίας δεινοῖς, ἐξαιρέτως δὲ πάντων ταυτὶ τὰ ἑπτά· πρῶτον, τί διαφέρει τοῦ ἡμετέρου βαπτίσματος ἐκεῖνο τὸ βάπτισμα, ὅπερ αὐτὸς ὁ Χριστὸς ἐβαπτίσατο; δεύτερον, ἆρα ὑπὸ βεβαπτισμένου τοῦ Ἰωάννου, ἢ ὑπὸ ἀβαπτίστου ἔτι ὄντος αὐτοῦ ἐβαπτίσθη ὁ Κύριος; τρίτον, τί δήποτε ὁ τῶν ὅλων Θεὸς, μὴ καὶ πάντα τὰ ἔθνη εἰς τὸ τοῦ Ἰωάννου ἐκάλεσε βάπτισμα; τέταρτον, διατὶ δι' ὕδατος ἐκάθηρε τῶν ἀνθρώπων τὸ γένος, καὶ μὴ δι' ἑτέρου τινὸς, παντοδύναμος ὤν; πέμπτον διατὶ ὁ Ἰωάννης ἐξελέγη ὁ Βαπτιστὴς τοῦ τῶν Ἑβραίων γένους γενέσθαι, καὶ αὐτοῦ τοῦ Χριστοῦ; ἕκτον πρὸς τούτοις, διατὶ τῶν λοιπῶν ποταμῶν, καὶ πασῶν λιμνῶν καὶ πηγῶν

γῶν, ὁ Ἰορδάνης ἀφώρισται εἰς τὸ τοῦ Ἰωάννου βάπτισμα μόνος; καὶ ἕβδομον ἐπὶ πᾶσι, τί θαυμαστὸν καὶ παράδοξον γέγονε βαπτιζομένου τοῦ Χριστοῦ, ἵνα μόνον τὸ γυμνωθῆναι αὐτὸν καὶ λουθῆναι παρά τινος, τοῦτο δὴ τὸ τοῖς ἅπασι σύνηθες, καὶ πολλάκις γινόμενον, ἑορτὴ μεγίστη καὶ νομίζηται παρ᾽ ἡμῶν, καὶ θαυμάζηται; Τάδε μὲν οὖν ἠπόρηται τοῖς πολλοῖς, καὶ τὰ τούτων ἐχόμενα· ῥητέον δὲ συντόμως περὶ αὐτῶν ἄνωθεν· λέγω δὲ, οὐχ ὅσον περὶ τούτων διὰ τὴν τοῦ Θεοῦ χάριν εἰπεῖν δυνάμεθα· πέλαγος γὰρ νοημάτων ἀφ᾽ ἑκάστου τούτων ἀνοίγεται, τοῖς τοῦτο περᾶν δυναμένοις· ἀλλ᾽ ὅσον οἷον καὶ συνοπτικώτερον καὶ ἁπλούστερον, διὰ τὸ τοῦ περιεστῶτος ἡμᾶς πλήθους πρὸς τὰ τοιαῦτα τῶν ζητημάτων ἀσύνηθες.

Περὶ τοῦ πρώτου τοίνυν ταῦτα ἰστέον, ὅτι ἐκεῖνο τὸ βάπτισμα ὅπερ ὁ Κύριος παρὰ τοῦ Ἰωάννου ἐδέξατο, κατὰ πολλὰ τοῦ ἡμετέρου διέφερεν· ὅτι δίχα τινὸς ἱερολογίας ἐτελεῖτο τῷ Βαπτιστῇ· οὐδὲ γὰρ ἐπεφώνει λέγων, εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεί· ἢ, δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι· ἢ, ὅτι βαπτίζεται ὁ δεῖνα, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, ἀμήν· καὶ τοῦ Υἱοῦ, ἀμήν· καὶ τοῦ ἁγίου Πνεύματος, ἀμήν· οὔτε μὴν εἰς τρεῖς ἐπληροῦτο καταδύσεις ἐκεῖνο, ὡς τὸ ἡμέτερον δείκνυται· οὐδὲ στολὴν ὁ βαπτίζων ἠμμένος ἀλλοίαν ἐνήργει τοῦτο, καθάπερ νῦν γίνεται· οὐδὲ μύρον εἰς χρίσμα, οὐδὲ εἰς ἄλειμμα ἔλαιον ἐπεφέρετο· οὐδὲ τὸ προϋπάρχον ὄνομα τῷ βαπτιζομένῳ εἰς ἕτερον ἤμειβεν· οὐδὲ Πνεῦμα ἅγιον πάντα ἐνεργοῦν τὰ γινόμενα εἶχεν· οὐδ᾽ ἁμαρτημάτων προγεγονότων ὅλως ἐκέκτητο ἄφεσιν· ἀλλὰ διάγγελμα μόνον ὑπῆρχε τῆς παρουσίας Χριστοῦ, διόπερ ἅπασιν ὡμολόγηται, ὅτι
ὁ Ἰωάννης ἐξαιρέτως τοῦτο τοῖς προσιοῦσι διήγγελλε „ με- “
τανοεῖτε, λέγων, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. “
Βασιλεία δὲ οὐρανῶν καὶ τὸ κήρυγμα λέγεται, καθ᾽ ὃ ση- “
μαινόμενον λέγει ὁ Κύριος „ ὡμοιώθη ἡ βασιλεία τῶν οὐρα- “
νῶν κόκκῳ σινάπεως· καὶ πάλιν, ὁμοία ἐστὶν ἡ βασιλεία “
τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ “
παντὸς γένους συναγαγούσῃ. Βασιλεία τῶν οὐρανῶν καὶ “
ἡ δευ-

ἡ δεύτερα λέγεται τȣ̃ Χριςȣ̃ παρȣσία· καθ᾽ ὃ σημαινόμενον αὐτὸς ἔφη τοῖς Ἀποςόλοις „ τότε ὁμοιωθήσεται ἡ „ βασιλεία τῶν ȣ̓ρανῶν δέκα Παρθένοις. Βασιλεία τῶν ȣ̓ρανῶν, καὶ ἡ ὀρθὴ καὶ καθαρὰ πρὸς τὸν Θεὸν διάθεσις λέγεται· καθ᾽ ὃ σημαινόμενον φησὶ τοῖς ἑαυτȣ̃ Μαθηταῖς ὁ Σωτὴρ „ ἡ βασιλεία τῶν ȣ̓ρανῶν ἐντὸς ὑμῶν ἐςί. Βασιλεία τῶν ȣ̓ρανῶν καὶ ἡ ἐνάρετος ἐςὶ πολιτεία· καθ᾽ ὃ σημαινόμενον εἴρηκεν ὁ Δεσπότης „ ὡμοιώθη ἡ βασιλεία τῶν „ ȣ̓ρανῶν ζύμῃ, ἣν λαβȣ̃σα γυνὴ ἔκρυψεν εἰς ἀλεύρȣ σάτ- „ τα τρία, ἕως ἐζυμώθη τὸ ὅλον. Βασιλεία τῶν ȣ̓ρανῶν λέγεται καὶ ἡ αἰώνιος ζωή· καθ᾽ ὃ σημαινόμενον εἴρηται „ πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξȣσι, καὶ ἀνακλιθή- „ σονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ἐν τῇ βα- „ σιλεία τῶν ȣ̓ρανῶν. Βασιλεία τῶν ȣ̓ρανῶν λέγεται καὶ αὐτὴ ἡ νέα Ἱερȣσαλὴμ, καὶ ὁ ȣ̓ρανὸς αὐτός· πρὸς δὲ καὶ ἡ Ἐδὲμ τῆς τρυφῆς τὸ χωρίον· καθ᾽ ὃ σημαινόμενον „ λέγεται „ δυσκόλως πλȣ́σιος εἰσελεύσεται εἰς τὴν βασι- „ λείαν τῶν ȣ̓ρανῶν· καὶ δώσωσοι τὰς κλεῖς τῆς βασιλείας „ τῶν ȣ̓ρανῶν· καὶ ἐὰν μὴ περισσεύῃ ἡ δικαιοσύνη ὑμῶν „ πλεῖον τῶν Γραμματέων καὶ Φαρισαίων, ȣ̓ μὴ εἰσέλθη- „ τε εἰς τὴν βασιλείαν τῶν ȣ̓ρανῶν. Βασιλεία τῶν ȣ̓ρανῶν λέγεται καὶ ἡ πρώτη τȣ̃ Χριςȣ̃ παρȣσία, πᾶσα ἡ ἔνσαρκος δηλονότι τȣ̃ Λόγȣ οἰκονομία· καθ᾽ ὃ σημαινόμενον εἴρη- „ ται „ διὰ τȣ̃το πᾶς Γραμματεὺς μαθητευθεὶς εἰς τὴν „ βασιλείαν τῶν ȣ̓ρανῶν, ὅμοιος ἐςὶν ἀνθρώπῳ οἰκοδεσπότῃ, „ ὅςτις ἐκβάλλει ἐκ τȣ̃ θησαυρȣ̃ αὐτȣ̃ καινὰ καὶ παλαιά. Βασιλεία τῶν ȣ̓ρανῶν ἑκάςῳ καὶ λέγεται καὶ ἔςαι, τὸ πραγματεύεσθαι ἕκαςον τὴν ἑαυτȣ̃ σωτηρίαν δι᾽ ὅλȣ, πρὸς ἕνα σκοπὸν ἀφορῶντα, κληρονομῆσαι τȣ̀ς ȣ̓ρανȣ̀ς· καθ᾽ ὃ „ σημαινόμενον εἴρηται „ ὁμοία ἐςὶν ἡ βασιλεία τῶν ȣ̓ρανῶν „ ἐμπόρῳ ζητȣ̃ντι καλȣ̀ς μαργαρίτας, ὃς εὑρὼν ἕνα πολύ- „ τιμον μαργαρίτην, ἀπελθὼν πέπρακε πάντα ὅσα εἶχε, „ καὶ ἠγόρασεν αὐτόν. Ἐπὶ δὲ πᾶσι λέγεται βασιλεία τῶν ȣ̓ρανῶν παρ᾽ ἡμῶν, τῇ κοινῇ συνηθεία χρωμένων, αὐτὸ ὁ Χριςός· καὶ γὰρ εἰώθαμεν λέγειν, καὶ Ῥωμαίων, καὶ Περσῶν, καὶ Χαλδαίων, καὶ Μήδων ἀρχὴν καὶ βασιλείαν,

λείαν, ἀντὶ ἀρσενικοῦ, θῆλυ προφέροντες ὄνομα· Κατὰ δὴ ταῦτα τὰ σημαινόμενα πάντα Ἰωάννης ἐκήρυττε λέγων, μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· τουτέστιν, ἐπειδὴ ἐπὶ θύραις ἐστὶ, καὶ ἡ πρώτη τοῦ Χριστοῦ παρουσία, καὶ ἡ δευτέρα, καὶ ὅσα ἠλπίζετο τοῖς ἀνθρώποις ἀγαθὰ ἐπελθεῖν· λοιπὸν ἑτοιμάσθητε πρὸς τὴν τούτων ὑποδοχὴν, καὶ μὴ μέλλετε. Καὶ ταῦτα μὲν περὶ τοῦ πρώτου εἰρήσθω μοι κατ᾽ ἐπιτομήν.

Περὶ δὲ τοῦ δευτέρου, ἤγουν τοῦ, ἆρα ὑπὸ βεβαπτισμένου τοῦ Ἰωάννου, ἢ ἀβαπτίστου ἔτι ὄντος αὐτοῦ ἐβαπτίσθη ὁ Χριστός; ἐκεῖνο φημὶ, ὅτι οὐκ ἔδει τὸν Χριστὸν βαπτιζόμενον ὑπὸ τελειοτέρου τινὸς ἑαυτοῦ βαπτισθῆναι, ὡς δῆθεν παρ᾽ αὐτοῦ ἁγιασθησόμενον· οὐδὲ γὰρ ἐδεῖτο καθάρσεως ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ τὰς ἁμαρτίας αἴρων τοῦ κόσμου παντός· μόνον δὲ διὰ τοῦτο καὶ αὐτὸς ὑπὸ Ἰωάννου ἐδέξατο βάπτισμα, ἵνα μὴ δόξῃ τοῖς παρὰ τοῦ Πατρὸς διὰ τοῦ Προφήτου κηρυττομένοις ἀνθίστασθαι· διὸ καὶ τῷ Ἰωάννῃ φησὶν, ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶ, πληρῶσαι πᾶσαν δικαιοσύνην· καὶ ἵνα πάντων εἰς ἕνα τόπον συνηθροισμένων μαρτυρηθῇ παρ᾽ αὐτοῦ, καὶ παρὰ τοῦ Πατρὸς, καὶ παρὰ τοῦ Πνεύματος· ὅθεν προκηρύττων τὴν παρουσίαν αὐτοῦ τοῖς ἐκπορευομένοις πρὸς αὐτὸν ὄχλοις ἔλεγε, καθὼς ὁ μὲν τῶν Εὐαγγελιστῶν λέγει, „ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν, ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστὶν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ, καὶ πυρί· οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ· ὁ δὲ, ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· ὁ δὲ, ἐγὼ βαπτίζω ἐν ὕδατι, μέσος δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε· αὐτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν, οὗ ἐγὼ οὐκ εἰμὶ ἄξιος ἵνα λύσω τὸν ἱμάντα τοῦ ὑποδήματος.

Πλὴν

Πλὴν ἐβαπτίσθη καὶ ὁ Ἰωάννης παρὰ Χριστοῦ, ὡς
καὶ τῷ Θεολόγῳ Γρηγορίῳ δοκεῖ, ἐν τῷ εἰς τὰ Θεοφάνια
„ λόγῳ λέγοντι „ ᾔδει γὰρ ὡς καὶ αὐτὸς μετ᾽ ὀλίγον βαπ-
„ τίσων τὸν Βαπτιστήν, ὃ καὶ αὐτὸς ὁ Πρόδρομος προεφή-
„ τευσε λέγων τῷ Ἰησοῦ, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆ-
„ ναι. Πλὴν ἐκεῖνο τὸ βάπτισμα Ἰωάννου, τὸ μέσον τῶν
βαπτισμάτων τῆς παλαιᾶς καὶ καινῆς, ᾧ ὁ Ἰησοῦς πρὸς
τοῦ Ἰωάννου, καὶ ὁ Ἰωάννης παρὰ τοῦ Χριστοῦ ἐβαπτίσθη·
καὶ οἱ Ἀπόστολοι πολλὰ πλήθη τῶν Ἰουδαίων εἰς τοῦτο
ἐβάπτισαν· ὅπερ καὶ ὁ Εὐαγγελιστὴς Ἰωάννης ἐν τῷ τρί-
„ τῳ τοῦ κατ᾽ αὐτὸν Εὐαγγελίου δίεισι λέγων „ μετὰ ταῦ-
„ τα ἦλθεν ὁ Ἰησοῦς, καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν
„ γῆν, καὶ ἐκεῖ διέτριβε μετ᾽ αὐτῶν, καὶ ἐβάπτιζεν· ἦν δὲ
„ ὁ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ· ἀλλὰ δὴ
„ καὶ ἐν τῷ τετάρτῳ „ ὡς οὖν ἔγνω ὁ Ἰησοῦς, ὅτι ἤκουσαν οἱ
„ Φαρισαῖοι, ὅτι ὁ Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βα-
„ πτίζει, ἢ Ἰωάννης· καίτοιγε αὐτὸς ὁ Ἰησοῦς οὐκ ἐβάπτι-
„ ζεν, ἀλλ᾽ οἱ μαθηταὶ αὐτοῦ· ἀφῆκε τὴν Ἰουδαίαν, καὶ
„ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν· ὅθεν καὶ οἱ τοῦ Ἰωάννου μα-
θηταὶ φθόνῳ φερόμενοι τὸν Χριστὸν αὐτὸν ἐγκαλοῦσι πρὸς
„ Ἰωάννην „ Ῥαββὶ, λέγοντες, ὃς ἦν μετὰ σοῦ, πέραν τοῦ
„ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἰδὲ οὗτος βαπτίζει, καὶ
„ πάντες ἔρχονται πρὸς αὐτόν· τοῦτο τὸ βάπτισμα ὅπερ
ὁ Χριστὸς ἐβαπτίσθη, καὶ οἱ Ἀπόστολοι ἐβαπτίσθησαν πα-
ρὰ τοῦ Προδρόμου, πρὸ τοῦ μαθητευθῆναι Χριστῷ.

Τόγε μὴν ἡμέτερον βάπτισμα τοῦτο, ἐταμιεύετο
πᾶσι μετὰ τὴν τοῦ Κυρίου ἀνάστασιν, καὶ τὴν τοῦ ἁγίου
Πνεύματος ἐπέλευσιν, παρὰ τῶν Ἀποστόλων ἐνεργηθῆ-
ναι, καθὼς αὐτὸς ὁ Χριστὸς, ἐν τῷ τῆς Γαλιλαίας ὄρει
„ φησὶ πρὸς αὐτοὺς „ πορευθέντες μαθητεύσατε πάντα τὰ
„ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ
„ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· καὶ πάλιν, συναυλι-
„ ζόμενος, ὅ φησι Λουκᾶς, παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱερο-
„ σολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν
„ τοῦ Πατρὸς ἣν ἠκούσατέ μου· ὅτι Ἰωάννης μὲν ἐβάπτιζεν
„ ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ, οὐ μετὰ

πολλὰς

πολλὰς ταύτας ἡμέρας· καὶ ὁ Ἀπόστολος Πέτρος λέγει πρὸς τοὺς πιστεύσαντας Ἰουδαίους, ἐν τῇ τῆς ἁγίας Πεντηκοστῆς ἡμέρᾳ „μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος· ἀλλὰ καὶ ὁ θεῖος Παῦλος, μετὰ πολὺν χρόνον τῆς τοῦ Χριστοῦ Ἀναλήψεως, εὑρών τινας τῶν μαθητῶν ἐν Ἐφέσῳ, φησὶ πρὸς αὐτοὺς „εἰ Πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ εἶπον πρὸς αὐτόν, ἀλλ᾽ οὐδ᾽ εἰ Πνεῦμα ἅγιον ἐστὶν ἠκούσαμεν· ὁ δὲ εἶπεν αὐτοῖς, εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον, εἰς τὸ Ἰωάννου βάπτισμα· εἶπε δὲ Παῦλος, Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτόν, ἵνα πιστεύσωσι· τουτέστιν, εἰς τὸν Χριστὸν Ἰησοῦν· ἀκούσαντες δέ, ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ· καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ᾽ αὐτούς· ἐλάλουν τε γλώσσαις, καὶ προεφήτευον.

Ὥστε πολλαχόθεν δείκνυται τὰ τρία ταῦτα· ὅτι ἄλλο τὸ τοῦ Ἰωάννου βάπτισμα ἦν, καὶ ἄλλο ἐστὶν ὅπερ ἡμεῖς βαπτιζόμεθα· καὶ ὅτι μὴ μόνον ὁ Ἰωάννης, ἀλλὰ καὶ οἱ Ἀπόστολοι πολλοὺς τούτῳ ἐβάπτισαν τῷ βαπτίσματι· πρὸς δέ, ὅτι πρὸ τῆς Ἀναστάσεως, οὔτε Πνεῦμα ἅγιον τοῖς βαπτιζομένοις, οὔτε ἄφεσις ἁμαρτιῶν ἐχαρίζετο. Τούτῳ μέντοι τῷ ἡμετέρῳ βαπτίσματι δήπου καὶ οἱ τῶν Ἀποστόλων ἔξαρχοι, πρώτως Πέτρος λέγω, καὶ Ἰωάννης ἀλλήλους ἐβάπτισαν, ὡς κἀν τῷ Συναξαρίῳ ἐκφέρεται· καὶ τοὺς δέκα συνθιασώτας αὐτῶν· τοὺς ἑβδομήκοντα οἱ δώδεκα· κἀκεῖνοι τοὺς λοιπούς, ὅσοι διάδοχοι τούτων γενέσθαι ἠξίωνται· οἱ δὲ πάντα τὰ ἔθνη, κατὰ διαφόρους τόπους καὶ χρόνους, ἄχρι τῆς σήμερον· ὅμως καὶ οἱ πλείους τῶν Ἀποστόλων, καὶ Ἰωάννης αὐτός, καὶ τῷ οἰκείῳ αἵματι ἐβαπτίσθησαν, βάπτισμα, ὃ πρῶτος πάντων Χριστὸς ἐβαπτίσατο, ἵνα κἀν τούτῳ πρῶτος ᾖ πάντων αὐτός.

Ἀλλ᾽ ἐπὶ τὸ τρίτον λοιπὸν ἰτέον· οὐ πάντα δὲ τὰ ἔθνη εἰς τὸ τοῦ Ἰωάννου βάπτισμα κέκληκεν ὁ Χριστός, ὅτι μηδὲ ὁ Βαπτιστὴς κῆρυξ ἐθνῶν ἐχειροτονήθη παρὰ Θεοῦ,

ἐδὲ τὰ ἔθνη προσετάγη βαπτίζειν, ἀλλὰ τὲς ἐξ Ἰσραὴλ μόνον· διὸ καὶ ἔλεγεν ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τȣ͂το ἐγὼ ἦλθον βαπτίζων ἐν ὕδατι· τὸ δὲ εἰς βάπτισμα ἐν τὰ ἔθνη πάντα καλέσαι, τοῖς Ἀποςόλοις προστέτακται· ἐπεὶ καὶ Ἰνδὲς, καὶ Πάρθȣς, καὶ Σκύθας, καὶ Βρεταννὲς, καὶ Μαύρȣς, καὶ Ἱσπανὲς, καὶ Αἰθίοπας, ἑνὸς ἀνδρὸς κήρυγμα συναγαγεῖν ἐν ταὐτῷ ἀδύνατον ἦν· εἶτα καὶ τὸ τῶν γλωσσῶν πολυειδὲς καὶ ποικίλον, καὶ τὸ τῶν ἠθῶν διάφορον, καὶ τῶν ἀρχόντων ἡ ἐξȣσία, καὶ τὰ τῶν τόπων μακρὰ διαςήματα, καὶ τὸ ἀκοινώνητον τῶν Ἰȣδαίων πρὸς τὰ λοιπὰ τῶν γενῶν, καὶ τὸ μὴ λύειν ἁμαρτήματα, καὶ τὸ μὴ διδόναι ἅγιον Πνεῦμα, ἐκώλυσεν ἂν ἅπαντας καὶ ἰδεῖν, καὶ ἀκȣ͂σαι, καὶ πιςεῦσαι εἰς Θεόν· ἅπερ πάντα συνέδραμε καὶ κατὰ λόγον καὶ ὑπὲρ λόγον, ἐπὶ τȣ͂ τῶν Ἀποςόλων κηρύγματος καὶ βαπτίσματος· διὰ γὰρ τὸ πλείȣς εἶναι, διέδραμον ἄχρι περάτων τῆς γῆς· καὶ διὰ τὴν τῶν Ῥωμαίων μοναρχίαν, παρ᾽ ἐδενὸς μεταβαίνειν ἐξ ἔθνȣς εἰς ἔθνος ἐνεποδίζοντο· καὶ διὰ τὸ πάσας ἀθρόον τὰς γλώσσας ἐξ ὕψȣς μαθεῖν, ἕκαςον ἔθνος, τῇ τȣ͂ ἔθνȣς γλώττῃ, ἐδίδαξεν ἕκαςος· καὶ διὰ τὸ τοῖς πᾶσι τὰ πάντα γενέσθαι κατὰ Χριςὸν, τὲς πάντας ἐκέρδησαν, καὶ τῇ τῶν ἠθῶν πρὸς αὐτὲς χρηςῇ κοινωνίᾳ, τὰ ἤθη πάντων καὶ ἔθη εἰς ἀγαθὸν μετερρύθμισαν· καὶ διὰ τὸ δύνασθαι λύειν τὰς τῶν πολλῶν ἁμαρτίας, ἁμαρτιῶν πάντας τὲς αἰρȣμένȣς, καὶ τῆς ἑπομένης κολάσεως τȣ́τοις ἐκ τῶν ἁμαρτημάτων, ἀπήλλαξαν· καὶ διὰ τὸ Πνεῦμα διδόναι τοῖς ἀξίοις τȣ͂το λαβεῖν, Πνευματικῶν χαρισμάτων τὴν οἰκȣμένην ἐπλήρωσαν.

Ἀμέλει ὁ μὲν Ἰωάννης ἐδὲ σημεῖον ἐποίει, οἱ δὲ, καὶ πλείω καὶ μείζονα τȣ͂ Χριςȣ͂ σημεῖα ἀπεδείξαντο, καὶ πολλάκις, καὶ πολλαχȣ͂· καὶ τȣ͂το δῆλον ἐκεῖθεν. Ἀναληφθεὶς ὁ Χριςὸς, εἴκοσι πρὸς τὲς ἑκατὸν μόνον ἀφῆκε χριςιανὲς ἐν τῇ γῇ, καίτοι τριετίαν ὅλην κηρύξας παῤῥησίᾳ τὸ Εὐαγγέλιον· ὁ μέντοι θειότατος Πέτρος ἐν τῇ πρώτῃ πρὸς τὲς Ἑβραίȣς δημηγορίᾳ, τρισχιλίȣς εὐθὺς

πρὸς

πρὸς τὴν εὐσέβειαν ἤγαγεν· ἐν δὲ τῇ δευτέρᾳ πεντάκις χιλίους· καὶ ἑπτάκις χιλίους ἐν τῇ τρίτῃ, χωρὶς γυναικῶν καὶ παιδίων ἀναριθμήτου πλήθους. Πάλιν τρεῖς μόνον τελώνας ὁ Κύριος εἰς μαθητείαν ἐκάλεσε· τρεῖς παραλύτους συνέσφιγξε μόνον, καὶ τρεῖς νεκροὺς ἐξανέστησεν, ὡς καὶ ὁ θεολόγος Γρηγόριος ἐν τοῖς ἔπεσι τίθησι λέγων·

Τρεῖς βίβλοισι τεῇσι μεγακλέες εἰσὶ τελῶναι,
Ματθαῖος τε μέγας, νηῶ τ' αἵ δάκρυα λείψας,
Ζακχαῖος τ' ἐπὶ τοῖσιν· ὁ τέτρατος αὐτὸς ἔοιμι.
Τρεῖς δ' ἄρα λυσιμελεῖς, ὅ, τε λέκτριος, ὅς τ' ἐπὶ πηγῇ,
Ἥν τε Πνεῦμ' ἐπέδησεν· ὁ τέτρατος αὐτὸς ἔοιμι.
Τρεῖς δέ σοι ἐκ νεκύων φάος ἔδρακον, ὡς γὰρ ἄνωγας.
Ἄρχοντος θυγάτηρ, χήρης πάϊς, ἐκ δὲ τάφοιο,
Λάζαρος ἡμιδαΐκτος· ὁ τέτρατος αὐτὸς ἔοιμι.

τούτους οὖν ὁ Χριστὸς μόνους, εἴγε δεῖ τῇ Γραφῇ πείθεσθαι, τοὺς μὲν ἐκ τῶν τελωνῶν, τοὺς δ' ἐκ τῶν παραλύτων, τοὺς δ' ἐκ τῶν νεκρῶν ἐκάλεσεν, ἰάσατο, ἀνέστησεν· ὁ δὲ τῶν Ἀποστόλων τοῦ Χριστοῦ θίασος τοὺς ἀνὰ τὴν οἰκουμένην ἅπασαν τελώνας, καὶ παραλύτους, καὶ δαιμονῶντας, καὶ χωλοὺς, καὶ τυφλοὺς, καὶ λεπροὺς, καὶ νεκροὺς ἐκάλεσε, συνέσφιγξαν, ἰάσατο, ἀνώρθωσεν, ἐφώτισεν, ἐκάθηρεν, ἀνέστησε· καὶ τὸ δὴ πᾶσαν ἐκπλῆττον αἴσθησιν, καὶ θαυμάτων ἐπέκεινα, ὅτι τὰ ἱμάτια τούτων, καὶ τὰ σουδάρια μόνα, καὶ αἱ σκιαὶ, καὶ δαίμονας ἐξ ἀνθρώπων, καὶ πᾶσαν μαλακίαν ἀπήλασαν καὶ νόσον, ὅπερ οὐδαμοῦ γέγονεν ἐπὶ τοῦ Χριστοῦ, ἵνα πληρωθῇ τὸ ῥηθὲν παρ' αὐτοῦ „ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς, τὰ " ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων " ποιήσει. Ἀλλὰ περὶ μὲν τοῦ τρίτου ζητήματος, τό γε " νῦν ἔχον ἅλις.

Περὶ δὲ τοῦ τετάρτου ἤδη ῥητέον, τοῦ σαφοῦς καὶ συντόμου πολλοῦ ποιούμενος λόγον. Διὰ τοῦτο δι' ὕδατος τὸ (*) τῶν ἀνθρώπων ἐκάθηρε, καὶ εἰσέτι καθαίρει παντοδύναμος ὢν, ὅτι μὴ μόνον ἄριστον ἐν τοῖς στοιχείοις τὸ

ὕδωρ, ἀλλὰ καὶ πάντων αὐτῶν στοιχειωδέστερόν τε καὶ κατὰ φύσιν ἀρχοειδέστερον· καὶ τοῦτο μὴ μόνον τοῖς ἔξω, ἀλλὰ καὶ τῷ ἁγίῳ ἄριστα πεφιλοσόφηται Μωϋσῇ, ἐν τῇ
„ τῆς Γενέσεως βίβλῳ, νῦν μὲν λέγοντι „ὅτι Πνεῦμα
„ Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος· νῦν δὲ, ὅτι νεύσει
„ Θεοῦ ἐξήγαγε τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ
„ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς· ταῦτα γὰρ ὁ μέγας
οὗτος διεξιὼν, τὸ ἀρχοειδέστερον εἶναι τῶν ἄλλων τὸ ὕδωρ, παραστῆσαι βουλόμενος δείκνυται. Ἀλλὰ καὶ τοῦ ἐκ γενέσεως ἅμα, καὶ τοῦ ἐπιγινομένου διὰ βίου τῷ σώματι ῥύπου τοῦτο πᾶσι καθάρσιον· ταύτῃτοι καὶ τὰ πλείω τῶν τεραστίων, ὧν ὁ θαυμάσιος νομοθέτης, καὶ οἱ μετ' αὐτὸν Προφῆται εἰργάσαντο, ἐν ὕδασι ταῦτα ἐποίησαν· οἷον τὴν μεταβολὴν τοῦ ποταμίου ὕδατος ἐν Αἰγύπτῳ εἰς αἷμα· τὸ τοῦ αὐτοῦ ποταμοῦ ὕδωρ, τοῖς μὲν Ἑβραίοις ἀντλούμενον, ὕδωρ μένον, τοῖς δ' Αἰγυπτίοις αὐτίκα, καὶ τῇ ὄψει, καὶ τῇ γεύσει, αἷμα γινόμενον· τὸ τὴν ἐρυθρὰν θάλασσαν, τοῖς μὲν ὁδὸν, τοῖς δὲ γενέσθαι τάφον· τὸ μεταβληθῆναι τὰ τῆς Μερρᾶς νάματα εἰς γλυκύτατα· τὸ διὰ στύλου νεφέλης ἡμέρας ὅλας ὁδηγεῖσθαι τὸν Ἰσραὴλ εἰς τὴν ἔρημον· τὸ ἐξ ὄρους ἀνίκμου ποταμοὺς ἀναβλύσαι, καὶ ἐξ ἀκροτόμου πέτρας πηγάσαι μελίῤῥυτα νάματα· ἡ τῶν τριῶν ἐτῶν ἐπὶ γῆς τοῦ ὑετοῦ ἐποχή· καὶ ἡ τριτλὴ ἐπὶ τῶν σχιδάκων χύσις τοῦ ὕδατος· ἡ ἐν ἀνυδρίᾳ τοῦ ποταμοῦ παραγωγὴ, αὐχμὸν ἅμα λύοντος, καὶ νίκην ἐργαζομένου, καὶ ἡ τῶν ἀτεκνούντων ὑδάτων θεραπεία δι' ἅλατος· ἡ ἐπὶ πόκον δρόσος, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ξηρασία, καὶ αὖ ἐπὶ πᾶσαν τὴν γῆν δρόσος, ἐπὶ δὲ τὸν πόκον ξηρασία μόνον. Ὁρῶμεν δὲ ὅτι καὶ κατακλυσμῷ ὕδατος ὁ περίγειος κόσμος τῆς ἁμαρτίας ἐκαθαρίσθη, καὶ ὕδατι κολυμβήθρας δι' Ἀγγέλου ἐπιδημίας ὁ πρῶτος λουόμενος ὑγιάζετο· καὶ ταῦτα μὲν ταύτῃ.

Πέμπτον, προτετίμηται δὲ πάντων ὁ τοῦ Ζαχαρίου παῖς εἰς ὑπουργίαν τοῦ μυστηρίου, ἅτε παλαιᾶς καὶ νέας μεσίτης, καὶ σχήματι ὁ αὐτὸς χρηματίσας καὶ πράγματι· ἅτε Προφήτης ἐκ Προφήτου καὶ Προφήτιδος προελθὼν

θῶν κατ᾽ ἐπαγγελίαν· ἅτε παρὰ μεγάλε γεννηθεὶς Ἱερέως, τῷόντι μέγιςος Ἱερεὺς· ἅτε δισεξάδελφος τε Χριςε κατὰ τὸ ἀνθρώπινον ὑπάρχων αὐτὸς, καθὼς καὶ ὁ Γαβριὴλ εἶπε τῇ Θεοτόκῳ ἐν τῇ Ναζαρὲτ „ ἰδὲ Ἐλι- “
σάβετ ἡ συγγενής σε, καὶ αὐτὴ συνειληφῦα Υἱὸν ἐν γή- “
ρα αὐτῆς· ἅτε τῆς ἐρήμε πολίτης, ἅτε ἄλλος Ἠλίας, “
ἅτε τῆς ἐγκρατείας διδάσκαλος, καὶ τῆς μετανοίας μεγαλόφωνος κήρυξ· καὶ ἐνὶ λόγῳ ὅσα φθάσας ὁ λόγος ἐδήλωσε, λειτεργοὶ τε κατὰ τὴν οἰκονομίαν παντὸς μυςηρίε ἐξαίρετοι, ἕτοι παρὰ Θεε ἐξελέγησαν· ἐκ τῶν γυναικῶν ἡ Μαρία, ἐκ τῶν Ἀρχαγγέλων ὁ Γαβριὴλ, καὶ ἐκ τῶν ἀνδρῶν Ἰωάννης ὁ πρόδρομος.

Ἕκτον, ἐκ τῶν ποταμῶν δὲ Ἰορδάνην εἰς τὸ ἐν αὐτῷ βαπτισθῆναι ὁ Χριςὸς ἠρετίσατο, ὅτι μόνος τῶν ποταμῶν ἑτοσὶ, ἐκ λίμνης ἔχει τὴν ἀρχὴν, καὶ εἰς λίμνην τελευτᾷ· ἤτοι ἐξ ὑδάτων εἰς ὕδατα, καὶ ἐκ βυθε εἰς βυθόν· ὅτι τῶν ἄλλων πάντων τῆς Ἱερεσαλὴμ πλησιέςερος· ὅτι μέσος ἐρήμε καὶ οἰκεμένης, Ἰεδαίων τε καὶ Ἀράβων, τῶν ἐκ τε Σὴμ καὶ τῶν ἐκ τε Χάμ· ὅτι κατα τὴν θείαν Γραφὴν, τῶν ποταμῶν πάντων ὁ Ἰορδάνης, πολυτρόπως καὶ πολλάκις ἡγίασαι τοῖς τῶν ἁγίων ποσὶ, καὶ πολλὰ ἐν αὐτῷ διεπράχθη θαυμάσια· ἐπεὶ καὶ ὁ Πατριάρχης Ἀβραὰμ, καὶ ὁ Ἰσαὰκ, καὶ ὁ Ἰακὼβ, καὶ οἱ δώδεκα Πατριάρχαι, πολλάκις αὐτὸν διεπέρασαν· καὶ Ἰησες τε Ναυῆ, καὶ ὁ ἀναβὰς λαὸς ἐξ Αἰγύπτε, καὶ οἱ Προφῆται πάντες εἰς τετον ἐλέσαντο, καὶ τῇ προσψαύσει τῶν ἱματίων αὐτῶν, καὶ τῇ διαβάσει τῆς Κιβωτε, καὶ τῶν ἐν αὐτῇ τεθησαυρισμένων, καὶ ταῖς ἀπονιψαμένων ἐν τέτῳ ἁγίων πάντων χερσὶ καθηγίασαι· ἕτος τῷ τε Θεε λαῷ διαβαίνοντι αἰδοῖ τῆς Κιβωτε ἐμερίσθη, καὶ τὸν Ἠλίαν τιμῶν ὑπεχώρησε, καὶ τὸν Ἐλισσαῖον αἰδόμενος ὑπεςάλη, καὶ Νεεμὰν τὸν Σύρον ἐκάθηρε, καὶ σιδήριον ξύλῳ παραδόξως ἐκ βάθες ἀνέδωκε, καὶ δώδεκα λίθοις τὴν τῶν δώδεκα Φυλῶν διάβασιν τοῖς ἑξῆς ὑπεσήμανε. Διὰ αὐτὰ τοίνυν ταυτα, καὶ δι᾽ ἕτερα, ὁ τῶν πάντων δεσπότης ἐν αὐτῷ ἐβαπτίσατο·

σατο· ὥςε δύο ἀπόλετρα γενέϑαι τῦ Χριςῦ, τὴν ἐν Αἰγύπτῳ εἰσέτι μένεσαν τῦ βαλσάμε πηγὴν, καθ' ἣν ἔτι νήπιος ὢν παρὰ τῆς Μητρὸς ἀπελέσατο, καὶ τὰ Ἰορδάνια ῥεῖθρα πρὸς ἃ τριακοντέτης ἐλθὼν, παρὰ τῦ βαπτιςῦ λέλεται· καὶ ἵνα τὰ πλείω παρῶ τῶν ἑπομένων τοῖς εἰρημένοις, ἐπὶ τὸς ἐγκαλῦντας λοιπὸν, τὸ μηδὲν ἄξιον μνήμης ἢ ἑορτῆς γενέϑαι βαπτιζομένε Χριςῦ, (ὅπερ ἣν τὸ ἕβδομον ζήτημα αὐτῶν,) ἤδη χωρῶ.

Καὶ δὴ σκοπείτω πᾶς ὁ βελόμενος νενεχῶς, πόσα ἐν ταὐτῷ, καὶ μιᾷ ῥοπῇ χρόνε, γέγονε προφανῶς θαυμαςὰ καὶ παράδοξα, ἐν τῷ βαπτίζεϑαι τὸν Χριςὸν, αἰσθητὰ καὶ νοητὰ, καὶ ὁρατὰ καὶ ἀόρατα· ἅμα γὰρ τῷ κατελθεῖν αὐτὸν εἰς τὸ ὕδωρ πάντων ὁρώντων, καὶ τῇ αὐτῦ κορυφῇ τῦ βαπτιςῦ τὴν χεῖρὶ ἐπιχεθῆναι τὸ ὕδωρ, αὐτίκα ἡ Τριὰς ὁ Θεὸς ἡμῶν, καὶ δι' ὄψεως, καὶ δι' ἀκοῆς, τοῖς παρὰ τὸν ποταμὸν ἑςῶσιν ὄχλοις προφανῶς πεφανέρωται· ὁ Πατὴρ ἐπεφώνησεν ἀνθρωπίνῃ φωνῇ, ἐπιμαρτυρῶν τῷ Υἱῷ τὴν ὑιότητα· ὁ Υἱὸς ἑωρᾶτο τοῖς ἅπασιν ὀφθαλμοφανῶς, ἐπιμαρτυρῦντος αὐτῷ τῦ
» Προφήτε καὶ λέγοντος „ἴδε ὁ ἀμνὸς τῦ Θεῦ, ὁ αἴρων
» τῦ κόσμε τὴν ἁμαρτίαν· τὸ Πνεῦμα κατῆλθε σωματικῷ εἴδει, ὡσεὶ περιςερὰ ἐπὶ τὸν βαπτιζόμενον Ἰησῦν· οἱ ὀρανοὶ ἠνεῴχθησαν, οἱ Ἄγγελοι ὕμνησαν, ὁ βαπτιςὴς ἐθαύμασεν, οἱ λαοὶ ἔφριξαν, ἡ θάλασσα ἔφυγε, τὰ ὄρη ἐτρόμαξεν, οἱ βενοὶ ἐσκίρτησαν, ὁ Ἰορδάνης ἐςράφη, δικαιοσύνη πᾶσα πεπλήρωται, τὰ ὕδατα ἡγιάσθη, καὶ ὁ ἐν τοῖς ὕδασι κρυπτόμενος δράκων κατήργηται. Εἶτα τέτων ἔτω πραχθέντων τηλικαῦτα ἐκεῖσε, ὡς ὀδαμῦ πρὶν ἢ μετέπειτα, ἔπωτις ταῦτα σιωπήσει, ἀλλὰ διαπορήσει ζητῶν, τί ποτ' ἄρα μέγα σημεῖον ἐπράχθη βαπτιζομένε Χριςῦ; Ὥςε, ἵνα τὰ εἰρημένα κατ' ἐπιτομὴν ἀνακεφαλαιώσωμαι, καὶ πλεῖςα τεθαυματέργηται ἅμα· καὶ τῶν ποταμῶν καὶ πηγῶν εἰκότως ὁ Ἰορδάνης ἐξῄρηται· καὶ ὁ μείζων ἐν γεννητοῖς γυναικῶν ἐνδικώτατα, βαπτιςὴς τῦ Κυρίε προκέκριται· καὶ ὕδατι κατὰ λόγον ὡρίσθη καθαίρεσθαι κατὰ τὸ ὁρώμενον, καθάπερ Πνεύ-

ματι

ματι κατὰ τὸ νοέμενον· καὶ μόνες Ἑβραίες εἰς τὸ τε Ἰωάννε κληθῆναι βάπτισμα τε ὁμογενε̃ς· καὶ ὑπὸ μὴ δυναμένε συγχωρεῖν ἁμαρτίας βαπτισθῆναι τὸν Κύριον· καὶ κατὰ πολλὰ διαφέρειν τε̃ ἡμετέρε βαπτίσματος, τὸ εἰς μετάνοιαν γινόμενον ἐκεῖνο μόνον ἐκρίθη· καὶ πάντα θεοπρεπῶς καὶ θαυμαστίως τετέλεσαι σήμερον.

Καὶ δὴ λοιπὸν καὶ ἡμεῖς τε̃ μυστηρίε συνιέντες τὴν δύναμιν, ἐπεὶ τὸ βάπτισμα ὃ βεβαπτίσμεθα νήπιοι ὄντες πολυτρόπως ἐμολύναμεν, ψυχικῶς ὁμε̃ καὶ σωματικῶς, πολυτρόπως αὐτὸ ἀνακαθᾶραι σπεδάσωμεν, ψυχικῶς ὁμε̃ καὶ σωματικῶς· εἰς τε̃το γὰρ ἀνάγει καὶ νῦν τὲς προσέχοντας, καθάπερ καὶ τότε τὲς βελομένες, καὶ τὸ τε̃ Βαπτιστε̃ κήρυγμα „ μετανοεῖτε εἰσέτι βοῶντος, “ ἤγγικε γὰρ ἡ βασιλεία τῶν ἐρανῶν· καὶ ἴδε ὁ ἀμνὸς τε̃ “ Θεε̃ ὁ αἴρων τὴν ἁμαρτίαν τε̃ κόσμε· καὶ ὁ ἔχων δύο “ χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι· καὶ ἤδη δὲ καὶ ἡ ἀξί- “ νη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν ε̃ν δένδρον μὴ “ ποιε̃ν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς τὸ πῦρ βάλλε- “ ται· καὶ ποιήσατε καρπὲς ἀξίες τῆς μετανοίας· καὶ “ ὅσα τέτοις ἐφάμιλλα. Εὐλογητὸν τὸ ὄνομα Κυρίε, ὅτι “ ὅσα τῷ ἀνθρωπίνῳ γένει συνεχώρησεν ἐνοχλεῖν πάθη, τοσαῦτα καὶ πολλῷ πλείω, εἰς θεραπείαν τοῖς αἱρεμένοις τὰ φάρμακα προητοίμασεν· ἄλλῳ μὲν ε̃ν πάθει ψυχικῷ ἢ σωματικῷ, ἄλλοτι φάρμακον ἡτοίμασαι παρὰ τε̃ Θεε̃ εἰς ἐξάλειψιν, τῷ δ᾽ ἐπιγεγονότι μολυσμῷ τε̃ βαπτίσματος, τὰ κατὰ Θεὸν δάκρυα ἐξαλειπτήριον οἰκειότατον.

Διὸ τοῖς πατράσι περὶ δακρύων καὶ τάδε πεφιλοσόφηται· μεῖζον τε̃ βαπτίσματος, μετὰ τὸ βάπτισμα, ἡ τῶν δακρύων πηγὴ καθέστηκεν, εἰ καὶ τολμηρόν πως ἐστὶ τὸ λεγόμενον· διότι ἐκεῖνο τῶν προγεγονότων ἡμῖν κακῶν ἐστὶ καθαρτήριον, τε̃το δὲ τῶν μεταγενεστέρων· κἀκεῖνο μὲν νήπιοι πάντες λαμβάνοντες ἐμολύναμεν, διὰ τε̃τε δὲ κἀκεῖνο ἀνακαθαίρομεν, ὃ εἰ μὴ ἐδωρήθη ἐκ Θεε̃ τοῖς ἀνθρώποις, σπάνιοι ὄντως καὶ δυσεύρετοι οἱ σωζόμενοι. Καὶ πάλιν, ἡ νηστεία ταπεινοῖ τὸ σῶμα, ἡ ἀγρυπνία καθαρίζει

θαρίζει τὸν νοῦν, ἡ ἡσυχία φέρει τὸ πένθος, τὸ πένθος δὲ βαπτίζει τὸν ἄνθρωπον, καὶ ποιεῖ ἀναμάρτητον. Καὶ αὖθις, δύο εἰσὶ ῥύσεις ἀνυπόστατοι ἐκ τοῦ σώματος, μία πολλάκις μολύνουσα, καὶ μία ἁγιάζουσα· τουτέστιν ἡ σπορὰ, καὶ τὸ δάκρυον· καὶ ὥσπερ πᾶσα ἁμαρτία ἣν ἂν ποιήσῃ ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων ὡσανεὶ ἐκ τῆς οἰκείας σαρκὸς προσάγει θυσίαν τῷ πονηρῷ τὴν ἑαυτοῦ σπορὰν, οὕτω καὶ ὅσα ἀγαθὰ ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματος ἐστὶ, τὸ δὲ δάκρυον ἐξ αὐτῆς τῆς οὐσίας ἡμῶν προσάγεται τῷ Θεῷ, καθάπερ καὶ τὸ τῶν μαρτύρων αἷμα. Πρὸς δὲ, τὸ πρότερον βάπτισμα ἔχει τὸ ὕδωρ, τὸ ὑπογράφον τὰ δάκρυα· ἔχει τὸ μύρον τοῦ χρίσματος, προσημαῖνον τὸ νοητὸν μύρον τοῦ Πνεύματος· ἔχει τὸ ἔλαιον, τὸ δηλοῦν τὸ περὶ ἡμᾶς τοῦ Θεοῦ μέγα ἔλεος· τὸ δὲ δεύτερον οὐκ ἔστι τύπος τῆς ἀληθείας, ἀλλ' αὐτὴ ἐστὶν ἡ ἀλήθεια. Καὶ ἔτι, ὥσπερ ἡ διὰ κόσμον χαρὰ, λύπην ἔχει συγκεκληρωμένην, οὕτω τὰ κατὰ Θεὸν δάκρυα χαρὰν λαμβάνει διηνεκῆ καὶ ἀμάραντον· καθάπερ ὑετοῦ καταῤῥυέντος σφοδροῦ, αἰθρία γίνεται καθαρὰ, οὕτω καὶ δακρύων καταφερομένων, γαλήνη γίνεται καὶ εὐδία, καὶ τὸ ἐκ τῶν ἁμαρτημάτων ἀφανίζεται σκότος· ὥσπερ ἐξ ὕδατος καὶ Πνεύματος ἀναγεννώμεθα τὴν πνευματικὴν γέννησιν, οὕτως ἀπὸ δακρύων καὶ ἐξομολογήσεως, καθαιρόμεθα πάλιν.

Τούτων οὖν οὕτω λεγόντων, καὶ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν δάκρυα χέωμεν πειθόμενοι τούτοις, καὶ τὸν μετὰ τὸ βάπτισμα ἐπιγινόμενον ῥύπον ἡμῖν, ἀποκαθαίρωμεν ὁσημέραι· ἵνα καὶ τὸ τοῖς ἀπεγνωσμένοις ἐπισειόμενον πῦρ τῆς γεέννης ἐκφύγωμεν, καὶ τῆς δεξιᾶς τοῦ Χριστοῦ παραστάσεως τύχωμεν ἐν αὐτῷ, ᾧ ἡ δόξα σὺν τῷ Πατρὶ, καὶ τῷ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ

# ΛΟΓΟΣ Α.

ΠΕΡΙ

## ΤΗΣ ΜΕΛΛΟΥΣΗΣ ΚΡΙΣΕΩΣ,

ΚΑΙ

## ΤΗΣ ΑΪΔΙΟΥ ΜΑΚΑΡΙΟΤΗΤΟΣ.

Εἴρηται δὲ ἐν τοῖς ἁγίοις Ἀποστόλοις, τῇ Κυριακῇ τῆς Ἀποκρέω, συνελθόντων πολλῶν.

Ἔοικεν ὁ διδάσκαλος, ἐπ' Ἐκκλησίας ἱστάμενος, καὶ τοὺς τοῦ Θεοῦ λόγους λαλῶν, ἀνδρὶ πλουσίῳ, φέροντι ἐν τῷ οἰκείῳ κόλπῳ βαλάντιον μέγα χρυσίνων πλῆρες· οἱ δὲ ἀκροαταὶ, ὁποῖοι ἂν ὦσι, πλούσιοι, φέρε λέγειν, ἢ πένητες, προσαίταις παραπλήσιοι, πρὸς τὴν αὐτοῦ χεῖρα βλέπουσιν· ὃς καὶ λαμβάνων συνεχῶς ἐκ τοῦ κόλπου χρυσίνους, ὅσους ἂν ἡ χεὶρ περιδράξηται, ἐπιρρίπτει τῷ πλήθει, καὶ τῷ πρώτως ἁρπάσαι προθυμουμένῳ παντί.
Ὅτι δ' αὕτη οὐκ ἀπόβλητος ἡ εἰκὼν, φησὶν ὁ Χριστὸς „διὰ "
τοῦτο πᾶς Γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν "
τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκ- "
βάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. Ὅτι "
δ' ἀργυρίῳ, καὶ χρυσίῳ, καὶ λίθοις τιμίοις, καὶ μαργαρίταις παραβάλλεται τὰ λόγια τοῦ Θεοῦ, μαρτυρεῖ μὲν
καὶ αὐτὸς ὁ Κύριος πάλιν „μὴ βάλλητε λέγων τοὺς μαρ- "
γαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· μαρτυρεῖ δὲ καὶ ὁ "
θεῖος Δαυὶδ ψάλλων πῇ μὲν, τὰ λόγια Κυρίου λόγια "
„ἁγνὰ

„ ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ κεκαθα-
„ ρισμένον ἑπταπλασίως· πῇ δὲ, ὁ νόμος Κυρίου ἄμωμος ἐπι-
„ στρέφων ψυχάς, ἡ μαρτυρία Κυρίου πιστὴ σοφίζουσα νήπια,
„ τὰ δικαιώματα Κυρίου εὐθέα εὐφραίνοντα καρδίαν, ἡ ἐν-
„ τολὴ Κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς, ὁ φόβος
„ Κυρίου ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος, τὰ κρίματα Κυ-
„ ρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτὸ, ἐπιθυμητὰ
„ ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον πολύν.

Οὗτος τοίνυν ὁ μέγας ἐν Προφήταις καὶ Θεοπάτωρ, τὰ γενησόμενα ἐν ὑστέροις καιροῖς, καὶ τὰ ἐν τῇ μελλούσῃ κρίσει μάλα σαφῶς, προφητικῷ χαρίσματι, ὡς γινόμενα βλέπων, καὶ μὴ μόνον ὅσα ὁ Κύριος πράξει καθίσας εἰς κρίσιν, καὶ ὅσα τοῖς κρινομένοις ἐρεῖ τηνικαῦτα, ἀλλὰ καὶ ὅσα αὐτός τε καὶ οἱ αὐτοῦ μαθηταὶ περὶ τῆς κρίσεως προηγόρευσαν, καὶ ἐν λόγῳ πάντα ἐναργῶς συνορῶν, καὶ τῇ παλαιᾷ τὴν καινὴν σύμφωνον εἶναι δεικνὺς, καὶ Θεὸν ἕνα καὶ νομοθέτην ἀμφοτέρων ὑπάρχειν καὶ λόγοις κηρύττων, καὶ πιστούμενος πράγμασιν, ἐν τεσσαρακοστῷ
„ καὶ ἐννάτῳ ψαλμῷ, οὕτω δίεισι „ Θεὸς Θεῶν Κύριος ἐλά-
„ λησε, καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι
„ δυσμῶν· τοῦτο ταυτὸν ἐστὶ τῷ παρὰ τῷ Ἀποστόλῳ, ἐν τῷ
τῆς πρὸς Θεσσαλονικεῖς πρώτης τετάρτῳ, εἰρημένῳ „ ὅτι
„ αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου,
„ καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ
„ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ
„ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμε-
„ θα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ
„ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα· καὶ τῷ ἐν τῷ τρισκαι-
„ δεκάτῳ τοῦ Μάρκου „ καὶ τότε ἀποστελεῖ τοὺς Ἀγγέλους
„ αὐτοῦ, καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσ-
„ σάρων ἀνέμων, ἀπ' ἄκρου τῆς γῆς, ἕως ἄκρου τοῦ οὐρανοῦ·
συμφωνεῖ, δὲ καὶ τῷ εἰρημένῳ ἐν τῷ εἰκοστῷ πέμπτῳ τοῦ
„ κατὰ Ματθαῖον Εὐαγγελίου „ ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀν-
„ θρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι Ἄγγελοι
„ μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ

„ συναχ-

συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη· τὸ γὰρ " ἐλάλησε καὶ ἐκάλεσεν, ἀντὶ τοῦ σαλπίσει καὶ φωνήσει καὶ καλέσει κεῖται· ἐπεὶ παρελθοῦσι χρόνοις ἀντὶ μελλόντων οἱ Προφῆται κεχρῆσθαι εἰώθασιν· ὡς τὸ „ εἶπεν ὁ " Κύριος τῷ Κυρίῳ μου· ἀντὶ τοῦ ἐρεῖ ὁ Πατὴρ τῷ Υἱῷ μετὰ τὴν Ἀνάληψιν, κάθου ἐκ δεξιῶν μου, καὶ τὰ ἑξῆς· " καὶ οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἀντὶ τοῦ ὀφθήσεται καὶ συναναστραφήσεται, μετὰ πολλὰς γενεάς· καὶ ὅσα τούτοις ἐφάμιλλα.

Καὶ σκόπει μοι τῆς Παλαιᾶς πρὸς τὴν Καινὴν ἀκριβῆ συμφωνίαν· πῶς ὁ μὲν Δαυὶδ προφητεύει περὶ τῆς κρίσεως λέγων „ Θεὸς Θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν, τοὺς ἐν γῇ πάντας ἀνθρώπους δηλαδή, " τοὺς ζῶντας ἅμα, καὶ τοὺς νεκρούς· τοὺς ἔτι σάρκα περικειμένους, καὶ τοὺς πρόπαλαι διαλυθέντας εἰς τὸ μηδέν· ὁ δὲ Ἡσαΐας „ ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται " φησὶν οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ " γῇ· ὁ δὲ Ἀπόστολος ἀποφαίνεται „ καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, ἅμα σὺν αὐτοῖς " ἁρπαγησόμεθα ἐν νεφέλαις· ὁ δὲ Κύριος „ τότε καθίσει " ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσεται ἔμπροσθεν " αὐτοῦ πάντα τὰ ἔθνη· Θεὸν δὲ Θεῶν εἰπὼν ὁ Προφήτης, " τὸν ὄντως φύσει Θεὸν διεῖλε τῶν κατὰ χάριν Θεῶν, ὡς καὶ ἐν ἑτέρῳ Ψαλμῷ τίθησιν „ ὁ Θεὸς λέγων ἔστη ἐν συναγωγῇ Θεῶν, ἐν μέσῳ δὲ Θεοὺς διακρινεῖ· τὸ, πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά· καὶ τὸ, πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ· ταυτὸν τῷ παρὰ τῷ Ἀποστόλῳ ἐν τῷ πρώτῳ τῆς πρὸς Θεσσαλονικεῖς δευτέρας, τῷ, εἴπερ δίκαιον παρὰ τῷ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν " μεθ' ἡμῶν, ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ, μετ' Ἀγγέλων δυνάμεως αὐτοῦ, ἐν πυρὶ φλογὸς διδόντος

„ δόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεὸν· τὸ, προσκαλέσαι
„ τὸν ȣ̓ρανὸν ἄνω, ταυτὸν τῷ, καὶ πάντες οἱ ἅγιοι Ἄγ-
„ γελοι ἐλεύσονται μετ᾽ αὐτȣ̃· καὶ τὸ, ἀναγγελȣ̃σιν οἱ ȣ̓ρα-
„ νοὶ τὴν δικαιοσύνην αὐτȣ̃, ὅτι ὁ Θεὸς κριτής ἐςὶ, ταυ-
„ τὸν τῷ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ θρόνων δώδεκα, κρίνον-
„ τες τὰς δώδεκα φυλὰς τȣ̃ Ἰσραήλ· ȣ̓ρανοὶ γὰρ Κυρίȣ,
„ κατὰ τρόπον, οἱ Ἀπόςολοι λέγονται· τὸ δὲ, ἄκȣσον
„ λαός μȣ καὶ λαλήσω σοι, Ἰσραὴλ καὶ διαμαρτύρομαί σοι,
„ ταυτὸν τῷ, δεῦτε οἱ εὐλογημένοι τȣ̃ Πατρός μȣ κληρονο-
„ μήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· τὸ, ἵνα τὶ
„ ἐκδιηγῇ τὰ δικαιώματά μȣ, καὶ ἀναλαμβάνεις τὴν δια-
„ θήκην μȣ διὰ ςόματός σȣ; σὺ δὲ ἐμίσησας παιδείαν, καὶ
„ ἐξέβαλες τȣ̀ς λόγȣς μȣ εἰς τὰ ὀπίσω, ὅπερ τῷ ἁμαρ-
„ τωλῷ ἐρεῖ ὁ Θεὸς, παράλληλον τῷ „ πορεύεσθε ἀπ᾽ ἐμȣ̃
„ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον· καθάπερ ἄρα τὸ,
„ ἐλέγξω σε καὶ παραςήσω κατὰ πρόσωπόν σȣ τὰς ἁμαρ-
„ τίας σȣ, παραπλήσιον τῷ, ἐπείνασα γὰρ καὶ ȣ̓κ ἐδώκα-
„ τέ μοι φαγεῖν· ἐδίψησα, καὶ ȣ̓κ ἐποτίσατέ με· ξένος
„ ἤμην, καὶ ȣ̓ συνηγάγετέ με· γυμνὸς, καὶ ȣ̓ περιεβάλε-
„ τέ με· ἀσθενὴς, καὶ ἐν φυλακῇ, καὶ ȣ̓κ ἐπεσκέψασθέ με.
Καὶ ταῦτα μὲν δὴ τὰ τȣ̃ Κυρίȣ καὶ τȣ̃ Προφήτȣ περὶ
τῆς κρίσεως συνῳδὰ, πρός τε μετάνοιαν ἡμᾶς, καὶ
πρὸς ἀπάντησιν τῆς ἡμέρας ἐκείνης, τȣ̀ς σύνεσιν ἔχον-
τας διεγείροντα· μικρὸν δὲ ἄνωθεν τοῖς Εὐαγγελικοῖς
ῥήμασι πρόσχωμεν.

„ „Ὅταν ἔλθῃ φησὶν ὁ Υἱὸς τȣ̃ ἀνθρώπȣ· διατὶ μὴ
εἶπεν ὁ Υἱὸς τȣ̃ Θεȣ̃, ἀλλὰ τȣ̃ ἀνθρώπȣ; ἅμα μὲν πι-
ςεύμενος ὅτι μετὰ τȣ̃ σώματος ἥξει, ὅπερ καὶ οἱ Ἄγγε-
λοι τοῖς Ἀποςόλοις ἐπὶ τῇ αὐτȣ̃ Ἀναλήψει ὕςερον εἶπον
„ „ἄνδρες Γαλιλαῖοι· τὶ ἑςήκατε βλέποντες εἰς τὸν ȣ̓ρα-
„ νόν; ȣ̃τος ὁ Ἰησȣ̃ς ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τȣ̀ς ȣ̓ρα-
„ νȣ̀ς, ȣ̃τως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν, πο-
„ ρευόμενον εἰς τὸν ȣ̓ρανόν· ἅμα δὲ δεῖξαι βȣλόμενος, ὅτι
αὐτὸς ἐςὶ μόνος, ȣ̓κ ἀνθρώπȣ τȣ̃ τυχόντος Υἱὸς, ἀλλὰ
τȣ̃ ἀνθρώπȣ τῷ ὄντι, τȣ̃ ἀναμαρτήτȣ, τȣ̃ πρὸ τῆς πα-
ραβά-

ραβάσεως Ἀδάμ· ἁγίους δὲ Ἀγγέλους εἰπὼν συνελεύσεσθαι τούτῳ, διεῖλεν αὐτοὺς τῶν ἁμαρτωλῶν· εἰσὶ γὰρ καὶ ἁμαρτωλοὶ Ἄγγελοι, οὓς ὁ ἀποστατήσας πρὶν ἑωσφόρος ἠπάτησε· πάντας δὲ τοὺς ἁγίους Ἀγγέλους προειπὼν αὐτῷ ἕψεσθαι, πάντων Ἀγγέλων Κύριον ἑαυτὸν εἶναι διὰ τοῦ λόγου δείκνυσι.

Καὶ „ τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, λέγων, " κατὰ τὸ ἀνθρώπινον οὕτω φησὶ, καθὸ καὶ ἐν ἑτέροις λέγει πρὸς τὸν Πατέρα „ Πάτερ δόξασόν με τῇ δόξῃ, ᾗ εἶχον " πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί· ἐπεὶ καθὸ Θεὸς, οὐ " διέλειπε τῷ οἰκείῳ Πατρὶ συγκαθήμενος, οὐδ' ἦν καιρὸς, οὐδ' ἔσται, καθ' ὃν ἐν τῇ οἰκείᾳ δόξῃ ἐλεύσεται, ὡς δῆθεν ταύτης ἀπών· ἀλλ' ἐπεὶ κατὰ τὸ ὁρώμενον, ἄδοξός τις ἐδόκει ἐν τῇ πρώτῃ πρὸς ἡμᾶς παρουσίᾳ, προδιαγγέλλει λοιπὸν τοῖς οἰκείοις ἑαυτὸν, μὴ τοιοῦτον κἀν τῇ δευτέρᾳ ἐλεύσεσθαι, ἐπὶ δὲ θρόνου δόξης τῆς θεϊκῆς καθιεῖσθαι, οὐχ ὑφ' ἑνὸς ἔθνους ὁρώμενον, ἢ ἑνὸς Ἀγγελικοῦ τάγματος λειτουργούμενον, πρὸς δὲ πάντων Ἀγγέλων δορυφορούμενον, καὶ παρὰ πάντων ἐθνῶν προσκυνούμενον· διὸ ἐπάγει „ καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθ- " νη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν " ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων· κατὰ μὲν γὰρ " τὸν ἐνεστῶτα τοῦτον αἰῶνα, ἀναμεμιγμένοι ἀλλήλοις εἰσὶ πάντες ἄνθρωποι, καὶ οὐκ ἄντις ῥᾳδίως δυνήσηται διακρῖναι τὸν δίκαιον ἀπὸ τοῦ ἀδίκου, τὸν ἁπλοῦν ἐκ τοῦ περιέργου, καὶ τὸν σώφρονα ἐκ τοῦ ἀκολάστου· κατὰ δὲ τὸν μέλλοντα ἐκεῖνον τὸν ἀτελεύτητον, οὕτω διακριθήσονται ἀπ' ἀλλήλων, καὶ πᾶσι γνώριμοι ἔσονται πάντες ἀπό τε τῆς ὄψεως, καὶ τῆς τάξεως, καθάπερ νῦν τὰ πρόβατα φύσει διακρίνεται ἀπὸ τῶν ἐρίφων.

Σὺ δέ μοι σκόπει δύο στάσεως τόπους, τὸν ἐκ δεξιῶν καὶ τὸν ἐξ εὐωνύμων, οὐχὶ καὶ μέσον ἐν τούτοις, ὥς τινες οἴονται· καὶ δύο τάγματα μόνα, τὸ τῶν δικαίων καὶ τῶν ἁμαρτωλῶν· καὶ δύο κληρονομίας, τοῖς μὲν τὴν αἰώνιον ζωὴν, τοῖς δὲ τὴν ἀτελεύτητον κόλασιν· ἀλλ'

οὐχὶ

ἐχὶ σὺν ταύταις καὶ τρίτην τινά· καθάπερ ἄρα, ἐδὲ μέση τὶς ἀγέλη προβάτων καὶ ἐρίφων, ἢ ἐνταῦθα γινώσκεται εἶναι, ἢ ἐκεῖ παρὰ τῷ κριτῇ θρόνῳ, ἔσαι καὶ πιστεύεται. Προβάτοις δὲ τὲς δικαίες εἰκάζει, διὰ τὸ ἥμερον, καὶ πρᾶον, καὶ ἔγκαρπον· ἐρίφοις δὲ τὲς ἁμαρτωλὲς, διὰ τὸ πηδητικὸν, καὶ ἄτακτον, καὶ φιλόκρημνον· καὶ ἵνα δείξῃ ὅτι ὥσπερ ἐδὲν τῶν προβάτων ἐνταῦθα ἐκ ἂν γένοιτο ἔριφος, ἔτέ τις τῶν ἐρίφων εἰς προβάτε φύσιν μεθίσαται, ἔτω κἀκεῖσε, ἔτέ τις τῶν τὴν δεξιὰν σάσιν λαχόντων εἰς τὴν εὐώνυμον μετασήσεται, ἔτε τῶν τὴν εὐώνυμον ἀθλίως κληρωσαμένων, καὶ τῆς δεξιᾶς ἔσαι μέτοχος.

„ „Τότε ἐρεῖ ὁ Βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτῆ, δεῦτε „ οἱ εὐλογημένοι τῆ Πατρός με κληρονομήσατε τὴν ἡτοι„ μασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμε· ἐνταῦθα δείκνυσιν ἑαυτὸν προφανέστατα αἰώνιον βασιλέα εἶναι, πλὴν τῶν ἐκ δεξιῶν αὐτῆ μόνον· καὶ τῆτο δῆλον ἐξ ὧν αὐτὸς ῥητῶς δίεισι λέγων, ἡνίκα μέλλει τὲς εὐλογημένες καλεῖν „ τότε ἐρεῖ ὁ Βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτῆ μόνον δεῦτε· ὅταν δὲ πρὸς τὲς ἐξ εὐωνύμων σραφεὶς ἀποφαίνηται, σιγᾷ τῆ λέγειν ἑαυτὸν Βασιλέα· καὶ μάλα εἰκότως· Βασιλεὺς γάρ ἐσὶ τῶν σωζομένων τῷόντι καὶ Κύριος τῶν δυνάμεων, τῶν ἐρανίων δηλαδὴ, ἐ τῶν ὑποχθονίων ἐσί· συμμαρτυρεῖ με τῷ λόγῳ καὶ ὁ ἐπὶ τῆ τιμίε Σταυρῆ οἰκονομικῶς γραφεὶς τίτλος „ ἔτος ἐσὶν ὁ Βασιλεὺς τῶν Ἰεδαίων, περὶ τῆ Χρισῆ μαρτυρῶν, τὲς ἐξομολογεμένες ὑπὸ τὴν αὐτῆ βασιλείαν μόνες τετάχθαι, οἱονεὶ δακτυλοδεικτῶν· καὶ ὁμολογεμένως· μόνοι γὰρ οἱ ἐξομολογέμενοι σώζονται, τῶν δὲ μὴ τοιέτων ἐδείς· ἵνα δὲ τὸ λεγόμενον ἐκδηλότερον γένηται σκοπείτω πᾶς τις ὡδί.

Τὸ ἐξομολογεῖμαι δύο ταῦτα σημαίνειν ἴσμεν παρὰ τῇ θείᾳ Γραφῇ· τὸ εὐχαρισῶ, καθὼς φησὶν ὁ Χρισὸς „ τῷ οἰκείῳ Πατρὶ, ἐξομολογεῖμαί σοι Πάτερ Κύριε τῆ ἐρα„ νῆ καὶ τῆς γῆς· ἤγεν εὐχαρισῶ σοι· καὶ τὸ, ἐξαγορεύω,

καθὼς

καθὼς περὶ τῶν ἐρχομένων ὄχλων πρὸς τὸν Πρόδρομον γέγραπται „ὅτι ἐβαπτίζοντο ὑπ᾽ αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν· τουτέστιν ἐξαγορεύοντες· ἐπεὶ τοίνυν οὐδεὶς ἀχάριστος οὐδ᾽ ἀνεξομολόγητος σώζεται, καὶ οὐδεὶς τῶν εὐχαριστούντων, ἢ τῶν ἐξομολογουμένων ἀπόλλυται, διὰ τοῦτο τῶν ἐξομολογουμένων μόνον ὁ Χριστὸς ἐστὶ βασιλεὺς, ἐξ ὧν μόνον ὁ ἄνω κόσμος, καὶ ἡ δεξιὰ τοῦ εὐλογημένου μερὶς πληρωθήσεται. Ὅρα δὲ, ὅτι εὐλογημένους μὲν τοῦ Πατρὸς τοὺς δικαίους φησὶ, τοὺς μέντοι ἁμαρτωλοὺς ἁπλῶς λέγει κατηραμένους, οὐκ ἔκτινος, δεικνὺς ὡς οἴκοθεν ἕκαστος αὐτῶν κατάρατος γίνεται, οὐκ ἀπὸ Θεοῦ· καὶ ἀδελφοὺς τοὺς ἐκ δεξιῶν αὐτοῦ τὴν στάσιν λαχόντας πτωχοὺς ὀνομάζει, τοὺς δὲ ἐξ εὐωνύμων τῆς προσηγορίας ταύτης οὐκ ἀξιοῖ· ὅτι πολλοὶ τῶν πτωχῶν εὐχάριστοι ὄντες, τὴν οὐράνιον βασιλείαν κληρονομοῦσι, μυρίοι δὲ πενόμενοι ἄκοντες, καὶ ἀχαριστοῦντες, τῆς σωτηρίας ἐκπίπτουσιν. Ἀπὸ καταβολῆς δὲ κόσμου, ἡτοιμάσθαι τὴν βασιλείαν τοῖς εὐλογημένοις φησίν· ὅτι πάντα μὲν τἀγαθὰ παρὰ τοῦ Θεοῦ τοῖς δικαίοις ἀπ᾽ αἰῶνος ἡτοίμασται, τὸ δὲ πῦρ τὸ αἰώνιον τῷ πεπτωκότι ἐξ οὐρανοῦ ἑωσφόρῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἀφ᾽ ἧς ἡμέρας ἐξέπεσον. Καὶ ταῦτα μὲν περὶ τῆς περικοπῆς τοῦ σήμερον ἀναγνωσθέντος Εὐαγγελίου κατ᾽ ἐπιτομὴν πρὸς τὴν ὑμετέραν ἀγάπην εἰρήσθω.

Ζητεῖται δὲ περὶ τῆς ἡμέρας ἐκείνης τῆς ἀπεράντου, καὶ τῆς φοβερᾶς κρίσεως, πολλὰ μὲν καὶ ἄλλα, ἃ διελθεῖν ὁ λόγος οὗτος, ἅτε τὴν τῶν πολλῶν ἰσχὺν ὑπερβαίνοντα παρῃτήσατο· ἐξαιρέτως δὲ, τὰ πέντε ταῦτα πρὸς τοῖς τριάκοντα· ἤτοι πεντάκις ἑπτά. Πρῶτον, πότε ἔσται ἡ ἡμέρα τῆς κρίσεως; Δεύτερον, ποῦ ἔσται ἡ κρίσις; Τρίτον, πῶς αὕτη γενήσεται ἡ ἐξέτασις; Τέταρτον, ποία ἡμέρα ἔσται, καὶ ποία ὥρα τῶν καθ᾽ ἡμᾶς τοῦ ἔτους ὡρῶν ἄρξεται; Πέμπτον, εἰ διαρκέσει ἐπὶ μακρῶν χρόνων διάστημα; Ἕκτον, τί φανήσεται τὸ πρῶτον τῆς παρουσίας τοῦ Δεσπότου διάγγελμα; Ἕβδομον, εἰ ἄρα

καθιεῖ-

καθιεῖταί τις ἄλλος σὺν τέτῳ κρίνων ἡμᾶς; Ὄγδοον, τὶς ἄρα ἔςαι ἡ τάξις τῆς δεσποτικῆς ἀπαντήσεως. Ἔννατον, εἰ ἄρα καὶ ἀσεβεῖς ἅμα τοῖς εὐσεβέσι παραςήσονται τῷ Κριτῇ; Δέκατον, εἰ γνωριῦσιν ἀλλήλες ἅπαντες τότε, ἢ τυχὸν οἱ δίκαιοι μόνον; Ἑνδέκατον, πῶς πάντα τὰ πλήθη ἐκεῖνα, τὰ τὴν παράλιον ψάμμον ὑπερνικῶντα τῷ πλήθει, εἷς χῶρος χωρήσει, ὥςε πάντας, καὶ ἐνώπιες τῷ Κριτῇ παρεςάναι, καὶ ἀλλήλες ὁρᾶν; Δωδέκατον, τίνες εἰσὶν αἱ ἀνοιχθησόμεναι βίβλοι ἐκεῖναι, πρὸς ἔλεγχον τῶν ἑκάςε ἀνομημάτων; Τρισκαιδέκατον, ποίας χάριτας ἕξεσι πρὸς Θεῦ οἱ ἀναςησόμενοι δίκαιοι; Τεσσαρεσκαιδέκατον, ποταποὶ ἔσονται τὰς μορφὰς, καὶ ταῖς τῶν σωμάτων ἀναβολαῖς; Πεντεκαιδέκατον, πόσοι τόποι τῆς ἀναπαύσεως τῶν ἁγίων εἰσίν; Ἑξκαιδέκατον, εἴπερ εἰσὶ κολάσεων ἐκεῖ διαφοραὶ, καὶ ποῖαι; Ἑπτακαιδέκατον, ποῖος ἐςὶν ὁ τόπος τῆς κολάσεως; Ὀκτωκαιδέκατον, εἰ τῶν ἑπτὰ θανασίμων ἁμαρτημάτων ἐπίσης ἡ κόλασις; Ἐννεακαιδέκατον, εἴπερ πάντες οἱ ταυτὸ ποιῦντες ἁμάρτημα ἐπίσης κολάζονται; Εἰκοςὸν, εἰ μία ἡ ἀπόλαυσις τῶν τὴν αὐτὴν ἀρετὴν μετιόντων; Εἰκοςὸν πρῶτον, εἰ μιᾷ καὶ κοινῇ ἀποφάσει τὴν καταδίκην λήψονται οἱ καταδίκης ἄξιοι; ἢ κατ' ἰδίαν ἕκαςος; Εἰκοςὸν δεύτερον, εἰ ἔςαι καὶ τηνικαῦτα Τελώνια ἐν ἀέρι, καθάπερ νῦν τὰς ψυχὰς ἐξετάζοντα; Εἰκοςὸν τρίτον, εἴπερ οἱ φθάσαντες τῶν πεπλημμελημένων αὐτοῖς δῦναι δίκας ἐνταῦθα, κἀκεῖ πάλιν τίσεσιν; Εἰκοςὸν τέταρτον, εἰ πάντες οἱ κρημνισθέντες, ἢ ναυαγήσαντες, ἢ φαρμαχθέντες, ἢ βρωθέντες ὑπὸ θηρίων, διὰ ταῦτα ῥυσθήσονται τῆς κολάσεως; Εἰκοςὸν πέμπτον, εἰ διὰ ταὐτοπάθειαν κολάσεως, τοῖς ἐκεῖσε κολαζομένοις ἔςαι τὶς ἀναψυχή; Εἰκοςὸν ἕκτον, εἰ ἔςαι τινὶ τῶν τὴν πικρὰν ἀπόφασιν εἰληφότων, ἢ καὶ παραδοθέντων κολάσει, μεσιτεία παράτινος, ὥςε ἢ τὴν Δεσποτικὴν ἀπόφασιν ἀποδρᾶναι, ἢ τὴν δικαίως ἐπενεχθεῖσαν αὐτῷ κόλασιν ἐκφυγεῖν; Εἰκοςὸν ἕβδομον, εἴγε λυπεῖσθαι μέλλει τις τῶν ἁγίων, ὁρῶν τινὰς τῶν κατὰ γένος αὐτῷ προσηκόντων

ἀπαγο-

ἀπαγομένους εἰς κόλασιν; Εἰκοστὸν ὄγδοον, ποῦ ποτε νῦν αἱ ψυχαὶ τῶν ἁγίων διάγουσιν; Εἰκοστὸν ἔννατον, εἰ παραζηλώσει τὶς τινὶ τῶν τῆς δεξιᾶς μερίδος διὰ τὴν δοθεῖσαν αὐτῷ θεόθεν κληρουχίαν; Τριακοστὸν, εἰ ἔσται εἰς ἀπέραντον προκοπὴ τοῖς ἁγίοις, ἐν τῇ ἀϊδίῳ μακαριότητι; Τριακοστὸν πρῶτον, εἰ ἄρα χρήσονται γλώσσαις ἐκεῖ, μιᾷ χρήσονται μόνον, ἢ τισὶν, ἢ καὶ πάσαις; Τριακοστὸν δεύτερον, εἰ ἔσται τις μετάληψις καὶ κοινωνία, ἢ καὶ μετάδοσις τῶν ἰδίων ἀγαθῶν ἑκάστου πρὸς τὸν ἕτερον; Τριακοστὸν τρίτον, εἰ βρώσεως, ἢ πόσεως μεταλήψονται ὁπωσοῦν, ἢ τινὸς τῶν τοιούτων; Τριακοστὸν τέταρτον, εἰ πάντες αὐτοπροσώπως θεάσονται τὸν Χριστὸν, καὶ ἐπίσης ἄπιστοι καὶ πιστοὶ, ἁμαρτωλοὶ καὶ δίκαιοι, αἱρετικοὶ καὶ ὀρθόδοξοι; Καὶ ἐπὶ πᾶσι πέμπτον καὶ τριακοστόν, εἰ ἔσται τέλος κολάσεως;

Τούτων οὖν ζητουμένων παρὰ πολλῶν, ἡμεῖς μήτε πάντη σιγῆσαι πρὸς ταῦτα ᾠήθημεν δεῖν, μήτε περὶ ἑκάστου πλατύτερον ὧδε διεξελθεῖν· τὸ μὲν, τῶν τὰ ψυχωφελῆ σιγώντων δεδοικότες τὸ κρίμα, τὸ δὲ, ὅτι οὐδὲ πέντε καὶ τριάκοντα λόγοι ἀρκέσουσιν ἀκριβῶς, ταῦτ᾽ ἐπεξεργάσασθαι, καὶ ὡς χρή· καὶ ἵνα μὴ μηκύνοντες ἄλλως, εἰς ὃ φεύγοντες (*) περιπέσωμεν, Θεοῦ συναιρομένου ἡμῖν, ἤδη πρὸς τὸ πρῶτον φαμέν· Πότε μὲν ἔσται ἡ ἡμέρα τῆς κρίσεως, ὁ Χριστὸς ἡ αὐτοσοφία ἐρωτηθεὶς ἀπεκρίνατο, οὕτως εἰπὼν „ περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας, οὐδεὶς "
οἶδεν, οὐδὲ οἱ Ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ Υἱὸς, εἰμὴ ὁ "
Πατὴρ μόνος· ὅπου τοίνυν οὐδὲ οἱ ἐν τῷ οὐρανῷ Ἄγγελοι "
ἴσασι περὶ ταύτης τὸ πότε, οὐδὲ ὁ Υἱὸς, δηλαδὴ καθὸ ἄνθρωπος, (ἐπεὶ καθὸ Θεὸς πάντα οἶδεν ὅσα καὶ ὁ Πατήρ·) τὶς τολμήσει σοφίᾳ θαῤῥῶν, ἢ γνώσει ἐπαιρόμενος, ἀποφήνασθαι πότε αὕτη ἔσται ἡ ἡμέρα τῆς κρίσεως; εἰ γὰρ ἑκάστου τὸ τέλος ἄδηλον εἶναι ἡ πρόνοια ἔκρινεν, ἐπὶ σκοπῷ σωτηρίῳ, πολλῷ μᾶλλον τὴν τοῦ κόσμου συντέλειαν, ἐπ᾽ ὠφελείᾳ κοινῇ τοῖς πᾶσιν ἄγνωστον εἶναι, πανσόφως αὕτη προώρισε· καθὼς καὶ περὶ τοῦ Ζητή-

ματος τέτε, ἐν τοῖς περὶ Συντελείας πρὸς τὴν ὑμετέραν ἀγάπην λόγοις διεξοδικώτερον, καὶ σαφέστερον εἴρηται.

Διόπερ τοῖς ἐπὶ τὸ πρῶτον ῥηθεῖσιν ἀρκεσθεὶς, ἐκεῖνα φημὶ, πρὸς τὸ δεύτερον· ἔστι δὲ ἐκεῖνο, πȣ̃ ἔσαι αὕτη ἡ κρίσις, ἤτοι ἐν ποίῳ μέρει τȣ̃ κόσμȣ, ἐν τῷ ȣ̓ρανῷ ἄνω; ἐν τῷ παραδείσῳ ἴσως, ὅπȣ πρὸ τῆς παρακοῆς ὁ προπάτωρ διέτριβεν; ἢ ἐν ἀγνώστῳ τοῖς πᾶσι τόπῳ; ἢ καθὼς νομίζȣσιν οἱ τὸν κόσμον ἀπολέσθαι δοξάζοντες, ὅτι ἐν ἄλλῳ κόσμῳ τῷ τηνικαῦτα γενησομένῳ, ἀλλ' ȣ̓κ ἐν τȣ́τῳ γενήσεται; Ἐν ȣ̓δενὶ τῶν εἰρημένων· ἀλλ' ἐν Παλαιςίνῃ ἐν Ἱεροσολύμοις, ἐπὶ τὸν οἶκον τȣ̃ Δαβὶδ, ὅπȣ πλησίον ἡ κοιλὰς τȣ̃ Ἰωσαφὰτ ὀφθαλμοφανῶς τοῖς ἐφισαμένοις τῷ τόπῳ νῦν φαίνεται, δι' ἧς ὁ ποταμὸς τȣ̃ πυρὸς διελεύσεται· καὶ τȣ̃το δι' αὐτȣ̃ τȣ̃ Προφήτȣ τὸ Πνεῦμα προεῖπε τὸ ἅγιον „ Ἱερȣσαλὴμ, λέγοντος, οἰκοδομȣμένη ὡς πό-
„ λις· καὶ μετ' ὀλίγα, ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν· ἀν-
„ τὶ τȣ̃ καθίσȣσι θρόνοι ἐπὶ οἶκον Δαβίδ· ὃ καὶ ἡ ὀρθόδο-
„ ξος Ἐκκλησία προδιαγγέλλȣσα, νῦν μὲν ψάλλει „ ἐπὶ οἶ-
„ κον Δαυὶδ φόβος μέγας, ἐκεῖ γὰρ θρόνων ἐκτεθέντων
„ κριθήσονται ἅπασαι αἱ φυλαὶ τῆς γῆς καὶ γλῶσσαι· νῦν
„ δὲ μελῳδεῖ τῷ Χριςῷ, εἰς τὴν κοιλάδα τȣ̃ κλαυθμῶνος,
„ εἰς τὸν τόπον ὃν διέθȣ, ὅταν καθίσῃς ἐλεήμων τȣ̃ ποιῆσαι
„ δικαίαν κρίσιν, καὶ τὰ ἑξῆς.

Ἀλλ' ἐπὶ τὸ τρίτον ἰτέον· Πῶς αὕτη ἔσαι ἡ κρίσις; ἤγȣν τίνι τρόπῳ γενήσεται; τȣ̃το κατὰ πάντα ȣ̓δὲ Ἄγγελος δύναται λύσαι, μήτοιγε ἄνθρωπος· πλὴν ἐξ ὧν καὶ ὁ Κύριος ἐν Εὐαγγελίοις, καὶ ὁ Ἀπόσολος ἐν ἐπισολῇ προσαγγέλλȣσι, συνάγεταί τις γνῶσις, καὶ πρὸς ἑτοιμα-
„ σίαν διέγερσις τοῖς προσέχȣσιν· ὁ μὲν γάρ φησιν „ ὥσπερ
„ ἡ ἀσραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως
„ δυσμῶν, ȣ̔́τως ἔσαι καὶ ἡ παρȣσία τȣ̃ Υἱȣ̃ τȣ̃ ἀνθρώπȣ·
„ καὶ ὥσπερ ἐν ταῖς ἡμέραις ταῖς πρὸ τȣ̃ κατακλυσμȣ̃, ȣ̓κ
„ ἔγνωσαν ἕως ȣ̃ ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας·
„ ὁ δὲ, ἰδȣ̀ μυςήριον ὑμῖν λέγω· πάντες μὲν ȣ̓ κοιμηθησό-
„ μεθα, πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφ-
θαλ-

θαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. Ἵνα γοῦν ἡ τῶν ἀποῤῥήτων ἐκείνων ἀγαθῶν ἔφεσις, καὶ τῶν ἀποφράδων κολάσεων ἡ μνήμη, ὡσαύτως αὔξηται ἡμῖν, ὑπογράφομεν τῷτε λόγῳ καὶ τῇ τοῦ νοῦ θεωρίᾳ τὰ γενησόμενα τότε, καὶ πρὸς τούτοις, τῶντε ἁγίων τὰς μετὰ τὴν ἀνάστασιν ἀπολαύσεις, καὶ τῶν ἁμαρτωλῶν τὰς μετὰ τὴν κρίσιν κολάσεις, ὥστε τῶν μὲν βιασθῆναι διαδράναι τὴν πεῖραν, τῶν δὲ σπουδάσαι τῆς ἀπολαύσεως τεύξασθαι. Οἷον ὡς ἐν ὑποδείγματι λογισώμεθα καὶ σκοπῶμεν, πῶς περὶ μέσας νύκτας ἐξαίφνης, τοῦ Ἀρχαγγέλου σάλπιγγι τῇ ὑστάτῃ σαλπίσαντος, εἱλιχθήσεται μὲν ὁ οὐρανὸς ὡς βιβλίον, τουτέστιν ἐπὶ τὸ κρεῖττον ἀλλοιωθήσεται, σαλευθήσονται δὲ πᾶσαι τῶν οὐρανῶν αἱ δυνάμεις, ἤγουν οἱ Ἄγγελοι, ταραχθήσονται δὲ τὰ στοιχεῖα, σεισθήσεται ἡ γῆ, τρομάξει ἡ θάλασσα, ῥαγήσεται ἡ ἄβυσσος, δονηθήσεται τὸ πᾶν, ἀνοιγήσονται οἱ τάφοι, ἀναστήσονται οἱ νεκροὶ, ἀλλαγήσονται οἱ ζῶντες ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν, φρίξει πᾶσα τῶν δαιμόνων ἡ συμμορία καθάπαξ, σκοτισθήσεται ὁ ἥλιος, σβεσθήσεται ἡ σελήνη, καὶ τὰ ἄστρα κρυβήσεται, οὐκ ἀφανιζόμενα ἐπὶ τὸ μὴ ὂν, ἀλλὰ τὸ φῶς ἀμαυρούμενα.

Ὥρα δὲ ἔσται ἡ πρώτη τῶν τοῦ ἔτους ὡρῶν, ἵν᾽ ᾖ ὥσπερ τις κύκλος ἑπτάριθμος πᾶς ὁ πρόσκαιρος οὗτος αἰὼν, ἀπὸ τοῦ αὐτοῦ χρονικοῦ σημείου ἀρχόμενος, καὶ εἰς τὸ αὐτὸ καταλήγων· ἡμέρα δὲ ἔσται Κυριακὴ, καὶ ἑβδόμη τῆς νυκτὸς ὥρα, καθ᾽ ἣν καὶ Χριστὸς ὁ πρωτότοκος τῶν νεκρῶν, ἐκ τῶν νεκρῶν ἀνέστη τριήμερος· μαρτυρία τούτων, ὅτι ἑβδομάδος ἡμερῶν ἡ Κυριακὴ πρώτη, καὶ τῶν ἐν τῇ κοσμογενείᾳ γραφομένων ἑπτὰ, καὶ πασῶν τῶν ἔκτοτε μέχρις αἰῶνος ἡμερῶν καὶ νυκτῶν· καὶ αὖ τοῦ ἡμερονυκτίου παντὸς, καὶ πάσης ἐπιούσης ἡμέρας, ἡ τῆς νυκτὸς ἑβδόμη ὥρα, κατὰ τὴν χρονικὴν κίνησιν καὶ περίοδον, ἐστὶν ἀρχή· ὅθεν καὶ μέση νυκτὸς, καὶ τέλος παντὸς τοῦ παριππεύσαντος ἔτους, καὶ ἀρχὴ τοῦ ἐπιόντος ἐστί. Διὸ καὶ τὸν

νυμφίον τῶν ψυχῶν καὶ δεσπότην, μέσον νυκτῶν προσδοκῶμεν ἐλεύσεσθαι, ἢ τὴν ἑπταχῶς κυκλουμένην καὶ ῥέουσαν κίνησιν τοῦ λυομένου αἰῶνος εἰς ἑπτὰ καταλῆξαι, καὶ τὴν ἄληκτον ἐκείνην, καὶ ἄῤῥευστον ὀγδόην, τὴν αὐτὴν καὶ πρώτην οὖσαν μετὰ τὴν ἑβδόμην αὐτίκα ἐνάρξασθαι· καθ' ὃν λόγον καὶ ἑπτὰ μὲν τὸν παρόντα βίον, ὀκτὼ δὲ τὸν μέλλοντα πάντα, πρὸς τῆς Γραφῆς ἀκούω λεγόμενον· καὶ περὶ μὲν τοῦ τετάρτου, ταῦθ' ἱκανά.

Περὶ δὲ τοῦ πέμπτου, ὅτι διαρκέσει ἡ κρίσις ἐπὶ μακρὸν διάστημα χρόνου, καὶ οὐκ αὐτίκα διαλυθήσεται φανέντος Χριστοῦ, ὁ μέγας Βασίλειος ἐν τοῖς Ἠθικοῖς δείκνυ-
„ σι γράφων „ ὅταν μέλλῃς ἐπί τινα ὁρμᾷν ἁμαρτίαν, ἐν-
„ νόησόν μοι ἐκεῖνο τὸ φρικτὸν καὶ ἀνύποιστον τοῦ Χριστοῦ δικα-
„ στήριον, ἐν ᾧ προκαθέζεται μὲν ἐπὶ θρόνου τινὸς ὑψηλοῦ καὶ
„ ἐπηρμένου ὁ κριτής, παρέστηκε δὲ πᾶσα ἡ κτίσις, ὑποτρέ-
„ μουσα τὴν ἐπιφάνειαν αὐτοῦ τὴν ἔνδοξον· παράγεσθαι δὲ
„ μέλλομεν φησὶ καθ' ἕνα εἰς ἐξέτασιν τῶν βεβιωμένων ἡμῖν·
ἀκούεις; παράγεσθαι μέλλομεν φησὶ καθ' ἕνα, τοῦτο δὲ πολλοῦ χρόνου παρέκτασιν ἐλπίζειν δίδωσιν· ἐννόησον γὰρ πόσαι μυριάδες ἁμαρτωλῶν καθ' ἕνα ἐξεταζόμενοι, καὶ καθ' ἓν εἶδος ἁμαρτήματος, καὶ παντὸς λόγου, καὶ νοήματος, καὶ πάσης πράξεως ἰδίως καὶ καθ' ἑαυτὸν πάντων ἐνώπιον διδοὺς λόγον ἕκαστος, πόσος ὁ μεταξὺ παραῤῥυήσεται χρόνος; εἰ μήτις, ἢ τὸ ἄῤῥευστον τοῦ τηλικαῦτα χρόνου, ἀμερὲς λέγων εἶναι ἅτε ἀπέραντον, ἢ ἀπεράντου μέρος, οὐδοπωσοῦν πρὸς τὸ ὅλον ποσοῦτινος λόγον ἔχειν ἐρεῖ· ἢ τὸ οὕτως ἕκαστον τῶν κρινομένων καθ' ἑαυτὸν κρίνεσθαι, ὡς ἂν εἰ μηδεὶς τούτῳ συγκατεκρίνετο· ἀλλὰ μόνος αὐτὸς εὐθύνας ἐδίδου, καὶ παρὰ Θεοῦ, καὶ ἀγγέλων, καὶ ἁγίων, καὶ ἁμαρτωλῶν κατεκρίνετο· εἰ δὲ δεῖ τι καὶ παράδοξον εἰπεῖν, ἐμοὶ δοκεῖ, πᾶσα ἡ ἀνέσπερος ἐκείνη ἡμέρα, κρίσις εἶναι ἀπέραντος τοῖς ἁμαρτωλοῖς· οἷς γὰρ καὶ ἡ καταδίκη, καὶ ἡ αἰσχύνη ἐστὶν ἀτελεύτητος, πῶς οὐ δι' ὅλου κριθήσονται οἱ ταύτης ὑπεύθυνοι;

Περὶ

Περὶ μέντοι τοῦ ἕκτου φαμὲν, ὅτι πρῶτος πάντων φανήσεται τότε ὁ τοῦ Κυρίου Σταυρὸς ἀπ' οὐρανοῦ καταβαίνων, λάμπων ὑπὲρ τὸν ἥλιον· τοῦτο δὲ ἔσται, ὅτι καὶ τοῖς Δαίμοσι τοῦτο τὸ σημεῖον φρικτὸν, καὶ τοῖς Ἰουδαίοις φοβερὸν, καὶ τοῖς χριστιανοῖς περιπόθητον. Ὥσπερ γὰρ βασιλέως μέλλοντος εἰσελαύνειν εἰς πόλιν, ἢ κατὰ τυράννου στρατεύεσθαι, ἢ κατὰ τῶν αὐτῷ ἀπειθέντων χωρεῖν, σημαία προφαίνεται, καὶ τῆς τάξεως αὐτοῦ προηγουμένη, καὶ τῶν δυνάμεων, οὕτω καὶ τοῦ Κυρίου εἰς τὴν γῆν κατιόντος, τὸ δεσποτικὸν καὶ θεῖον σημεῖον ἡγήσεται ὁ Σταυρὸς, ὅπερ ἰδόντες χριστιανοὶ μὲν κροτήσουσιν, ἄπιστοι βρύξουσι μέγα, Ἑβραῖοι τακήσονται, δαίμονες φρίξουσι, καὶ ὁ τούτων πρωτοστάτης, καὶ τρομάξει, καὶ ἐκστήσεται, καὶ πεσεῖται πρηνής· μόνος δὲ τότε σκιρτήσει ὁ μετὰ τῆς ὀρθῆς πίστεως ἐνδεδυμένος τὴν ἀρετήν.

Πρὸς δὲ τὸ ἕβδομον ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι οὐδεὶς ἀνθρώπων σύνεδρος ἔσται Χριστῷ· ὥστε οὐδὲ Ἀγγέλων, οὐδέ τις ἄλλη φύσις κτιστή· ἄπαγε! εἰ γὰρ καὶ τοῖς Ἀποστόλοις εἴρηται παρὰ τοῦ δεσπότου „ τότε καθίσεσθε ὑμεῖς ἐπὶ δώδεκα θρόνοις κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ· καὶ Δαυὶδ καὶ Δανιὴλ οἱ προφῆται„ θρόνους τεθείσεσθε λέγουσι· καὶ πρὸς τῶν ζωγράφων οἱ Ἀπόστολοι ἐπὶ δώδεκα θρόνων διατυποῦνται καθήμενοι ἐν τῇ κρίσει μετὰ Χριστοῦ· ἀλλὰ τὸ πάγιον καὶ μόνιμον καὶ ἑδραῖον τῆς τούτων δόξης, ὁ λόγος αἰνίττεται· μόνος δ' ἄρα ὁ Κύριος οἷον ἐξ ὄρους τῶν Ἐλαιῶν ἀνελήφθη, καὶ οἷος νῦν κάθηται ἐν δεξιᾷ τῆς μεγαλοσύνης, τοτηνικαῦτα καθιεῖται κριτὴς, ἄνθρωπος κρίνων ἀνθρώπους, περιγραπτὸς τοὺς περιγραπτοὺς, καὶ τοὺς ὁρωμένους ὁρώμενος· ἐπεὶ κατὰ τὸ ἀπερίγραπτον, καὶ ἀόρατον, καὶ ὁ Πατὴρ τούτῳ σύνεδρος καὶ ἦν καὶ ἔσται, καὶ ὁ Παράκλητος.

Ἔσται δὲ καὶ ὑπάντησις, ὅπερ ἐστὶ τὸ ἐν τοῖς ζητήμασι τούτοις ὄγδοον, οὐχ ὡς τύχοι, ἀλλὰ σὺν τάξει ἁγίοις πρεπούσῃ τοῖς ὑπαντῶσι τῷ τῶν ὅλων Θεῷ. Αὐτίκα γὰρ τῶν προπατόρων ὁ χορὸς, κορυφαῖον ἔχων Ἀδὰμ τὸν γε-

νάρχην, πρῶτος ὑπαντήσει τῷ φοβερῷ Κριτῇ· μετὰ τοῦτον, ὁ τῶν Ἀποστόλων θίασος, καὶ μετ' αὐτὸν εὐθὺς ὁ τῶν Μαρτύρων δῆμος· εἶτα Προφητῶν ὁ ἔνθεος κύκλος, καὶ ἐχόμενον τούτου, τὸ τῶν Ἱεραρχῶν ἄθροισμα· στῖφος ἕψεται τὸ τῶν ὁσίων μετέπειτα, ἀκόλουθον ἔχον τὸ τῶν δικαίων πλῆθος αὐτῷ· μεθ' ὃ ἡ τῶν ἁγίων γυναικῶν χορεία, στιχηδὸν ἑπομένη συναπαντήσει τοῖς πᾶσι Χριστῷ, καὶ περιηχήσει τοῖς τῶν πάντων ὕμνοις, πᾶς ὁ περίγειος
„ ἀὴρ λιγυρὸν, τῶν μὲν λεγόντων, εὐλογημένη ἡ δόξα ἡ
„ ἐκπορευομένη ἐκ τοῦ ἁγίου τόπου αὐτῆς· τῶν δὲ, ὑμνούντων,
„ ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαὼθ, πλήρης ὁ οὐρα-
„ νὸς καὶ ἡ γῆ τῆς δόξης σου· ἄλλων βοώντων δόξα ἐν ὑψί-
„ στοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία·
„ καὶ τῶν μὲν ψαλλόντων, τὸ, Ἀλληλούϊα, τῶν δὲ διακε-
„ λευομένων, δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βα-
„ σιλεῖ ἡμῶν Χριστῷ· καὶ τῶν μὲν ἀλλήλους διεγειρόντων πρὸς
„ τὴν ἀνεκλάλητον ἀγαλλίασιν ἐν τῷ λέγειν, δεῦτε ἀγαλ-
„ λιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι
„ ἡμῶν· τῶν δὲ ᾀδόντων, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνό-
„ ματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Ἀλλὰ ταῦ-
τα μὲν ἡμεῖς λέγομεν ἄνθρωποι ὄντες, καὶ ἀνθρώπινα διαλεγόμενοι, οὕτω τότε γενέσθαι, ὑπὲρ δὲ ταῦτα, καὶ ὡς οὐκ ἂν νοῦς ἐφίκοιτο, καὶ ἡ ἀπάντησις ἔσται τοῖς δούλοις πρὸς τὸν δεσπότην καὶ τὰ λοιπά.

Ὅμως καὶ πρὸς τὸ ἔνατον λέγομεν, ὅτι καὶ οἱ ἀσεβεῖς ἀναστήσονται, καὶ παραστήσονται τῷ Κριτῇ, καὶ οἱ αἱρετικοὶ πάντες, καὶ οἱ ἁμαρτωλοὶ, καὶ οἱ δαίμονες· καὶ μάρτυς αὐτὸς ὁ κρίνων πᾶσαν πνοὴν, νῦν μὲν λέγων
„ „ ὅτι συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη·
„ νῦν δὲ, καὶ κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς· καὶ ὁ Προ-
„ φήτης, ὄψονται (οἱ Ἰουδαῖοι δηλονότι) εἰς ὃν ἐξεκέντησαν·
„ καὶ ὁ Ἀπόστολος, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γό-
„ νυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων,
„ καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χρι-
„ στὸς εἰς δόξαν Θεοῦ Πατρὸς ἀμήν. Εἰ γοῦν οἱ Σταυρώσαν-

τες

τες Ἑβραῖοι παραστήσονται τότε, πολλῷ μᾶλλον τὰ λοι-
πὰ τῶν ἐθνῶν· τοῦτο γὰρ δίδωσι νοεῖν, καὶ τὸ, πᾶν γό-
νυ κάμψει· οὐ προσίσαται δὲ τούτῳ, τὸ „ οὐκ ἀναστήσονται
ἀσεβεῖς ἐν κρίσει· ἐπεὶ πρὸς ἄλλον νοῦν ἀφορᾷ, τουτέστιν
οὐ παῤῥησίαν ἕξουσιν, ὥσπερ ἐνταῦθα, κατεξανίσασθαι
τῶν δικαίων.

Ἀλλὰ καὶ περὶ τοῦ δεκάτου φαμὲν, ὅτι γνωριοῦμεν
καὶ πάντες ἀλλήλους, καὶ τοὺς εἰς τὰ τῆς οἰκουμένης ἄκρα,
τοὺς πρὸ ἡμῶν γεννηθέντας, τοὺς μετὰ ταῦτα, καὶ τοὺς
ὅτε ἐζῶμεν βιώσαντας, πάντας γνωρίσομεν ἀκριβῶς·
ἤτοι ὅθεν, καὶ τίνες, καὶ τίνων, καὶ πότε, καὶ πῶς βε-
βιώκασιν· ἔτι δὲ Ἀγγέλους τε, καὶ ἁγίους, καὶ πάντας
ὁμοῦ, καὶ ἕκαστον ἰδίως, οὐκ ἀναμένοντες ἑρμηνέα, ἀλλ᾽
οἴκοθεν πάντας γινώσκοντες, οὐκ ἐν ὀλίγῳ χρόνου, ἀλλ᾽
εἰς αἰῶνας ἀπείρους αὐτοὺς καὶ τὰ αὐτῶν ἐπιστάμενοι· οἱ
δίκαιοι τοὺς δικαίους, καθάπερ τὸν πτωχὸν Λάζαρον ὁ
ἅγιος Ἀβραάμ· οἱ ἁμαρτωλοὶ τοὺς ἁμαρτωλοὺς, ὡς ὁ
ἐν τῇ φλογὶ πλούσιος τοὺς πέντε ἀδελφοὺς αὐτοῦ, καὶ τὰ
ἐκείνων πάντα· οἱ δίκαιοι τοὺς ἁμαρτωλοὺς, καθὼς ἐν τῇ
σοφίᾳ φησὶ Σολομὼν „ τότε στήσεται ὁ δίκαιος ἐν παῤῥησίᾳ “
πολλῇ κατὰ πρόσωπον τῶν θλιψάντων αὐτὸν, καὶ ἀθε- “
τησάντων τοὺς πόνους αὐτοῦ· καὶ οἱ ἁμαρτωλοὶ τοὺς δι- “
καίους γνωρίσουσι· καὶ δηλοῖ τὰ ἑξῆς· οὗτος ἐστὶ λέγοντες, “
ὃν ἔχομεν ποτὲ εἰς γέλωτα, καὶ εἰς ὀνειδισμὸν οἱ ἄφρονες. “
Ὥστε οἱ πάντες τοὺς πάντας, καὶ τὰ τῶν πάντων ἀρι-
δήλως γνωρίσουσι· μακάριοι οὖν οἱ τῶν ἀγαθῶν ἐργάται,
ὅτι τοσούτους ἕξουσιν ἐπαινέτας, ἐπευφραινόμενοι ἐν τοῖς
ἔργοις αὐτῶν· οἱ μέντοι ἁμαρτωλοὶ καὶ διὰ τοῦτο ἄθλιοι,
ὅτι ὁ γνωρισμὸς ἐκεῖνος εἰς μείζονα αἰσχύνην καὶ ὀνει-
δισμὸν αὐτοῖς ἔσται, κἂν ἐν ὥρᾳ τῆς κρίσεως μόνον αὐτοῖς
οὗτος γένηται.

Χωρήσει δὲ καὶ πάντας εἰς χῶρος, ὅπερ ζητεῖ τὸ
ἑνδέκατον· διὰ τὸ ἄφθαρτον τῶν σωμάτων, καὶ τὸ τῆς
λεπτότητος αὐτῶν ὑπερβάλλον· ἄφθαρτον γὰρ ὑπὸ ἀφ-
θάρτου, κατὰ τοπικὴν στάσιν, ἢ δίοδον παρεμποδίζεται

οὐδαμῶς· ἀλλὰ καὶ λεπτότητος τοιαύτης τὰ σώματα τῶν ἀναστησομένων μετὰ τὴν ἀνάστασιν ἐμμοιρήσει, ὥστε καὶ διὰ σωμάτων φθαρτῶν, μήτοιγε δι᾽ ἀφθάρτων, ἀκωλύτως διέρχεσθαι, ὡς καὶ τὸ τοῦ Δεσπότου σῶμα ἐσφραγισμένου τοῦ τάφου, καὶ κεκλεισμένων τῶν θυρῶν, μετὰ τὴν ἀνάστασιν διελθεῖν ὁπωσοῦν οὐ κεκώλυται· καὶ καθάπερ νῦν, οὐδὲν τοὺς ἀπείρους νόας ἀπείργει, εἰς μικρόν τινα τόπον τοὺς πάντας περιγραφῆναι καὶ μένειν, εἴτε ὡρισμένον διάστημα χρόνου, εἴτε μυρία ἔτη· οὐδεὶς γὰρ νοῦς παρ᾽ ἑτέρου νοὸς στενοχωρεῖται τῇ τοῦ τόπου βραχύτητι, ἀλλ᾽ ὡς αὐτὸς μόνος ἐγχωριάζων ἐν τούτῳ διήκει ὅπου καὶ βούλεται, οὕτω καὶ πάντες οἱ ἀναστησόμενοι τότε οὐδαμῶς ὑπ᾽ ἀλλήλων τοῖς σώμασι στενοχωρηθήσονται, τοῦ παραστῆναι εἰς ἕνα τόπον τῷ βήματι τοῦ Χριστοῦ.

Ἀνοιχθήσονται δὲ βίβλοι αἱ νῦν κεκλεισμέναι, ὅπερ ἐστὶ τὸ ἑκάστου συνειδὸς, κατεξανιστάμενον αὐτοῦ ἀποτόμως, καὶ ἀσύγγνωστα πλῆττον τὸν πταίσαντα· ὅτι καὶ ἀγγέλων, καὶ ἁγίων, καὶ στοιχείων διδασκόντων ἡμᾶς τὸ τοῦ Θεοῦ θέλημα, τῶν μὲν τῇ ὄψει, τῶν δὲ τῷ λόγῳ, παρηκούσαμεν πάντων, καὶ αὐτοῦ τοῦ Θεοῦ· καὶ ὅτι οὐ μόνον ὑπὲρ τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ ὑπὲρ τῶν χαρισμάτων, ὧντε ἄνωθεν ἔχομεν κοινῇ παρ᾽ αὐτοῦ, καὶ ὧν ἕκαστος ἰδίως ἐπλούτησε, λόγον δοῦναι χρεών· καὶ ὅτι συνείδησιν ἀρχῆθεν λαβόντες, ἔλεγχον ἀπότομον τῆς κακίας, καὶ ἀδέκαστον κριτήριον ἀνομίας, οὐδὲ συνιέναι κἂν ἠνεχόμεθα, τίνος χάριν εἰς τὸ εἶναι παρήχθημεν, καὶ οἷος κόσμος ἡμᾶς ἀπεκδέχεται· διὰ ταῦτα αἵτε πράξεις παρὰ πάντων ἐλέγχονται, καὶ οἱ λόγοι ἐτάζονται, καὶ διάνοιαι, καὶ ἐνθυμήσεις, φανεραὶ καὶ λανθάνουσαι κρίνονται, τοῦ φύλακος τῆς ἑνὸς ἑκάστου ψυχῆς Ἀγγέλου, καὶ πάντων τῶν πρός τινός τι παθόντων ἀνθρώπων ἐλεγχόντων παῤῥησίᾳ πολλῇ καὶ ἀναιδῆ τοὺς πταίσαντας· μᾶλλον δ᾽ αὐτῶν τῶν πραγμάτων φαινομένων ὡς πέπρακται· καὶ ἀρνεῖσθαι οὐκ ἔνι ἀληθείας ἐλεγχούσης, καὶ δειλίας κατεχούσης, καὶ ἀνενδότου βίας στενοχωρούσης πάντοθεν.

Ἀλλ᾽

Ἀλλ᾽ ἐπὶ τὸ τρισκαιδέκατον λοιπὸν ἰτέον. Ἕξεσι δὲ καὶ χάριτας οἱ ἀνασησόμενοι πρὸ τῆς τῶν ἀγαθῶν ἀπολαύσεως δίκαιοι, πέντε τινάς· λεπτότητα, ἐλαφρότητα, λαμπρότητα, γνῶσιν ἀδίδακτον, καὶ διόρασιν· ὧν ἡ μὲν λεπτότης προείρηται, ἐλαφρίας δὲ τοιαύτης μεθέξεσιν, ὥσε καὶ εἰς ἀέρα ῥαδίως κεφίζεσθαι· ἰῶ καὶ ὁ Θεῖος Παῦλος αἰνίττεται λέγων „ ἁρπαγησόμεθα ἐν νεφέλαις “ εἰς ἀπάντησιν τε Κυρίε εἰς ἀέρα· λαμπρότητί γεμιῶ “ περιασραφθήσονται τοῖς προσώποις καὶ τοῖς σώμασιν ὅλοις δι᾽ ὅλε τοσαύτῃ, τε τῆς δικαιοσύνης ἡλίε αὐτοῖς ἐπιλάμποντος, ὡς ἐξιτεσθαι ταύτῃ καὶ ταῖς τε ἡλίε πάσαις ἀκτῖσι· καὶ ταύτιω προεῖπεν ὁ Κύριος „ τότε λέγων οἱ δίκαιοι λάμψεσιν ὡς ὁ ἥλιος· θεωρίαν δὲ τῶν ὄντων τελειοτέραν ἧς ποτὲ εἶχον, καὶ διόρασιν τοιαύτιω ἕξεσιν ἑπομένιω, μεσότητος ἁπάσης ἀρθείσης ἐκ μέσε, καὶ παντὸς ἐπικαλύμματος καὶ προβλήματος μηδὲν παρεμποδίσαι ἰσχύοντος· ἣ δὲ φησὶ Παῦλος, πρόσωπον πρὸς πρόσωπον ἐμφανέσατα καὶ Θεὸν, καὶ ἑαυτὲς, καὶ ἀλλήλες, καὶ πάνθ᾽ ὡς ἔχει λόγε καὶ φύσεως ἐπιγνώσονται.

Τὰς δὲ μορφὰς καὶ ἀναβολὰς, τὸ τεσσαρεσκαιδέκατον λέγω, θεοειδεῖς καὶ ἐράνιοι ἔσονται, καὶ τὸ Χρισε σχῆμα οἷον καὶ ἦθος, ἐν ἑαυτοῖς ἀκριβεσάτῃ μιμήσει ἀναφαίρετον ἔχοντες· ἐδὲ γὰρ ὁ μὲν μελάγχρες ἔσαι, ὁ δὲ ξανθὸς τιὼ μορφιώ· ἢ ὁ μὲν καλὸς καὶ μέγας, ὁ δ᾽ ἀκαλλὴς καὶ βραχύς· ἢ ὁ μὲν λευκὰ, ὁδὲ πιναρὰ ἐνημμένος ἱμάτια· ἀλλὰ πάντες ἴσοι τὰ πάντα· κἂν ὁ μὲν πλείονος παῤῥησίας μεθέξει, ὁ δὲ ἐ τοσαύτης παρὰ Θεῷ.

Πρὸς δὲ τὸ πεντεκαιδέκατον ἤδη λέγομεν, ὅτι ἔσονται, μᾶλλον δὲ καὶ ἀπὸ καταβολῆς κόσμε προητοιμάσθησαν, καὶ νιῶ εἰσὶ τόποι τῆς ἀναπαύσεως τῶν ἁγίων, ἐξαίρετον μὲν αὐτοῖς ἐνδιαίτημα ἡ ἄνω Ἱερεσαλὴμ, ὁ ἐρανὸς ἅπας, καὶ τὰ ὑπὲρ αὐτόν· εἶτα καὶ τῆς τρυφῆς τὸ χωρίον, ἡ Ἐδὲμ, δηλαδὴ ὁ παράδεισος, ὅπε πρῶτος διῆγε πρὸ τῆς παραβάσεως ὁ πρωτόπλασος· ἔπειτα καὶ πᾶς ὁ περίγειος κόσμος, ὁ νιῶ μὲν τῇ φθορᾷ ὑποκείμε-

νος, τηνικαῦτα δὲ γενησόμενος ἄφθαρτος. Πλὴν ἔσαιτις καὶ ἑκάσῳ ἰδιαιτάτη μερίς· διὸ καὶ ὁ Κύριος εἴρηκεν, ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου πολλαὶ μοναὶ εἰσί· καὶ πολλοῖς τῶν ἁγίων ἐν ὀπτασίαις ὡράθησαν, πολυτελῶν οἰκημάτων ἐκεῖσε καλασκευαὶ τοὺς ἑαυτῶν κλήτορας ἐπιμένουσαι.

Τοσαῦται δὲ καὶ κολάσεων ἔσονται τοῖς ἁμαρτωλοῖς αἱ διαφοραὶ, (ὅπερ ἤδη λυθῆναι τὸ ἑξκαιδέκατον βούλεται) ὅσαι καὶ τῶν ἁμαρτημάτων αὐτοῖς διακρίσεις εὑρίσκονται· ὡς γὰρ διαφέρει προδήλως τοῦ ἀσεβοῦς ὁ αἱρετικὸς, καὶ τοῦ σχισματικοῦ ὁ παρασυνάγωγος, διαφέρει δὲ καὶ μοιχὸς κλέπτου, καὶ φονεὺς ἅρπαγος, καὶ ἁπλῶς ὅσα πάθη ψυχῆς καὶ σώματος, καὶ ὅσαι τούτων ἰδέαι, τοσαῦτα καὶ κολάσεων εἴδη, καὶ τῶν κολαζομένων εἰσὶν αἱ διαφοραί· καὶ καθάπερ ἐπὶ τῶν σωματικῶν καὶ ψυχικῶν παθημάτων, ἄλλην κόλασιν βλέπομεν ὑπομένοντα τὸν πυρέττοντα, καὶ ἄλλην τὸν ἐλεφαντιῶντα, ἄλλην τὸν ὀργιζόμενον, καὶ ἄλλην τὸν μεθύοντα, οὕτω καὶ ἐπὶ τῶν ταῖς αἰωνίαις περιπιπτόντων εὐθύναις συμβαίνειν ἀκόλουθον· ἑτέραν ὑποσήσεται τιμωρίαν ὁ βραχὺν χρόνον ἐπιμείνας τῇ ἁμαρτίᾳ, καὶ ὁ διὰ βίου παντὸς ἁμαρτάνων ἑτέραν, ἄλλην ὁ μόνον ἑαυτὸν ἀπολέσας, καὶ ἄλλην ὁ καὶ πολλοῖς ἀπωλείας γινόμενος αἴτιος.

Πρὸς μέντοι τὸ ἑπτακαιδέκατον ἐκεῖνο ἔσιν εἰπεῖν, ὅτι τόπος τῆς κολάσεως οὔτε ὁ ᾅδης ἐσὶν, οὔτε τοῦ παντὸς τοῦδε τοῦ κόσμου μέρος, ἀλλὰ καὶ τῆς ἀνάσρου σφαίρας ἐκτὸς ἔσαι ἡ γέεννα· καὶ μαρτυρεῖ ὁ τὴν γλῶτταν χρυσοῦς ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Ῥωμαίους ἐπισολῆς λέγων ῥητῶς οὑτωσὶ „ καὶ ἐν ποίῳ χωρίῳ αὕτη ἔσαι ἡ γέεννα; τί σοι τοῦτο μέλει; τὸ γὰρ ζητούμενον δεῖξαι, ὅτι ἐσὶν, οὐ ποῦ τεταμίευται; καὶ ἐν ποίῳ χωρίῳ; ἀλλ' ἐν ποίῳ τόπῳ φησίν; ἔξωπου ἔγωγε οἶμαι τοῦ κόσμου τούτου παντός· καθάπερ γὰρ τῶν βασιλέων τὰ δεσμωτήρια, καὶ τὰ μέταλλα, πόῤῥω διέσηκεν, οὕτω δὴ καὶ τῆς οἰκουμένης ταύτης ἔξωπου ἔσαι ἡ γέεννα· μὴ τοίνυν ζητῶμεν ποῦ ἐσὶν αὕτη; ἀλλὰ πῶς αὐτὴν φύγωμεν;

Καὶ

Καὶ πρὸς τὸ ὀκτωκαιδέκατον δὲ ῥητέον· ἔςι δὲ, εἰ τῶν ἑπτὰ θανασίμων ἁμαρτημάτων ἐπίσης ἡ κόλασις; ἤγἐν γαςριμαργίας, πορνείας, φιλαργυρίας, ὀργῆς, λύπης, ἀκηδίας, κενοδοξίας; ὅπερ ἡ λύσις ἐκ τῶν ἤδη ῥηθέντων προχειροτάτη, καὶ σύντομος· εἰ γὰρ κλέπτε πρὸς κλέπτίω κἀνταῦθα κἀκεῖσε διάφορος ἡ κόλασις, καὶ ἀδίκε πρὸς ἄδικον, καὶ ἑνὶ λόγῳ, τῶν τὸ αὐτὸ πραξάντων ἁμάρτημα, πολλὴ καὶ ἀπὸ γένες, καὶ ἀπὸ προσώπε, καὶ ἀπὸ πράξεως, καὶ ἀπὸ ἡλικίας, καὶ ἀπὸ ἀξιώματος, καὶ ἐκ πολλῶν ἄλλων μεγάλη τῷόντι δείκνυται ἡ διαφορὰ, πολλῷ μᾶλλον γαςριμάργε πρὸς πόρνον, καὶ φιλαργύρε πρὸς ὀργίλον, καὶ λυπηρε͂ πρὸς ὀκνηρὸν, καὶ κενοδόξε πρὸς ὑπερήφανον, μεγάλη κολάσεως ἔςαι διαφορά· ἐδὲ γὰρ τολμήσει τις λέγειν, βάρος ἔχων νε͂ καὶ φρενῶν, ὅτι οἱ τὸ αὐτὸ καὶ ἓν ἁμάρτημα διαφόρως ποιἔντες, ἀδιαφόρως κολαθήσονται· εἰ δὲ τἔτο πᾶς τις ἐρεῖ, πολλῷ μᾶλλον τὸ κατὰ πάντα διάφορον πρᾶγμα ἐφάμαρτον ὂν, τοῖς πράττἐσι τἔτο διαφέρεσαν προξενήσει τίω κόλασιν.

Ἀλλ' ἐμοὶ μὲν ἀρξαμένῳ τε͂ λόγε πρόθεσις ἦν πάνθ' ὅσα ἐπηγγειλάμίω ζητήματα πρὸς τίω ὑμετέραν ἀγάπίω τήμερον διελθεῖν· ὃ χάριν τα ἤδη ῥηθέντα ἐπιτομώτερον εἴρηται· ἐπεὶ δὲ συνορῶ τῶν ῥηθησομένων τὸ πλῆθος, καὶ τίω ἐφ' ἡμῖν φωνίω ἀμαυρε͂ν, καὶ ὑμῶν ἀμβλύνον τὸ πρόθυμον, ταμιεύσαθαι κρίνω τὰ λοιπὰ εἰς δευτέραν ἀκρόασιν· ἐκεῖνο παρακαλέσας ὑμᾶς τῆς ἡμέρας ἐκείνης μεμνῆθαι δι' ὅλε, καὶ τὰ ἀγαθὰ προορᾶν, καὶ τὰς ἐκεῖσε κολάσεις φαντάζεθαι, καὶ περὶ ταύτης ἀεὶ ἀχολεῖθαι τῆς ὥρας, καὶ ἑτοιμάζεθαι πρὸς τίω ἀπάντησιν τε͂ δεσπότε Χριςε͂, καὶ εὐτρεπίζεθαι ὡς παραςησομένες τῷ φοβερῷ καὶ ἀλαθήτῳ κριτῇ· κἂν γε͂ν ἐν κλίνῃ ἀνάκειθε, κἂν ἐν Ἐκκλησίᾳ ἵςαθε, κἂν ἐν ὁδῷ περιπατεῖτε, κἂν ἐν τραπέζῃ κάθηθε, κἂν ὁτιε͂ν ἐργάζηθε, τὰ μέλλοντα ἐκεῖνα, πῶς πάντα ἕκαςον ἔςαι λογίζεθε· πῶς εἰσαγομένε ἑκάςε ἁμαρτωλε͂ γυμνε͂ ἐπὶ πάντων, τετραχηλισμένε, κατηχυμένε καὶ κατηφε͂ς, ὁ

Πατὴρ,

Πατὴρ, οὐκ ἀδελφὸς, οὐ μήτηρ, οὐ συγγενὴς, οὐ φίλος, οὐ τέχνη, οὐ σπουδὴ, οὐ δῶρα, οὐ ῥήτωρ, οὐ σοφὸς ἐκεῖ, οὐ δόξα, οὐ πλοῦτος, οὐ ῥώμη σώματος, οὐ μέγεθος ἀξιώματος, οὐ σοφία, οὐ φρόνησις, οὐκ ἄλλο τι τῶν ἀνθρωπίνων, ψυχῇ βοηθῆσαι δύναται· ὅτι καὶ ἄρχων καὶ ἀρχόμενος, καὶ βασιλεὺς καὶ προσαίτης, μικρός τε καὶ μέγας, ἀξία πᾶσα καὶ ἡλικία, πᾶν γένος καὶ πᾶν ἐπιτήδευμα, ἐν ταυτῷ σταθήσονται.

Λογίζεσθε διὰ παντὸς, πῶς τότε φωνῇ ἱλαρᾷ, γλυκεῖα τε καὶ προσηνεστάτη ἐρεῖ τοῖς δικαίοις ὁ Κύριος ,, δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· καὶ αὐτίκα πορεύσονται μετ᾽ αὐτοῦ ἐν χαρᾷ καὶ ἀγαλλιάσει ἀνεκλαλήτῳ, ὅπου τὸ ἐνδιαίτημα τῶν Ἀγγέλων, τὸ τοῦ ἀδύτου φωτὸς χωρίον, ἡ ἄνω Ἱερουσαλὴμ, ἡ ἐλευθέρα Μητρόπολις, ἡ χώρα τῶν ζώντων, τῆς εὐκοσμίας τὸ τέμενος, ἡ φωνὴ τῆς ἀγαλλιάσεως, τῆς ἐξομολογήσεως ἡ ᾠδὴ, καὶ ὁ ἦχος τῶν ἑορταζόντων ἀπέραντα· καὶ συνέσονται τοῦ λοιποῦ τῷ Κυρίῳ, πάντων ἀγαθῶν ἀπολαύοντες. καὶ αὐτοῦ τοῦ Χριστοῦ· αὐτὸς γὰρ ἐστὶ τῶν ἐφετῶν τὸ ἀκρότατον· καὶ μέμνησθε πάντοτε, πῶς οἱ ἁμαρτωλοὶ μετὰ τὸ ἀκοῦσαι ,, πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· διὰ στενοχωρίαν πνεύματος, χωριζόμενοι τοῦ Θεοῦ, καὶ τῶν ἁγίων Ἀγγέλων, καὶ τῶν ἁγίων, καὶ τῶν οἰκείων, καὶ τῶν φιλτάτων αὐτῶν, καὶ παντὸς τοῦδε τοῦ κόσμου, καὶ παντὸς ἀγαθοῦ, οὕτω κόψονται πικρῶς, καὶ κλαύσονται ὀδυνηρῶς, καὶ ὀλολύξουσι μέγα, ὡς καὶ τὴν κοιλάδα τοῦ κλαυθμῶνος περιηχῆσαι, καὶ οὐρανοῦ μέχρι τὴν φωνὴν διαβῆναι, καὶ τούτοις πᾶσαν τὴν κτίσιν συνθρηνῆσαι δοκεῖν· πῶς κληρονομήσουσι, φεῦ! τὸ χάος καὶ τὴν ἀπώλειαν, τῆς θείας δόξης τὴν στέρησιν, τὴν τοῦ Θεοῦ ἀγανάκτησιν, τὴν τῶν ὁμογενῶν ἀλλοτρίωσιν, τὴν μετὰ τῶν δαιμόνων καταδίκην, τὸ σκότος τὸ ἐξώτερον, τὰ ἄλυτα δεσμὰ, τὸν τάρταρον, τὸν βρυγμὸν

τῶν

τῶν ὀδόντων, τὸν ἀκοίμητον σκώληκα, τὴν δυσωδίαν καὶ τὴν στενοχωρίαν, τὸν ἀπαράκλητον θρῆνον, καὶ τὰς ἀνακλήσεις καὶ οἰμωγὰς, τὸ ἄβαλε! τὸ φεῦ! τὸ οἴμοι! τὸ οὐαί! τοὺς στεναγμοὺς τοὺς ἀνωφελεῖς, τὰ ἀνενέργητα δάκρυα, τοὺς πυριφλεγέθοντας ποταμοὺς, τὸ τῆς γεέννης πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τ' ἄλλα δεινὰ, ἃ μηδέποτε πέρας ἐνδέχεται· καὶ ἐπὶ πᾶσι τῶν πῦρ βλεπόντων, καὶ νυκτὶ ἐοικότων δαιμόνων τὰ πρόσωπα, τοὺς φόβους, τὰς ἀφορήτους ὀδύνας, τὰ βάραθρα, τοὺς πικροτάτους ὀνειδισμοὺς, καὶ αἰσχύνην τὴν ἀτελεύτητον. Ταῦτα τοίνυν ἅπαντα, καὶ τὰ τοιαῦτα ἐνθυμούμενοι ὁσημέραι, τὴν ζωὴν ἡμῶν διευθύνωμεν, ἵν' ἢ τῷ φόβῳ τῶν δεινῶν, ἢ τῶν ἀγαθῶν τῷ πόθῳ, εὐαρεστήσαντες τῷ μέλλοντι πάντα ἐτάζειν Χριστῷ, σωτηρίας τευξώμεθα.

Ἀλλὰ πῶς τοὺς πολλοὺς νουθετοῦσα ψυχή μου, σεαυτὴν ἀγνοεῖς; ἐλθὲ λοιπὸν εἰς συναίσθησιν· συνάγαγέ σου τὸν νοῦν· μνήσθητι ἡμέρας θανάτου· ἴδε τότε τοῦ σώματος τὴν νέκρωσιν· ἐννόει τὴν συμφορὰν· λάβε τὸν πόνον· καταγνώσθητι τῆς ἐν τῷ κόσμῳ τούτῳ ματαιότητος, τῆς ἀνωφελοῦς καὶ ἐπιβλαβοῦς· μνήσθητι καὶ τῆς ἐν τῷ ᾅδῃ καταστάσεως· λογίζου τὸ πῶς ἄρα ἐκεῖ εἰσὶν αἱ ψυχαὶ ἐν πικροτάτῃ στενοχωρίᾳ, καὶ ἀπαύστῳ ὀδύνῃ, καὶ δεινῇ περιστάσει, καὶ ἀπαρακλήτῳ κλαυθμῷ· ἀλλὰ καὶ τῶν γενησομένων ἐν ἡμέρᾳ τῆς κρίσεως μέμνησο· πῶς οἱ μὲν τῶν ἁγίων τὰς τῶν ἰδίων αὐχένων τομὰς, οἱ δὲ τὰς τῶν μελῶν ἀφαιρέσεις, οἱ δὲ τὰς μαστιγώσεις τοῦ σώματος, οἱ δὲ τὰς τῶν οἰκείων αἱμάτων ἐκχύσεις, οἱ δὲ τοὺς αἰσχίστους καὶ βιαίους θανάτους, καὶ πάνθ' ὅσα διὰ Θεὸν ἐκαρτέρησαν, εἰς ἴδιον ἔπαινον καὶ στεφάνων ἀμοιβὴν ἐπιδείξονται· σὺ δὲ ἀθλία, οὐδὲν μὲν ἔχεις τοιοῦτον ἐνδείξασθαι· ἐξ ὧν δὲ τὸν ἀπαθῆ παρώξυνας ἔργων μυρία· πόση ἔσεσθαι τότε κατηγορία; πόση αἰσχύνη; πόση κατάκρισις; Ἡνίκα τρυφερεύόμεναι κόραι, καὶ μήπω τὸν δωδεκαετῆ χρόνον τῆς ἡλικίας ἀμείψασαι, τῷ Χριστῷ παραστήσονται μετὰ φαιδρῶν τῶν λαμπάδων, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀνδρικώτα-

κώτατα μέχρις αἵματος ἔστησαν, αὐτὴ δ' ὑπερβᾶσα τὰ πεντήκοντα ἔτη, σπουδαῖον οὐδὲν, οὐδὲ γενναῖον ἐπιδείξασθαι ἴσχυσας; πόθεν οὖν ἕξεις τινὰ παῤῥησίαν; πόθεν ἔσται σοι ἔλεος;

Μετὰ δὲ πάντων λογίζου, ἐν ποίῳ τρόπῳ καὶ τίνι σκοπῷ ἐκτίσθης παρὰ Θεοῦ; ἀλλ' οἴμοι τί πέπονθα ὁ τάλας ἐγώ! πῶς βασιλεὺς ἐκτίσθην, καὶ δοῦλος τοῖς πάθεσι τῇ ἀφροσύνῃ μου γέγονα! φεῦ τῆς ἐμῆς ἀπωλείας, τί ἐμαυτῷ προεξένησα! πῶς ἀντὶ τῆς ζωῆς τὸν θάνατον ἐπεσπασάμην τῇ ἀβουλίᾳ μου! τί ἀπώλεσα, καὶ τί εὗρον! ἀντὶ τοῦ παραδείσου, τὸν φθαρτὸν τοῦτον κόσμον! ἀντὶ τοῦ Θεοῦ καὶ τῆς μετ' Ἀγγέλων διαγωγῆς, τὸν πονηρὸν καὶ τοὺς δαίμονας! ἀντὶ τῆς ἀναπαύσεως τὸν πόνον! ἀντὶ τῆς ἀπολαύσεως καὶ τῆς χαρᾶς, τὴν τοῦ κόσμου θλίψιν καὶ λύπην! ἀντὶ τῆς εἰρήνης καὶ τῆς ἀλήκτου εὐφροσύνης, τὸν φόβον καὶ τὰ ἐπίπονα δάκρυα! ἀντὶ τῶν ἀρετῶν καὶ τῆς δικαιοσύνης, τὰς ἀδικίας καὶ τὰς ἁμαρτίας! ἀντὶ τῆς ἀγαθότητος καὶ τῆς ἀπαθείας, τὴν πονηρίαν καὶ τὰ πάθη! ἀντὶ τῆς γνώσεως καὶ τῆς πρὸς τὸν Θεὸν οἰκειότητος, τὴν ἄγνοιαν καὶ τὴν ἐξορίαν! ἀντὶ τῆς ἀμεριμνίας καὶ ἐλευθερίας, τὴν πολυμέριμνον ζωὴν καὶ κακίστην δουλείαν! οἴμοι! τίς εἰμί! τίς μετ' ὀλίγον ἔσομαι! τί ἄρα ἔσται μοι ἐπ' ἐσχάτων; ἢ τὸ τοῖς πᾶσιν ἐσόμενον, τίς ἀκριβῶς ἐπίσταται; τοῦτο σαφῶς οἶδα· πολλὰ ἥμαρτον, πολλὰ εὐεργετοῦμαι, πολλὰ ἀσθενῶ· οἱ πειρασμοὶ πολλοὶ, ἡ ῥαθυμία πλείστη, ἡ λήθη σκοτίζει με· ἡ ἄγνοια κακὸν, ἡ ἐν γνώσει παράβασις χεῖρον· ἡ ἀρετὴ δυσκατόρθωτος, τὰ πάθη πολλὰ, οἱ δαίμονες πανοῦργοι, ἡ ἁμαρτία πρόχειρος, ὁ θάνατος ἐγγὺς, ἐγὼ ἀσθενὴς, τὸ λογοθέσιον πικρὸν, ἐπὶ θύραις ἡ κρίσις, ἑτοίμη ἡ κόλασις· ποῦ φύγω ἀπ' ἐμαυτοῦ, ἐπεὶ αὐτὸς εἰμὶ τῆς ἐμῆς ἀπωλείας αἴτιος; οἱ ἄγγελοι καὶ ἀγαπῶσί με ἅπαντες, καὶ φυλάττουσιν· οἱ ἄνθρωποι τὴν σωτηρίαν μου θέλουσιν· οἱ δαίμονες οὐ δύνανταί βιάσασθαί με μὴ θέλοντα ἀπολέ-

λέσθαι· οὐδεὶς οὖν ἐςὶ τῆς ἐμῆς κολάσεως αἴτιος, εἰμὴ μόνος ἐγώ· οἴμοι ψυχήμου ἀθλία! ψυχήμου ταπεινή! ψυχὴ ταλαίπωρε! ἀμετανόητε ψυχή! ὀψέποτε μνήσθητι, ποῦ αἱ συνθῆκαι τοῦ βαπτίσματος; ποῦ ἡ τῶν ἐντολῶν φυλακή; ποῦ ἡ μίμησις τοῦ Χριςοῦ, δι' ἧς χριςανὸς ἐκλήθης; ποῦ τὸ ἐπάγγελμα τοῦ μοναδικοῦ σχήματος; ποῦ ἡ ἀγάπη, ἡ ταπείνωσις, ἡ ὑπακοὴ, ἡ ἐγκράτεια; ποῦ αἱ λοιπαὶ ἀρεταί; πόσα καλὰ ὁ Θεός μοι ἐποίησε, καὶ πόσα δεινὰ ἡ ἀγνωμοσύνημου ἐνεδείξατο, καὶ ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ! ἀεὶ παροργίζω τὸν εὐεργέτηνμου· καὶ ὅσον ἐκεῖνος μακροθυμεῖ, τοσοῦτον ἐγὼ καταφρονῶ ὁ ἀχάριςος· τὴν κόλασιν γινώσκω, καὶ μετανοεῖν οὐ βούλομαι· τὴν βασιλείαν ἀγαπῶ, καὶ ἀρετὴν οὐ κέκτημαι· εἰς τὸν Θεὸν πιςεύω, καὶ τῶν ἐντολῶν αὐτοῦ παρακούω ἀεί· ὁ δεσπότης παρακαλεῖ, κἀγὼ ἀναβάλλομαι· καὶ ἔχων καιρὸν μετανοίας, ἀναισθητῶ· „τὶς δώσει τῇ κεφαλῇ μου ὕδωρ «
καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων; τίς με θρηνήσει «
ἐπάξιον, ἐπειδὴ ἐγὼ τοῦτο ποιῆσαι οὐ βούλομαι; ἐν ῥαθυμίᾳ καὶ μετεωρισμῷ παρῆλθον τὰς ἡμέρας μου, καὶ ἐν λογισμοῖς ῥυπαροῖς ἐτέλεσα τὰ ἔτημου· πῶς ἐκλάπησαν, οὐκ ἐνόησα· καὶ πῶς παρῆλθον, οὐκ ᾐσθόμην· αἱ ἡμέραιμου ἐξέλιπον, καὶ αἱ ἀνομίαι μου ἐπληθύνθησαν· οἴμοι! τὶ ἄρα μέλλω ποιῆσαι ἐν τῷ καιρῷ τοῦ θανάτου, ὅταν κυκλώσωσι τὴν ψυχήν μου οἱ πικροὶ τῶν ἡμαρτημένων ἐξετας αἱ, τὰ πεπραγμένα μοι δεινὰ ἐγγράφως κατέχοντες, καὶ ὠμῶς με ἐλέγχοντες; οἴμοι! τὶς γένωμαι; τὶ ποιήσω τὴν αἰσχύνην τῆς ὥρας ἐκείνης; ὅταν περιςῶσι κύκλωθεν οἱ γνωςοίμου, οἱ ποτὲ θεωροῦντές με ἐν τῷ σχήματι τούτῳ τῆς εὐλαβείας καὶ μακαρίζοντες, ἐγὼ δὲ ἔσωθεν ἤμην πλήρης ἀνομίας, καὶ ὑποκρίσεως; ποίοις ποσὶ παραςήσομαι τῷ δεσπότῃ; ποίοις ὄμμασι πρὸς αὐτὸν ἀτενίσω; ποίοις ῥήμασι χρήσομαι; ἐμνήσθην τῆς ἡμέρας ἐκείνης, καὶ ἐτρόμαξα· ἐλογισάμην τὴν παράςασιν ταύτην, καὶ ἔφριξα· κατενόησα εἰς τὴν φρικτὴν κρίσιν, καὶ ἐπτοήθην· Κύριε βοήθει μοι, καὶ μὴ ἐάσῃς τὸ πλάσμασου

μασου ἀπολέσθαι, ὅτι σοὶ μόνῳ μέλει περὶ ἐμοῦ· Χριστέ-μου, Θεέ μου Φιλάνθρωπε, ἀγαθὲ, ὁ δι' ἐμὲ ἐν σταυρῷ τὰς ἀχράντους σου χεῖρας ἁπλώσας, ἵνα τῶν τοῦ τυράννου χειρῶν ἐξαρπάσῃς με· εἰς τοὺς οἰκτιρμούς σου ὁρκίζω σε, μὴ στήσῃς με τότε ἐξ εὐωνύμων σου· ἀλλὰ τοῖς πάθεσί σου τὰ πάθημά μου θεράπευσον, καὶ δός μοι κειμένῳ χεῖρα, διὰ τὸ αἷμα ἐκεῖνο τὸ φρικτὸν καὶ ὑπέρτιμον, τὸ ἐκ τῆς θείας πλευρᾶς σου χυθὲν δι' ἐμέ· μὴ εἴποις μοι οὐκ οἶδά σε· δὸς δὲ κἀμοὶ διὰ τὸ τῆς σῆς εὐσπλαγχνίας ὑπέραντλον πέλαγος, τῆς, δεῦτε οἱ εὐλογημένοι ἀκοῦσαι φωνῆς, καὶ σωτηρίας τυχεῖν· ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα μόνου, σὺν τῷ ἀνάρχῳ Πατρί σου εἰς τοὺς αἰῶνας μετὰ τοῦ Πνεύματος. Ἀμήν! Ἀμήν! Ἀμήν!

## ΤΟΥ ΑΥΤΟΥ
# ΛΟΓΟΣ Β.
## ΠΕΡΙ ΤΗΣ
# ΜΕΛΛΟΥΣΗΣ ΚΡΙΣΕΩΣ.
### Καὶ τῆς αἰδίου Μακαριότητος, ῥηθεὶς καὶ αὐτὸς ἐν τοῖς ἁγίοις Ἀποστόλοις, μετὰ ἑβδόμην ἡμέραν τῆς τοῦ πρώτου ἐκδόσεως.

Τὰ λείψανα τῶν ζητημάτων ἅπερ τῇ ὑμετέρᾳ θεοφιλίᾳ ἔναγχος ἐταμιευσάμην, σήμερον ὑμῖν παραθεῖναι χρεών· λείψανα πλὴν ἀκούσαντες, τῶν ἤδη μεταληφθέντων, μήτε τῷ χρόνῳ ἀλλοιωθῆναι, μήτε τῷ πλήθει ἐλάττονα εἶναι, τῶν ῥηθέντων πρὸς ὑμᾶς τηνικαῦτα νομίσητε· ἀλλ᾽ ὥσπερ ἐπὶ τῶν τρυγηθεισῶν ὀπωρῶν ἀπὸ δένδρου, αἱ μετὰ τρίτην ἡμέραν ἐκεῖθεν τρυγώμεναι, καὶ τῷ μεγέθει καὶ τῷ κάλλει καὶ τῇ ποιότητι, τῶν προληφθεισῶν ὀλίγον, ἢ οὐδὲν διαφέρουσι· καὶ ὥσπερ ἐπὶ θησαυροῦ ἀνεκλείπτου, καὶ ὁ σήμερον ἐκεῖθεν ὅσον θέλει λαμβάνων, τῷ πρότριτα λαβόντι ἐπίσης πλουτεῖ· καὶ ὥσπερ ἐπὶ τῶν ἀενάων ποταμῶν καὶ πηγῶν, καὶ ὁ νῦν ἀρυόμενος καὶ πίνων ἡδέως, τῷ πρὸ ὀλίγου ἀρυσαμένῳ ὡσαύτως κορέννυται· οὕτω καὶ πολλῷ μᾶλλον ἐπὶ τῆς διδασκαλίας γίνεται τῆς πνευματικῆς· καὶ τὸ ῥηθὲν ἅγιον, καὶ τὸ ταμιευθὲν ὅσιον· καὶ ὃ λελάληται ηὔφρανε τοὺς παρόντας μεταληφθέν, καὶ ὃ ἐπήγγελται λαληθῆναι, τοὺς ἀκουσομένους ταῖς ἐλπίσιν ἐφέλκεται· μόνον διεγείρωμεν ἑαυτοὺς ἐπὶ τὴν ἀκρόασιν, μόνον προσέ-

χωμεν τοῖς λεγομένοις ὡς χρή. Ταῦτα καὶ πρὸς ἐμὲ λέγω, οὐχὶ πρὸς μόνους ὑμᾶς· ὅτι ὁ λαλῶν τὴν ἀλήθειαν, ὀφείλει καὶ αὐτὸς, ὡς παρὰ Θεοῦ λαμβάνων τὰ ῥήματα, συνακροᾶσθαι τοῖς ἀκούουσιν αὐτοῦ· ἡ γὰρ ἀλήθεια οὔτε τῶν ἀκροωμένων ἐστὶν, οὔτε τοῦ λαλοῦντος, ἀλλὰ τοῦ ἐνεργοῦντος τὰ σωτήρια μόνου Θεοῦ· οὕτω δὲ χρὴ καὶ λέγειν καὶ ἀκροᾶσθαι τὸν περὶ τοῦ Θεοῦ μυστηρίων λόγον, ὡς ἐπὶ Θεοῦ, καὶ μάλιστα τὸν διὰ ζώσης φωνῆς ἀμέσως χαριζόμενον τοῖς ἀκούουσιν· οὐ γὰρ οὕτω πέφυκε δυσωπεῖν ἐναργῶς ὁ γραφόμενος· πολλὰ γὰρ δεῖ εἰπεῖν, πολλὰ ἀντακοῦσαι, καὶ λύσαι τὰ ὑποπίπτοντα, καὶ ἀνθυπενεγκεῖν τὰ ὑφορμῶντα· ὧν οὐδὲν δύναται ὁ γεγραμμένος, ἀργὸς καὶ ἄψυχος ἐν τῷ χάρτῃ κείμενος λόγος· ἂν δὲ καὶ τῶν ἀκουόντων ἴδῃ τὸ πρόθυμον ὁ Θεὸς, τηνικαῦτα καὶ τῷ λέγοντι δύναμιν δίδωσι, καὶ τοῖς τῶν λόγων ἀκούουσι σύνεσιν· τῷ μὲν εἰπεῖν ἄριστα, τοῖς δὲ κατ' ἀκρίβειαν συνιέναι, τῶν λεγομένων τὸν νοῦν· καὶ τρίτον πρὸς τούτοις, καὶ τούτοις κἀκείνῳ ἔργοις πληρῶσαι τὸν σκοπὸν, δι' ὃν πάντα καὶ λέγεται καὶ ἀκούεται. Ὅτι τρία τινὰ σώζει τὸν ἄνθρωπον, ἢ ἀπόλλυσι· νόημα, λόγος, καὶ πρᾶξις· πρῶτον γὰρ νοοῦμεν, εἶτα λέγομεν, ἔπειτα πράττομεν· ἐπεὶ τοίνυν ὁδὸς, ἐπὶ μὲν τὸ σώζεσθαι ἢ ἀπόλλυσθαι τὰ ἔργα, ἐπὶ δὲ τὸ οὕτω πως πράττειν ἢ ἄλλως οἱ λόγοι διδάσκαλοι, ἐπὶ δὲ τὸ λέγειν ἀρίστως ἢ φαύλως τὰ καλῶς ἢ μὴ καλῶς νοηθέντα παιδαγωγοὶ, δεῖ λοιπὸν πείθεσθαι τοῖς ἀληθέσι τῶν λόγων, εἴγε μὴ μέλλοιμεν πάντῃ σωτηρίας ἀποτυχεῖν. Ὥσπερ γὰρ ἵππου τὸ χρεμετίζειν, καὶ τὸ ὑλακτεῖν κυνὸς, καὶ βοὸς τὸ μυκᾶσθαι, καὶ τὸ ὠρύεσθαι λέοντος, οὕτω καὶ ἀνθρώπου τὸ λέγειν καὶ ἀκούειν τὰ δέοντα, καὶ ὁ λόγος αὐτός· τοῦτο γὰρ ἔρυμα, καὶ περίβλημα, καὶ πανοπλίαν, καὶ τεῖχος, τοῦτὶ τὸ θεοφιλέστατον ζῶον ὁ ἄνθρωπος ἐκ πάντων ἴδιον ἔχει. Ἀλλ' ὅτι μὲν χρὴ προσεχόντως ἀκούειν, τό γε νῦν ἔχον, καὶ ταῦθ' ἱκανά· ἐπὶ δὲ τὰ ἐπηγγελμένα τῶν Ζητημάτων ὑμῖν ἰτέον.

Ποῖον

Ποῖον οὖν ζήτημα πρῶτον ἐκ τῶν ὑπεσχημένων ἐπιλυθῆναι ἡμῖν ὑπολέλειπται; ἐκεῖνο τὸ κατὰ τὴν τάξιν ἐννεακαιδέκατον· εἰ πάντες οἱ τὸ αὐτὸ ποιοῦντες ἁμάρτημα ἐπίσης κολασθήσονται; Καὶ δὴ λέγομεν, ὀκτὼ τρόποι τῆς ἁμαρτίας εἰσί· πρῶτος ἄνοια, ὡς Νάβαλ ἥμαρτεν ὁ Καρμήλιος· δεύτερος ἀπάτη, ὡς ἡ Εὔα ἐν παραδείσῳ· τρίτος συναρπαγὴ, ὡς Πέτρος ὁ Ἀπόστολος· τέταρτος λήθη, ὡς ὁ ἅγιος Μωϋσῆς, μὴ ἁγιάσας τὸν Θεὸν ἐπὶ τῇ πέτρᾳ· πέμπτος τυραννὶς, ὡς ὁ Δαρεῖος, ἄκων ἐκδοὺς τοῖς Ἀσσυρίοις τὸν Δανιήλ· ἕκτος ἀπιστία, ὡς ἡ γυνὴ τοῦ Λώτ· ἕβδομος καταφρόνησις, ὡς ὁ Γιεζῆ κατεφρόνησεν Ἐλισσαίου· καὶ ὄγδοος ἡ πονηρὰ διάθεσις, ὡς οἱ Φαρισαῖοι κρύπτοντες τὴν τοῦ Κυρίου ἀνάστασιν. Εἰ δὴ ὀκτὼ εἰσὶ τρόποι τῆς ἁμαρτίας οὗτοι, ἐν δὲ πᾶσι τοῖς ἁμαρτανομένοις οὐ μόνον ὁ τρόπος ζητεῖται, ἀλλὰ πρὸ τούτου τὸ εἶδος τοῦ ἁμαρτήματος, καὶ ἡ αἰτία, καὶ ἡ γνώμη, καὶ τὸ ἀξίωμα, καὶ πολλὰ μετὰ τούτων, πῶς εἰκὸς τοὺς τὰ αὐτὰ ποιοῦντας ἁμαρτήματα ἐπίσης κολάζεσθαι; ἢ τίς κριτὴς ὑγιαίνων τὰς φρένας ἐπίσης κρινεῖ Ῥωμαῖον καὶ Σκύθην, τὸ αὐτὸ ἁμαρτήσαντας; ἢ τὸν τὴν ἡλικίαν προβεβηκότα, καὶ νεανίσκον; ἢ Μοναχὸν, καὶ κοσμικόν; ἢ τὸν ἑκουσίως φονεύσαντα, καὶ τὸν ἀκουσίως; ἢ τὸν ἐκ συναρπαγῆς, καὶ τὸν ἐκ μελέτης παρανομήσαντα;

Ἀλλ' ὃν τρόπον οἱ τὸ αὐτὸ ποιοῦντες ἁμάρτημα, οὐκ ἐπίσης πάντες τὰς εὐθύνας διδόασιν, οὕτως οὐδὲ μία ἡ ἀπόλαυσις ἔσται τῶν τὴν αὐτὴν ἀρετὴν μετιόντων, ὅπερ λυθῆναι ζητεῖ τὸ εἰκοστὸν ζήτημα. Διότι ὥσπερ ἐπὶ τῶν ἁμαρτανόντων προσώπων, καὶ ἐπὶ τῶν παρ' αὐτῶν γινομένων ἁμαρτημάτων, οὕτω καὶ ἐπὶ τῶν σπουδαζόντων σωθῆναι, καὶ τῶν παρ' αὐτοῖς πραττομένων, πολλὴ τῆς ἀντιδόσεως ἔσται διαφορά· διὸ καθάπερ ἐκεῖ γέεννα ἠπείληται, καὶ σκότος, καὶ σκώληξ, καὶ ὀδόντων βρυγμὸς, καὶ τάρταρος, καὶ δεσμὰ, καὶ κλαυθμός· οὕτω κἀνταῦθα βασιλεία ἐπήγγελται, καὶ οὐρανὸς, καὶ νέα Ἱερουσαλὴμ, καὶ παράδεισος, καὶ χαρὰ ἀνεκλάλητος, καὶ

φῶς ἀνέσπερον, καὶ τὰ ἀγαθὰ, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη ποτέ· κἂν γὰρ καὶ πάντες οἱ ἁμαρτωλοὶ τοῦ Θεοῦ χωρισθήσονται, ἀλλ᾽ οὐκ ἐπίσης ἐκεῖ κολασθήσονται· ὥσπερ ὁ Ἀδὰμ, καὶ ἡ Εὔα, καὶ ὁ ὄφις, πάντες μὲν ἐδέξαντο παρὰ Θεοῦ τῆς ἁμαρτίας τὴν ἀμοιβὴν, διαφορᾷ δὲ πολλῇ τὴν κατάραν ἐκληρώσαντο, οὕτω καὶ ἐν τοῖς υἱοῖς αὐτῶν, ἑκάστῳ κατὰ τὴν πρόθεσιν αὐτοῦ, καὶ τὸν πόθον τὸν εἰς τὴν ἁμαρτίαν, οὕτω καὶ τὸ σφοδρὸν τῆς κολάσεως· ὡσαύτως δὲ συνιδεῖν ἐστὶ καὶ ἐπὶ τῶν δικαίων, ὅτι κἂν πάντες οἱ ἅγιοι κληρονομήσουσι τὴν ἀσάλευτον βασιλείαν, οὐ πάντες αὐτῆς ἐπίσης ἔσονται μέτοχοι· ἀλλ᾽ ὥσπερ τινὲς λαμπάδες πολλαὶ, ἐν ἐλαίῳ, καὶ ἐν ἀναφθεῖσαι πυρὶ, οὐκ ἴσῳ τῷ μέτρῳ τὴν τοῦ πυρὸς αὐγὴν ἀφιᾶσι, πρὸς δὲ τὸ πλῆθος τοῦ ἐλαίου, καὶ τῆς θρυαλλίδος τὸ μέγεθος, οὕτω καὶ τὰ χαρίσματα τῶν ἐκ διαφόρων κατορθωμάτων, διάφορον ἔχει καὶ τὴν αὐγὴν τοῦ ἀγαθοῦ Πνεύματος· ἢ ὥσπερ ἐν πόλει μιᾷ, πολλῶν ὄντων καὶ τὴν αὐτὴν οἰκούντων, ἐν τε ἄρτῳ, καὶ ἐν χρωμένων ὕδατι, οἱ μὲν αὐτῶν ἄνδρες, οἱ δὲ νήπιοι, οἱ δὲ νέοι σφριγῶντες εἰσὶν, οἱ δὲ γέροντες, καὶ πολὺ τὸ παραλλάττον ἐν αὐτοῖς καὶ διάφορον· ἢ ὥσπερ σῖτος ἐν μιᾷ καὶ τῇ αὐτῇ χώρᾳ κατεσπαρμένος, διαφόρους δήπου καὶ τοὺς ἀστάχυας ἐπιδίδωσιν, ἐν μέντοι τῇ ἅλῳ συνάγεται, καὶ τῇ αὐτῇ ἀποθήκῃ ἐναποτίθεται· οὕτως οἶμαι κἀν τῇ τῶν νεκρῶν ἀναστάσει, διαφορὰν δόξης τῶν ἀνισταμένων γνωρίζεσθαι, κατὰ τὴν ἀξίαν τῶν κατορθωμάτων, κατὰ τὸ πλῆθος τῶν ἀγαθῶν ἔργων, κατὰ τὴν μετουσίαν τοῦ ἐντεῦθεν ἤδη ἐνῳκηκότος αὐτοῖς θείου Πνεύματος· καὶ τοῦτο μὲν οὕτω λέλυται.

Πρὸς δὲ τὸ εἰκοστὸν πρῶτον, ὅπερ ἐστὶν, εἰ μιᾷ καὶ κοινῇ ἀποφάσει τὴν καταδίκην οἱ κατάδικοι λήψονται, λοιπὸν ῥητέον· ὅτι δέξονται ἅπαντες καὶ κοινῇ τὴν ἀπόφασιν παρὰ τοῦ κριτοῦ, καὶ ἰδίᾳ ἕκαστος τὴν κατ᾽ αὐτοῦ, παρὰ τῶν τὰς ἀρετὰς κατωρθωκότων τότε· τὴν μὲν

ἀπὸ

ἀπὸ τοῦ στόματος τοῦ δεσποτικοῦ, ὡς αὐτὸς ἐρεῖ ὁ Χριστὸς „ πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι, καὶ τὰ ἑξῆς· τὴν δὲ “ παρὰ τῶν ἁγίων, καθ' ἣν ἀντιπρόσωπος καὶ ὁ δίκαιος στήσεται τῶν θλιψάντων αὐτόν· καὶ οἱ δώδεκα τοῦ Σωτῆρος Ἀπόστολοι, τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ κατακρινοῦσι· τοῦτο γὰρ ἐνταῦθα δηλοῖ, τὸ, κρινοῦσι· καὶ πάντες οἱ σύνδουλοι, καὶ τὰ ἐναντία κατωρθωκότες κρινοῦσι τοὺς διαμαρτάνοντας ἅπαντας· τὸν ὠμὸν ὁ ἐλεήμων, τὸν πονηρὸν ὁ χρηστὸς, τὸν θρασὺν ὁ ἐπιεικὴς, τὸν βάσκανον ὁ φιλόφρων, τὸν κενόδοξον ὁ ταπεινὸς τῷ φρονήματι, τὸν ῥάθυμον ὁ σπουδαῖος, τὸν ἀκόλαστον ὁ σώφρων, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως, οὕτως οἴσει τὴν κρίσιν ἡμῖν ὁ Θεὸς, ἑκάτερα στήσας τὰ τάγματα, τοὺς μὲν ἐπαινῶν, τοὺς δὲ κολάζων· ὥστε ἡ μὲν παρὰ τοῦ δεσπότου ἀπόφασις, καὶ λόγῳ καὶ ἅπαξ μόνον ἐστὶν ἀπόφασις, ἡ δὲ διὰ τῶν συνδούλων κατάκρισις, καὶ χρονιωτέρα τις ἐστὶ, καὶ ποικίλη, καὶ αἰσχύνης ἀνάπλεως, καὶ παρὰ πολλῶν γινομένη τοῖς αὐτοῖς, καὶ πολλάκις.

Τελώνια δὲ ἀέρος, ὅπερ ἐστὶ τὸ εἰκοστὸν δεύτερον, παρόντων πάντων τῶν κρινομένων, καὶ τοῦ τῶν πάντων Κριτοῦ τότε, οὐκ ἔγωγε οἶμαι παρεῖναι, οὐδ' ἐξετάζειν καὶ ταῦτα τοὺς κριθησομένους ποσῶς· ὅπου καὶ αὐτὰ τὰ τελώνια, εἰ δὲ βούλει, τὰ τῆς κακίας ὑπουργὰ πνεύματα, τῷ τοῦ δεσπότου φόβῳ ἐκστήσεται· ὅτι καὶ πάντες οἱ τῶν κριθησομένων κατήγοροι, καὶ τῶν γινομένων παρά τινων ἐτασταὶ, τοῦ κοινοῦ πάντων ἀπόντος κριτοῦ, καὶ ἐξετάζουσι τὰ γεγενημένα, καὶ κατηγοροῦσι τοὺς πταίσαντας· παρόντος δὲ μετὰ πάσης αὐτοῦ τῆς δυνάμεως, καὶ ἐπὶ τοῦ δικαστικοῦ προκαθημένου θρόνου, καὶ σιγῶσι πάντες, καὶ ἠρεμοῦσι, καὶ τρέμουσιν· εἰ δὲ ζωγραφεῖται ζυγοστάσια, καὶ χειρόγραφα ἐν ταῖς εἰκόσι ταῖς ἐπιγραφομέναις ἡ δευτέρα τοῦ Χριστοῦ παρουσία, ξένον οὐδέν· πολλὰ γὰρ παρὰ τῶν ζωγράφων φιλοτιμίας χάριν, ἢ ἐνδείξεως ἕνεκα πολλαχοῦ ἐγγράφεται· καὶ μάλιστα εἰ τὴν ἡμέραν ταύτην γράψαι φιλοτιμήσωνται· καθάπερ ἄρα καὶ τοὺς

δώδεκα γράφουσιν Ἀποστόλους καθεζομένους ὡς κρίνοντας, καὶ τὸν μὲν Παῦλον, καὶ Μάρκον, καὶ Λουκᾶν, οἷς οὐδὲν τοιοῦτον ἐπήγγελται, τῇ ἐννεάδι τῶν ἄλλων συνάπτουσι, τὸν δὲ τοῦ Ἀλφαίου Ἰάκωβον, καὶ τὸν Θαδδαῖον, ταύτης ἐκβάλλουσιν, οἷς ὁ Σωτὴρ ὑπέσχετο ἀψευδῶς συνεδρεύειν αὐτῷ κατ᾽ ἐκεῖνο καιροῦ· πρὸς δὲ καὶ κολάσεων εἴδη ζωγραφοῦσι μυρία, τοὺς σχηματισμοὺς τούτων καὶ τὰς μορφὰς ἀναπλάττοντες οἴκοθεν.

Καὶ οἱ δοῦναι φθάσαντες δίκην τῶν ἡμαρτημένων αὐτοῖς ἐνταῦθα (τὸ εἰκοστὸν λέγω τρίτον) ἀνεκτοτέραν μὲν πάντες ἕξουσι τιμωρίαν, οὐχὶ δὲ πάντες τελείαν ἀπαλλαγὴν τῆς κολάσεως· ἐπεὶ καὶ οἱ ἐν Σοδόμοις τε, καὶ Γομόῤῥοις, κἀνταῦθα βαρεῖαν ὑπομείναντες τιμωρίαν, τῷ τῆς γεέννης πυρὶ κἀκεῖσε παραδοθήσονται· καὶ μάρτυς ὁ κρίνων πᾶσαν τὴν γῆν, πρὸ τοῦ καθίσαι εἰς κρίσιν ἀποφηνάμενος ἤδη, ἀνεκτότερον ἔσαι Τύρῳ καὶ Σιδῶνι, εἰ δὲ βούλει Σοδόμοις τε καὶ Γομόῤῥοις ἐν ἡμέρᾳ τῆς κρίσεως, ἢ τῇ Χωραζὶν, καὶ τῇ Βηθσαϊδᾷ· ὅμως τισὶν ἔσαι ἡ ἐνταῦθα τιμωρία τελεία λύτρωσις τῶν ἐκεῖσε δεινῶν, ὥσπερ τὸ σκεῦος τῆς ἐκλογῆς περί τινος ἀποφαίνεται, οὑτωσὶ γράψας „παράδοτε αὐτὸν τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ Πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Χριστοῦ· τούτῳ τῷ λόγῳ καὶ Προφήτην ἔφαγε λέων, καὶ ὅσιον ἐπάταξεν ὕαινα, καὶ πολλοὶ χριστιανῶν ἁμαρτόντες ἐν ἄλλοις κρυφίως ἐνταῦθα, φανερῶς ἐν ἄλλοις ἀπολαμβάνουσιν.

Ἀλλ᾽ οὐδὲ πάντες οἱ κρημνισθέντες, ἢ ναυαγήσαντες, ἢ δηλητηρίοις φαρμάκοις θανόντες, ἢ βρωθέντες ὑπὸ θηρίων, (φημὶ δὲ τὸ εἰκοστὸν καὶ τέταρτον) ἤδη διὰ ταῦτα ῥυσθήσονται τῆς κολάσεως, ἢ ἐπίσης κουφισθήσονται ταύτης ἄλλως· ἀλλὰ πρὸς τὴν ἑαυτοῦ διάθεσιν ἕκαστος· τουτέστι καθὼς διέκειτο πρὸς τὸ ἐπενεχθησόμενον, καὶ πρὸς τὴν βαρύτητα τοῦ ἐπενεχθέντος αὐτῷ πειρασμοῦ· ἀλλὰ καὶ αἱ τῶν ἐπερχομένων συμφορῶν αἰτίαι, διάφοροι ἔσαι, διαφό-

διαφόρους καὶ τὰς ἐπιούσας ταύταις κολάσεις ἐπάγουσιν, ὥστε δυσδιάκριτον εἶναι τοῖς βουλομένοις τὴν τούτων διάκρισιν, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ τῇ μελλούσῃ μόνῃ ζωῇ τὰ τοιαῦτα ἐταμιεύθη γνωσθῆναι· δηλαδὴ τοῖς τὴν ἀφθαρσίαν ἐνδεδυμένοις, οὐχὶ τοῖς ὑποκειμένοις φθορᾷ.

Ἀλλὰ δὴ καὶ πρὸς τὸ εἰκοστὸν πέμπτον ἔστιν εἰπεῖν, ὅτι οὐδὲ διὰ ταυτοπάθειαν κολάσεως, τοῖς ἐκεῖσε κολαζομένοις ἔσται τις ἀναψυχή· οὔτε γὰρ τῷ πυρέττοντι σφοδρῶς, οὔτε τῷ λίαν ὀδυνωμένῳ, οὔτε τῷ καιομένῳ, ἢ τεμνομένῳ τὰ μέλη τοῦ σώματος, οἱ τὰ αὐτὰ πάσχοντες φέρουσι τινὰ τοῦ πάθους ἀνακωχήν· κἂν γὰρ μυρίους ὑπόθοιτό τις πυρέττοντας ἐν ταὐτῷ, οὐδεμία παρ᾽ ἑτέρου παράκλησις τινὶ τούτων ἐγγίνεται· εἰ δὲ καὶ μυρίοι ἐν γῇ ἀνύδρῳ διψῶσι διακαῶς, οὐδεὶς οὐδένα τούτων παρηγορῆσαι δύναται τῷ ἐπίσης καὶ αὐτὸν τῇ δίψει φλέγεσθαι, καὶ λειποθυμεῖν· ἕκαστον γὰρ ἡ τῆς ἰδίας φλογὸς ἐπίτασις, οὐκ ἀφίησιν αἴσθησιν ἔχειν ἑτέρου· τίνα ἂν σχοῖεν ἀναψυχήν, οἱ εἰς τὸ τῆς γεέννης πῦρ ἐμπεσόντες ἐκ τοῦ πολλοὺς ἐν τῷ αὐτῷ πυρὶ συγκατακαίεσθαι; τοῦτο ἐπὶ μόνης τῆς τῶν ἀγαθῶν συναπολαύσεως γίνεται· ὅτι ἕκαστος συναπολαύων πολλοῖς ἀγαθοῖς, ἢ τῶν προσκαίρων, ἢ τῶν αἰωνίων ἀγαθῶν, καθ᾽ ὅσον πλείους εἰσὶν οἱ τούτῳ συμμετέχοντες, κατὰ τοσοῦτον πλείονός τε καὶ μείζονος ἀπολαύει τῆς ἀπολαύσεως· εἶεν.

Πρὸς δὲ τὸ εἰκοστὸν ἕκτον φαμέν, ὅτι καὶ μεσιτεία τὶς ἔσται τότε, καὶ Ἀγγέλων δεηθησομένων ὑπέρ τινων, καὶ ἁγίων, καὶ τῆς τοῦ κόσμου Κυρίας οὐχ ἥκιστα· πλὴν οὐχ ὑπὲρ πάντων ἁπλῶς, οὐδὲ ὑπέρ τινος ἐν ἁμαρτίαις θανόντος· οὐμενοῦν· ἀπέκλεισε γὰρ ὁ Θεὸς τοῖς τοιούτοις καθάπαξ τὸ αὐτοῦ ἔλεος· διὸ καὶ ἀπεφήνατο κατ᾽ αὐτῶν οὑτωσὶ „ἐὰν στῇ Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, τοὺς υἱοὺς “ αὐτῶν καὶ τὰς θυγατέρας οὐ μὴ ἐξελοῦνται· ἀλλ᾽ ὑπὲρ “ μόνων ἐκείνων ἱκετεύσουσι πάντες, ὑπὲρ ὧν ἔσονται καὶ πρεσβεῖαι δεκταί· ἤγουν τῶν ἐν μετανοίᾳ μὲν φθασάντων

 μεταλ-

μεταλλάξαι τὸν βίον, ἔπω δὲ τὰς τῶν ἁμαρτημάτων κηλῖδας δυνηθέντων τελείως ἐκπλῦναι νάι· καὶ ἔτι τῆς κρίσεως ἱσαμένης· μετὰ δὲ τὸ λυθῆναι τὸ θέατρον, καὶ ἕκαςον ἀπαχθῆναι εἰς τὸν ἀποτεταγμένον αὐτῷ τόπον τῆς κολάσεως, μεσιτεία ἐκ ἔςιν, ἐδ᾽ ἐ μὴ γένηται· ὅμως ἡ μεσιτεία αὕτη ἐ μόνον τότ᾽ ἔςαι, ἀλλὰ καὶ νῦν γίνεται, ὅτι καὶ ζῶντες μεσίτας ποιέμεθα· ἐξαιρέτως δὲ τὴν τῦ Κυρίε Μητέρα, μετ᾽ αὐτῆς δὲ, καὶ τῦ χορῦ τῶν ἀγγέλων, καὶ τῶν ἁγίων πολλὲς, ναοῖς, ἀναθήμασι, καὶ παρακλήσεσι, καὶ εἰκόσι, καὶ ἱεραῖς τελεταῖς εἰς τὸ γενέσθαι μεσίτας ἡμῶν αὐτὲς ἐφελκόμενοι.

Λυπεῖσθαι δέ τινας τῶν ἁγίων, (τὸ εἰκοςὸν φημὶ ἕβδομον·) ὁρῶντάς τινας τῶν οἰκείων ἀπαγομένες εἰς κόλασιν τηλικαῦτα, ἐκ οἶμαι οἴεσθαι δεῖν· ὅπε ἡ ἄληκτος παρέςαι πᾶσιν ἁγίοις χαρά· ἔνθα ἀπέδρα πᾶσα ὀδύνη καὶ λύπη καὶ ςεναγμός· ὅπε ὁ φύσει εὔσπλαγχνος καὶ φιλάνθρωπος, πορεύεσθε ἀπ᾽ ἐμῦ οἱ κατηραμένοι τοῖς ἀπολλυμένοις ἐρεῖ, καὶ πάντας ὄψεται χωριζομένες αὐτὲς ἀπ᾽ αὐτῦ, καὶ παντὸς ἀγαθῦ, καὶ ἐδ᾽ ὁπωσῦν ὑπὲρ αὐτῶν λυπηθήσεται· ἀλλὰ καὶ τὸ ὑπὲρ τῶν ἐχθρῶν τῦ Θεῦ λυπεῖσθαι τοῖς ἁγίοις ἀνοίκειον· ταυτὸν γὰρ ἐςὶ τὸ ἀγαθωτέρες ἑαυτὲς ποιεῖν τῦ Θεῦ, καὶ δυχεραίνειν ἐφ᾽ οἷς ἐκεῖνος ἀρέσκεται· μόνοι συγγενεῖς καὶ φίλοι καὶ γνώριμοι νομίζονται τοῖς ἁγίοις ἐκεῖ, οἱ τὴν δεξιὰν ςάσιν τῦ δεσπότε κληρονομήσαντες· οἱ δὲ λοιποὶ πάντες, ὡς ἄχυρα καὶ ἄκανθαι καὶ ὕλη πυρὸς αἰωνίε παρορασθήσονται.

Αἱ μέντοι τῶν οἰχομένων ψυχαὶ, (τὸ εἰκοςὸν λέγω ὄγδοον·) δύο τόπες ἔλαχον εἰς διαγωγήν· αἱ μὲν τῶν ἁγίων τὲς ἐρανὲς, αἱ δὲ τῶν ἁμαρτωλῶν τὸ τῆς γῆς κέντρον, τὸν ᾅδην δηλαδή· πλὴν αἱ μὲν τῶν ἁγίων ἐλευθερία τετίμηνται, ὅτι καὶ πάντα τὸν κόσμον, καὶ τὴν Ἐδὲμ, τῆς τρυφῆς τὸ χωρίον ἐνδιαίτημα ἔχεσιν· αἱ δὲ κατακριθεῖσαι εἰς ᾅδε μένειν ψυχαὶ ἕως ἡμέρας τῆς κρίσεως,

σεως, ἐξελθεῖν ἐκεῖσε ποσῶς, καὶ φωτὸς ἢ τινὸς ἀνέσεως ἀπολαῦσαι κωλύονται· οὐχ ὅτι πρὸ τοῦ κριθῆναι κολάζονται, (οὔτε γὰρ οἱ ἅγιοι τῶν αἰωνίων ἐκείνων ἀγαθῶν ἀπολαύουσι πρὸ τῆς κρίσεως, οὔτε οἱ ἁμαρτωλοὶ τῆς ἀπεράντου κολάσεως ἐν μετουσίᾳ γίνονται·) ἀλλ᾽ ὅτι ἐν φυλακῇ κατεχόμεναι ζοφερᾷ, φορτικοὺς, καὶ ὠμοὺς, καὶ ἀνελεήμονας ἐπιστάτας τοὺς δαίμονας ἔχουσιν, οἳ οὐκ ἐῶσι τοῦ δεσμωτηρίου προκύψαι τινὰς, πῦρ βλέποντες, πῦρ πνέοντες, νυκτὶ ἐοικότες τὰ πρόσωπα, διὰ τὸ κατηφὲς καὶ μισάνθρωπον.

Ἀλλ᾽ ἐπὶ τὸ εἰκοστὸν ἔννατον λοιπὸν χωρῶμεν· ἔστι δὲ, ὅτι οὐδεὶς φθονήσει τινὶ τῶν τῆς δεξιᾶς μερίδος τυχόντων, διὰ τὴν θεόθεν δοθεῖσαν τούτῳ ἀνάπαυσιν· φθόνος γὰρ οὐδεὶς, οὐδὲ ζῆλος παρὰ τοῖς ἁγίοις, οὐδὲ κατὰ τὴν πρόσκαιρον ταύτην ζωὴν, μήτοιγε τοῖς ἀϊδίου τυχοῦσι μακαριότητος· ἄλλως τε τὸ φθονεῖν τινὶ τῶν τὴν κρείττονα μοῖραν λαχόντων ἐκεῖσε, οὐδὲν ἄλλο ἐστὶν, ἢ κατηγορεῖν τοῦ τὰς δωρεὰς διανέμοντος πᾶσαν ἀδικίαν διανομῆς· ἀλλ᾽ οὐκ ἔσται τοῦτο, μὴ γένοιτο! οὕτω πάντες ἐν πᾶσι τοῖς νεμηθησομένοις ἑκάστῳ ἀρεσθήσεται, καὶ ἕκαστος ἐν τῇ τούτῳ λαχούσῃ μερίδι, ὡς αὐτὸς ὁ Χριστός . . .

Ὅτι δὲ καὶ ἀπέραντος αὔξησις ἔσται τῶν ἀγαθῶν τοῖς ἁγίοις, ὅπερ ζητεῖ τὸ τριακοστὸν, ὁ Νυσσαέων Γρηγόριος ἐκδηλότερον πάντων τίθησιν, οὕτω λέγων ῥητῶς „τῆς μακαρίας ἐκείνης τῶν ἀγαθῶν φύσεως πολὺ μὲν ἐστὶ τὸ ἀεὶ εὑρισκόμενον, ἀπειροπλάσιον δὲ παντὸς τοῦ καταλαμβανομένου τὸ ὑπερκείμενον· καὶ τοῦτο εἰς τὸ διηνεκὲς γίνεται τῷ μετέχοντι, ἐν πάσῃ τῇ τῶν αἰώνων ἀϊδιότητι, διὰ τῶν μειζόνων τῆς ἐπαυξήσεως τοῖς μετέχουσι γινομένης· ὁ μὲν γὰρ καθαρὸς τῇ καρδίᾳ, κατὰ τὴν ἀψευδῆ τοῦ δεσπότου φωνὴν, ὁρᾷ τὸν Θεὸν ἀεὶ κατὰ τὴν ἀναλογίαν τῆς δυνάμεως, ὅσον χωρῆσαι δύναται, τοσοῦτον τὴν κατανόησιν δεχόμενος· τὸ μέντοι ἀόριστόν τε καὶ ἀπερίληπτον τῆς Θεότητος ἐπέκεινα πάσης κατα-

„ λήψεως διαμένει· οὐ γὰρ τῆς μεγαλοπρεπείας τῆς δόξης
„ οὐκ ἔστι πέρας, καθὼς ὁ Προφήτης διαμαρτύρεται, οὗτος
„ πάντως ὡσαύτως ἔχει ἐν τῷ αὐτῷ ὕψει διὰ παντὸς θεω-
„ ρούμενος· ὥσπερ δὴ καὶ ὁ μέγας Δαυὶδ, ὁ τὰς καλὰς
„ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος, καὶ ἐκ δυνάμεως
„ εἰς δύναμιν ἀεὶ πορευόμενος, τοῦτο πρὸς τὸν Θεὸν ἀνε-
„ βόησε, σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα Κύριε· τοῦτο οἶμαι διὰ
„ τῆς φωνῆς ταύτης σημαίνων, ὅτι ἐν πάσῃ τῇ τοῦ αἰῶνος
„ ἀϊδιότητι, ὁ μὲν πρὸς σὲ τρέχων ἑαυτοῦ μείζων πάντοτε
„ καὶ ἀνώτερος γίνεται, ἀεὶ διὰ τῆς τῶν ἀγαθῶν ἀναβά-
„ σεως ἀναλόγως αὐξανόμενος, σὺ δὲ ὁ αὐτὸς εἶ, ὕψιστος
„ εἰς τὸν αἰῶνα μόνος· οὐδέποτε τοῖς ἀνιοῦσι χθαμαλώτερος
„ φανῆναι δυνάμενος, τῷ κατὰ τὸ ἴσον ἀνώτερος πάντοτε
„ καὶ ὑψηλότερος εἶναι τῆς τῶν ὑψουμένων δυνάμεως· τὸ
„ γὰρ ἀεὶ καταλαμβανόμενον τῶν μὲν προκαταληφθέντων
„ μεῖζόν ἐστιν, οὐ μὴν ὁρίζει ἐν ἑαυτῷ τὸ ζητούμενον, ἀλλὰ
„ τὸ πέρας τοῦ εὑρεθέντος, ἀρχὴ πρὸς τὴν τῶν ὑψηλοτέ-
„ ρων εὕρεσιν τοῖς ἀναβαίνουσι γίνεται· καὶ οὔτε ὁ ἀνιὼν πο-
„ τὲ ἵσταται ἀρχὴν ἐξ ἀρχῆς μεταλαμβάνων, οὔτε τελειοῦ-
„ ται περὶ ἑαυτὴν, ἡ τῶν ἀεὶ μειζόνων ἀρχή· οὐδέποτε
„ γὰρ ἐπὶ τῶν ἐγνωσμένων ἡ τοῦ ἀνιόντος ἐπιθυμία μένει,
„ ἀλλὰ διὰ μείζονος πάλιν ἐπιθυμίας πρὸς ἑτέραν ὑπερκει-
„ μένην καθεξῆς ἀνιοῦσα, πάντοτε διὰ τῶν ἀνωτέρων ὁδεύει
„ πρὸς τὸ ἀόριστον. Καὶ οὕτω μὲν ὑπὲρ λόγον προκοπὴ ἔσται
τῆς ἀπολαύσεως τῶν ἁγίων· τοῖς δὲ ἁμαρτωλοῖς οὔτε
αὔξησις ἔσται κολάσεως, οὔτε μείωσις· τὸ μὲν διὰ τὴν τοῦ
Θεοῦ φιλανθρωπίαν, τὸ δὲ διὰ τὴν δικαιοκρισίαν αὐτοῦ·
εἰ γὰρ τοῦτο δοίητις, τὸ καὶ τὴν κόλασιν αὔξεσθαι τοῖς
κολαζομένοις, ἀνάγκη πᾶσα (*) καὶ ἕκαστος πάσας ὑπο-
μένειν τὰς κολάσεις ὁ καθάπαξ ἐμπίπτων αὐταῖς· καὶ τοῦ
αἰῶνος ἀπέραντα προϊόντος, πολλαπλασιασθήσονται τοῦ-
το ἀπειράκις ἐπ' ἄπειρον· κἂν μειοῦσθαι κατ' ὀλίγον
ἑκάστῳ τὴν κόλασιν δοίημεν, τέλος κολάσεως ὀψέπο-
τε τοῖς ἅπασιν ἕψεται, ἃ καὶ ἀμφότερα τοῖς ὀρθοδό-
ξοις ἀπόβλητα.

Γλώσσαις

Γλώσσας δὲ ἔσονται πάντες οἱ ἅγιοι (τὸ πρῶτον καὶ τριακοστόν·) ὁ τὰς τῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ τὰς τῶν Ἀγγέλων, Θεὸν ὁρῶντες, καὶ Ἀγγέλοις συνόντες, καὶ Πνεύματος ἁγίε πλήρεις ἐσόμενοι· εἰ γὰρ ἔτι συνεζευγμένοι φθορᾷ οἱ Ἀπόστολοι τὰς τῶν ἐθνῶν πάντων γλώσσας, ἐν μιᾷ ῥοπῇ χρόνε ἐπλέτησαν, πολλῷ μᾶλλον οἱ τὴν ἀφθαρσίαν ἐνδεδυμένοι, καὶ ὅλοι ὅλον τὸ Πνεῦμα δεξάμενοι, καὶ ταύτην τὴν χάριν μετὰ τῶν ἄλλων πλετήσεσιν· εἰ δὲ καὶ πολλαὶ τῶν ψυχῶν περὶ τὴν ἔξοδον τὲ βίε ἐν ἐκστάσει γινόμεναι, ἃς ἤκεσαν ἐν τῷ ἐρανῷ ἁρπαγεῖσαι γλώσσας ἔτως ἀνήγγειλαν, ὡς ἂν εἰ παρὰ πάντα τὸν βίον αὐτὰς ἠπίσαντο, πῶς οἱ τῆς ἀτελευτήτε ζωῆς τυχόντες, ἐκείνῳ τῷ ἀνεσπέρῳ φωτὶ δι' ὅλε λαμπόμενοι, τὰς τῶν συνόντων αὐτοῖς ἀχωρίστως ἐκ ἔσονται γλώσσας; ὁ προσίσαται δὲ τῷ λόγῳ γράφων ὁ θεῖος Ἀπόστολος „ εἴτε δὲ γλῶσσαι καταργηθήσονται· ἐπείπερ ὃν τρόπον ὁ προϊὼν εἰς ἀνδρὸς ἡλικίαν, καταργεῖ πάντα τὰ τῆς αὐτὲ νηπιότητος, ἔτω καὶ οἱ τὴν ἐράνιον λαχόντες διαγωγὴν τὰ τῆς ἐπιγείε πολιτείας ἅπαντα καταργῦσιν, ἐκ ἐπὶ τὸ μὴ ὂν αὐτοῖς τῶν πραγμάτων χωρέντων, ἄπαγε! ἔτω γὰρ πάντες ἂν πάντα τὸν αἰῶνα μένειν ἔμελλον ἄλαλοι· ἀλλὰ τῆς τελειότητος ἐπελθέσης, τὰ ἀτελῆ πάντα παύεται, καθάπερ τοῖς ἄκρως φιλοσοφῦσι, τὰ νηπιώδη ψελλίσματα.

Ἀλλ' ἐπὶ τὸ τριακοστὸν δεύτερον καιρὸς χωρῆσαι· μετάληψις δὲ, καὶ κοινωνία, καὶ μετάδοσις ἔσαι τῶν ἀγαθῶν ἑκάστε πρὸς τὸν ἕτερον, τὸ συναπολαύειν ἀλλήλοις τὲ αὐτὲ ἀγαθὲ, ἕκαστος ὅσον δύναται μετέχειν, παρ' ἄλλε μηδ' ὁπωστῦν διειργόμενος· ὅπερ ἐπὶ τῶν ἀφθόνων δωρεῶν τὲ Θεὲ ὁρῶμεν ὁσημέραι συμβαῖνον τοῖς ἅπασιν· ἐδεὶς γὰρ ἀνθρώπων ἐστὶν, ὃς μετέχειν ἀέρος, ἢ πυρὸς, ἢ ἀκτῖνος, ἢ ὕδατος, ἑτέρῳ χαρίσασθαι δύναται, πᾶσιν ἐπίσης προκειμένων ἀπολαύειν, ὡς ἕκαστος πέφυκε· καὶ καθάπερ εἰ δέκα τινὰς, καλοῖμεν συνευωχηθῆναι

χηθῆναι ἡμῖν, ἐφ᾽ οἷς ἔχομεν βρώμασιν, ἕκαστος ἢ δυνάμεως ἔχει ἀπολαύει τῆς πανδαισίας, καὶ οὐχὶ πάντες ἐπίσης, τόνδε τὸν τρόπον κἀκεῖσε, καὶ ὑπὲρ τόνδε, συναπόλαυσις ἔσαι τοῖς ἅπασι.

Βρώσεώς τε καὶ πόσεως μεταλήψονται, (τὸ τριακοσὸν λέγω τρίτον·) καὶ τρυφῆς ἀπεράντου, οὐ μέντοι σωματικῆς, ἢ φθειρομένης τινὸς, ἀλλὰ νοητῆς καὶ ἀφθάρτου, ὥσπερ φησὶν ὁ θεολόγος Γρηγόριος, τῷ παρ᾽ αὐτοῦ τοῦ Λόγου διδάσκεσθαι τά τελεώτερά τε καὶ ἰσχυρότερα καὶ ὑψηλότερα, καὶ αὐτὸν συναπολαύειν αὐτοῖς· τροφὴ γὰρ ἐςὶν ἡ δίδαξις, καὶ αὐτοῦ τοῦ διδάσκοντος καὶ τοῦ τρέφοντος· ὅτι δὲ καὶ ἐσθίειν, καὶ πίνειν κἀκεῖ κεχάρισαι τοῖς ἁγίοις, ὁ Κύριος ἐν Εὐαγγελίοις τοῖς ἀποσόλοις φησὶν „ ὑμεῖς ἐςὲ οἱ διαμεμενηκότες μετ᾽ ἐμοῦ ἐν τοῖς
„ πειρασμοῖς μου· κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό
„ μοι ὁ Πατήρ μου βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ
„ τῆς τραπέζης μου· εἰ δὲ μήτε τὸ σῶμα τινὸς ἀπολαύει κἀνταῦθα, κἀκεῖ τῶν ἀγαθῶν, δίχα τῆς τούτῳ συνημμένης ψυχῆς (λέγω δὲ μετὰ τὴν ἀνάςασιν) μήτε ἡ ψυχὴ καθ᾽ αὐτὴν κεχωρισμένη τοῦ σώματος· σωμάτων γὰρ ἔςαι τὴν καῦτα ἀνάςασις· καὶ ἡ βρῶσις λοιπὸν καὶ ἡ πόσις, καὶ πᾶν τὸ ἀπολαυόμενον τοῦ συναμφοτέρου ῥηθήσεται.

Ἀλλ᾽ ἐπὶ τὸ τέταρτον καὶ τριακοσὸν ἰτέον· ὅτι πάντες μὲν θεάσονται τὸ πρόσωπον τοῦ Χριςοῦ, ἁμαρτωλοὶ καὶ δίκαιοι, πιςοὶ καὶ ἄπιςοι, αἱρετικοὶ καὶ ὀρθόδοξοι· πλὴν τὸ αὐτὸ καὶ ἐν διαφόρως· οἱ μὲν γὰρ προσηνὲς, ἱλαρὸν, εὐμενὲς, καὶ ἥμερον ὄψονται· οἱ δὲ φοβερὸν, καὶ ἐκπληκτικώτερον αὐτοῖς ἐνορῶν, καθὸ λέγεται περὶ τούτων, ὅτι πονηρὸν πονηρᾶς δόξης καρπὸν δρέψονται, ἢ ζόφον κατακριθῆναι, ἢ ὡς πῦρ ἰδεῖν, ὃν ὡς Θεὸν οὐκ ἐγνώρισαν.

Πλὴν ταῦτα μὲν ἐπιτροχάδην εἰρήσθω, ἐπὶ δὲ τὸ τελευταῖον καιρὸς ἱκέσθαι· καὶ δὴ λέγομεν καθάπερ πιςεύο-

πιςεύομεν, ὅτι κολάσεως τέλος τοῖς τότε κληρωσαμένοις αἰώνιον κόλασιν ἔςαι ὐδέποτε· διὸ καὶ ἡ τῶν οἰκεμενικῶν πέμπλη Σωύοδος, τὲς δοξάζοντας μετὰ θάνατον τέλος εἶναι κολάσεως ἀποκηρύκτες τῦ καταλόγε τῶν ὀρθοδόξων τίθησιν. Ἀλλ᾽ ἐνταῦθα τινὲς πρόφασιν εὑράμενοι, κἂν ὐκ εὔλογον, ὡς εὔλογον δῆθεν, καὶ τάδε προτείνονται. Ὅταν παραδῶ τὴν βασιλείαν ὁ Υἱὸς τῷ Θεῷ καὶ Πατρὶ ὡς ὁ Ἀπόςολος τίθησιν, ἐπεὶ ὐδὲν τῷ Θεῷ ἀνυπότακτον ἔςαι, (ὐδεὶς ἔςαι γὰρ ὁ πoσῶς ἁμαρτάνων λοιπὸν) τέλος ἔςαι κολάσεως. Πρὸς ὃ λέγομεν ὅτι καὶ τὰς τῦ Θεῦ ἀποφάσεις, καὶ ταύτην, ὐ χρὴ κατὰ τὰς οἰκείας ἐκλαμβάνειν θελήσεις εἰ μέλλοιμεν εὐσεβεῖν, ἀλλ᾽ αἰχμαλωτίζειν πᾶν νόημα, εἰς τὴν ὑπακοὴν τῦ Χριςῦ· καὶ τῦτο ἐξ ἑνὸς τέτε γνώριμον ἔςαι, τῦ προτεθέντος ἡμῖν· εἰ γὰρ ἁπλῶς ἐκλάβοιμεν τῦτο, καὶ μὴ Θεοπρεπῶς, ὐκ ἔςαι μετὰ ταῦτα ἔχων αὐτήν· ὁ γὰρ παραδὺς ἑτέρῳ, παύεται λοιπὸν τῦ κατέχειν αὐτός· καὶ ὐ τῦτο μόνον ἔςαι τὸ ἄτοπον, ἀλλ᾽ ὅτι ὐδ᾽ ἐκεῖνος ὁ παραλαβὼν εὑρεθήσεται πρὶν ἢ παραλαβεῖν ἔχων· καὶ λοιπὸν ὔτε ὁ Πατὴρ ἔμπροσθεν, ὔτε ὁ Υἱὸς μετὰ ταῦτα φανεῖται βασιλεύς ὤν· πῶς ὖν περὶ τῦ Πατρὸς φησὶν " αὐτὸς, ὁ Πατήρ με ἕως ἄρτι ἐργάζεται; περὶ δὲ αὐτῦ " φησὶ Δανιὴλ, ἡ βασιλεία αὐτῦ βασιλεία αἰώνιος, ἥτις " εἰς τὸν αἰῶνα ὐ διαφθαρήσεται; ποίαν δὲ ἀρχὴν ἐνταῦ- " θα φησὶ καταργεῖν; τὴν τῶν Ἀγγέλων; καὶ πῶς ἂν ἔχοι λόγον; ἀλλὰ τὴν τῶν πιςῶν; ἀλλ᾽ ὐδὲ τῦτο· ἀλλὰ τὴν τῶν δαιμόνων· περὶ ἧς φησὶν ὐκ ἔςιν ἡμῖν ἡ πάλη " πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς " ἐξεσίας, πρὸς τὲς κοσμοκράτορας τῦ σκότες τῦ αἰῶνος " τέτε· νῦν γὰρ ὐδέπω κατήργηται τέλεον, τότε δὲ " παύσεται· δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις ἂν θῇ πάν- " τας τὲς ἐχθρὲς ὑπὸ τὲς πόδας αὐτῦ· ὐ τῦτο λέγων, ὅτι μετὰ τὸ ποιῆσαι ταῦτα ὐ βασιλεύσει, ἀλλ᾽ ἐκεῖνο κατασκευάζων, ὅτι κἂν μὴ νῦν γίνεται, πάντως ἔςαι· ὔτε γὰρ διακόπτεται αὐτῦ ἡ βασιλεία· κρατεῖ γὰρ, καὶ

ἰσχύει,

„ ἰσχύει, καὶ μένει ἕως ἂν πάντα κατορθώσῃ. Ὅτι δὲ τὸ
„ ἄχρις ἐπὶ Θεοῦ λεγόμενον, καὶ τὸ ἕως οὐκ ἔστι τέλος, ἄκου-
„ σον τί φασὶν οἱ Προφῆται „ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ
„ αἰῶνος σὺ εἶ· καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐ-
„ τοῦ· καὶ εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου κάθου ἐκ δεξιῶν μου,
„ ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· καὶ
πάλιν ἐγώ εἰμι, ἐγώ εἰμι, καὶ ἕως ἂν κατηγορήσητε
ἐγώ εἰμι.

Τί οὖν ἐστιν, ὅταν παραδῷ τὴν Βασιλείαν τῷ Θεῷ
καὶ Πατρί; Βασιλείας τοῦ Θεοῦ δύο οἶδεν ἡ Γραφή, τὴν
μὲν κατ' οἰκείωσιν, τὴν δὲ κατὰ δημιουργίαν· βασιλεύει
μὲν γὰρ ἁπάντων καὶ Ἑλλήνων, καὶ Ἰουδαίων, καὶ Δαι-
μόνων, καὶ τῶν ἀντιτεταγμένων κατὰ τὸν τῆς δημιουρ-
γίας λόγον· βασιλεύει δὲ πιστῶν, καὶ ἑκόντων, καὶ ὑπο-
τεταγμένων, καὶ κατὰ τὸν τῆς οἰκειώσεως· αὕτη δὲ ἡ
βασιλεία καὶ ἀρχὴν ἔχειν λέγεται· περὶ γὰρ ταύτης
„ φησὶν ἐν δευτέρῳ Ψαλμῷ „ αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω
„ σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ
„ πέρατα τῆς γῆς· περὶ ταύτης καὶ αὐτὸς εἶπε τοῖς μα-
θηταῖς „ ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς·
ταύτην οὖν παραδίδωσι, τουτέστι κατορθοῖ. Πῶς δὲ νοη-
„ τέον, τὸ „ ὅτε δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ
„ ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα,
„ ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι; τουτέστιν ὅταν οἱ πάν-
τες ὑποταγῶμεν τῷ Υἱῷ, καὶ εὑρεθῶμεν αὐτοῦ μέλη, καὶ
γενώμεθα αὐτῷ εἷς Υἱὸς Θεοῦ· ἡμεῖς γὰρ φησὶν εἷς ἐστὲ ἐν
Χριστῷ Ἰησοῦ, τότε καὶ αὐτὸς ὑποταγήσεται μεθ' ἡμῶν
τῷ Πατρί, ὡς κεφαλὴ ὑπὲρ τῶν ἰδίων μελῶν· τῶν γὰρ
μελῶν αὐτοῦ μήπω ὑποτεταγμένων πάντων, αὐτὸς ἡ
κεφαλὴ αὐτῶν οὔπω λέγεται ὑποτετάχθαι τῷ Πατρί,
ἀναμένων τὰ ἴδια μέλη· εἰδὲ εἷς ἦν τῶν ὑποτεταγμένων,
ἐξ ἀρχῆς ἂν ὑπετάσσετο τῷ Πατρί, καὶ οὐκ ἐπὶ τοῦ τέ-
λους τοῦτο ἐποίει· ἡμεῖς γὰρ ἐσμὲν σὺν αὐτῷ ὑποτασσό-
μενοι τῷ Πατρί· οὐ δι' αὐτὸν ἄρα, ἀλλὰ δι' ἡμᾶς ταῦτα
φησίν.

φησίν. Ὥσπερ γὰρ ἄνθρωπος γενόμενος ὁ Υἱὸς, μετὰ μὲν ἀνθρώπων ὡς ἄνθρωπος, περὶ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας ἐκ οἶδε, θεϊκῶς δὲ ἐν τῷ Πατρὶ ὢν, ὡς Λόγος καὶ σοφία, μετὰ Πατρὸς ἅπαντα οἶδε, καὶ ἐδὲν ἀγνοεῖ· καὶ ὥσπερ τὰς ἡμῶν ἀσθενείας δεχόμενος λέγεται αὐτὸς ἀσθενεῖν, καίτοι μὴ ἀσθενῶν αὐτὸς, δύναμις γὰρ ἐςὶ τῦ Θεῦ· ἁμαρτία τε ὑπὲρ ἡμῶν γέγονε καὶ κατάρα, καίτοι μὴ ἁμαρτήσας αὐτὸς, ἀλλ᾽ ὅτι τὰς ἁμαρτίας ἡμῶν καὶ τὴν κατάραν ἐβάςασεν αὐτός· ὕτως ἡμᾶς ἐν ἑαυτῷ ὑποτάσσων τῷ Θεῷ καὶ Πατρὶ καὶ αὐτὸς λέγεται ὑποτάσσεσθαι· ὥςε οἰκειέμενος τὰ ἡμέτερα ὁ Υἱὸς, τὴν ἡμῶν ὑποταγὴν ἰδίαν ποιεῖται, καὶ ἐν τῷ ἀντιτείνειν ἡμᾶς πρὸς ἀρετὴν, ἀνυπότακτον ἑαυτὸν ὀνομάζει· ἐ μὴν συνάγει πόσως, ἐδὲ δείκνυσιν ἐκ τῶν εἰρημένων, ὅτι παύσεταί ποτε τῆς ἀρχῆς, καὶ ταύτης ἀφιςάμενος ἑτέρῳ πάντα παραχωρῶν, καὶ τοῖς παρ᾽ αὐτῦ κολασθησομένοις ἀπαλλαγὴν παρέξει κολάσεως.

Ἀλλὰ τίς ἡ τοσαύτη ἀδικία φησὶν, ἵνα μικρὸν χρόνον ἁμαρτάνωντίς αἰωνίως κολάζηται; Πρὸς ἓν τὴν τῆς ἀπορίας ταύτης λύσιν, ὁ Χρυσόςομος τοῖς θέλεσιν ἐξαρκεῖ, ἑτωσὶ λέγων „ ἐννόησον πόσον χρόνον ἐν τῷ θανάτῳ “ μένει διὰ μίαν ἁμαρτίαν τὸ γένος τὸ ἡμέτερον, καὶ μὴ “ ὅτι ἐν ῥοπῇ βραχείᾳ τὸ ἁμάρτημα γίνεται τῦτό σκόπει, καὶ διὰ τῦτο καὶ τὴν κόλασιν ῥοπῆς εἶναι νόμιζε· “ ἐχ ὁρᾷς τὲς ἀνθρώπες, οἱ πολλάκις ὑπὲρ μιᾶς κλοπῆς, “ ἢ μοιχείας μιᾶς, ἐν μιᾷ ῥοπῇ γινομένης, ἐν δεσμωτηρίῳ “ καὶ μετάλλοις ὁλόκληρον αὐτῶν τὸν βίον ἀνήλωσαν; ἀλλ᾽ “ ἄνθρωποι φασὶν, οἱ ταῦτα ποιῦντες, Θεὸς δὲ φιλάνθρωπος ἐςίν· ὅταν γὰρ εἴπῃς φιλάνθρωπον τὸν Θεὸν, τότε “ μείζονά μοι λέγεις τῆς κολάσεως τὴν ἀφορμὴν, ὅτι εἰς “ τοιῦτον ἁμαρτάνομεν δεσπότην· τὶς ἀνθρώπων δύναται “ κολάσαι ὕτως ὡς ἐκόλασεν ὁ Θεός; κατακλυσμὸν ποιήσας, καὶ πανολεθρίαν τοσύτε γένες; Καὶ μετὰ μικρὸν “ πάλιν, πῦρ ἄνωθεν βρέξας, καὶ πάντας ἄρδην ἀφανί- “

„ σας,

„ σας; ὥσπερ ἡ φιλανθρωπία αὐτȣ̃ μεγάλη, ὅτω καὶ ἡ
„ κόλασις. Ναὶ φησὶν, ἀλλ᾽ ἀπειλῆσαι μόνον ἐχρῆν, μὴ
„ μέντοι καὶ κολάσαι. Εἰ κολάζει, καὶ λέγεις ὅτι ἀπειλὴ
„ τὸ πρᾶγμα ἐςὶ, καὶ διὰ τȣ̃το ῥαθυμότερος γίνη, εἰ ὄν-
„ τως ἀπειλὴ μόνον ἦν, ἐκ ἂν ὑπτιώτερος γέγονας; εἰ μὴ
„ ἀπήτει λόγον ὁ Θεὸς, ἐκ ἀγαθὸς ἦν· ἐπειδὴ δὲ ἀπαι-
„ τεῖ, διὰ τȣ̃το ἀγαθός· βȣ́λει αὐτὸ ἀπειλὴν εἶναι; σὺ
„ Κύριος εἶ τȣ̃ πράγματος· γενȣ̃ βελτίων, καὶ ἵςαται μέ-
„ χρι τῆς ἀπειλῆς· κἂν φοβηθῶμεν τὴν ἀπειλὴν, ἐχ
„ ὑποςησόμεθα τὴν πεῖραν· καὶ ταῦτα φησὶν ὁ τὴν γλῶτ-
„ ταν χρυσȣ̃ς. Εἰ δέ τις λέγει τὶς ἦλθεν ἐκεῖθεν; καὶ ταῦ-
τα ἀνήγγειλεν; ἐννόησον ὅτι ἀνθρώπων μὲν ἐδεὶς, ἐδὲ
τῶν Ἀγγέλων, ἐδὲ τῶν Ἀρχῶν, ὁ δὲ τȣ̃ παντὸς καὶ
ποιητὴς καὶ δεσπότης, καὶ πρὸ τȣ̃ τὴν ἡμέραν ἐλθεῖν
ἐκείνην, ἀπεφήνατο περὶ τῶν τότε κριθησομένων „ ὅτι
„ ἀπελεύσονται ἔτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς
„ ζωὴν αἰώνιον.

Ἀλλ᾽ ἔςω ταῦτα φησὶ, τὶ ἂν τις πράξας ἐκφύγοι τὴν κόλασιν; αὐτὸς ὁ τὴν κρίσιν, καὶ τὰ περὶ τῆς κρί-σεως ἡμῖν ἐξαγγείλας, καὶ τȣ̃το ἡρμήνευσεν ὡς ἄλλος ἐδεὶς, διὰ τῶν παρ᾽ αὐτȣ̃ ἐν τῇ κρίσει ῥηθησομένων δηλώ-σας, ὅτι ὁ τρέφων πεινῶντα, καὶ ποτίζων διψῶντα, καὶ ἐνδύων γυμνὸν, καὶ συνάγων ξένον, καὶ ἐπισκεπτόμενος ἀσθενȣ̃ντα, καὶ παραμυθȣ́μενος τȣ̀ς ἐν φυλακαῖς, αὐ-τὸς πάντως ῥυσθήσεται τῆς κολάσεως. Ὅθεν κἀγὼ τȣ̃-το, εἰ μήτι ἄλλο, σαφῶς ἐπιςάμενος ὡς ἀναγκαιοτέρα τῶν ἀρετῶν ἡ ἐλεημοσύνη, καὶ ὡς ὁ διδάξας ἑτέρȣς ἐλεῆ-σαι ἑκατονταπλασίονα λήψεται καὶ αὐτὸς τῶν ἐκ τῆς χρηςῆς αὐτȣ̃ παραινέσεως χορηγηθέντων τοῖς δεομένοις, καὶ ἴσα τῷ παρασχόντι πρὸς ὠφέλειαν τῶν ἐντυγχανόν-των τοῖς λόγοις μȣ τίθημι τȣ́σδε τȣ̀ς λόγȣς μȣ.

Ὄψον χωρὶς ἅλατος, καὶ λόγος ἄνευ ἀληθείας, ἔργα πλὴν πίςεως, ἀρχὴ δίχα τέλȣς, καὶ ἀρετὴ χω-ρὶς

ρὶς ἐλεημοσύνης, νεκρά· ὡς οὐδὲν τῶν ζώων, μεθ' ἑνὸς ποδὸς περιπατεῖ, καὶ οὐδὲν τῶν πτηνῶν ἐνὶ πτερῷ ἵπταται, καὶ οὐδὲν τῶν πλοίων μεθ' ἑνὸς πληρώματος πλέει, καὶ οὐδεὶς τῶν οἴκων μεθ' ἑνὸς τοίχου σκέπει, οὕτως οὐδεὶς σώζεται τῶν σωζομένων, ἂν μὴ τῇ μετὰ χεῖρας ἀρετῇ συζεύξῃ τὴν ἐλεημοσύνην· αὕτη γὰρ ὄντως καὶ ἐλλειφθεῖσα κολάζει διὰ τὴν ἔλλειψιν, καὶ τελεσθεῖσα σώζει διὰ τὴν πρόσθεσιν. Ὥσπερ γὰρ ἐὰν ἔχῃ τις φίλον τὸν Θεὸν, πάντας φίλους ἕξει ἀκολούθως τοὺς ἁγίους, οὕτω πᾶς τις ἐλεημοσύνην ἔχων, πάσας ταύτῃ ἑπομένας ἔχει τὰς ἀρετάς· οὐμὴν τοὐναντίον. Καὶ μήτις προβαλέσθω ἐνταῦθα τοὺς ἐν ὄρεσι, καὶ σπηλαίοις τελειωθέντας, ὡς ταύτης ἄνευ τῷ Κυρίῳ εὐαρεστήσαντας· ἐπεὶ κἀκεῖνοι πρότερον πάντα τοῖς πένησι διανείμαντες, οὕτω τοὺς ἐν μέσῳ θορύβους κατέλιπον· φέρε δὲ καὶ ἀπὸ κοινῶν ἐννοιῶν ἴδωμεν ταύτης καὶ τὸ τῆς κτήσεως ῥᾴδιον, καὶ τὸ χρήσιμον.

Εἰπὲ γάρ μοι, εἰ ἐχρεώστεις χιλίας λίτρας χρυσίου, καὶ τῇ τοῦ δανειστοῦ χρηστότητι προὔκειτο πάλιν, εἰ πᾶν τὸ εὑρισκόμενόν σοι, δώσεις ἀπαλλαγῆναί σε παντὸς τοῦ χρέους εὐθύς· οὐδὲν δὲ, καθ' ὑπόθεσιν, ἐκέκτησο πλὴν νομισμάτων τριῶν· οὐκ ἂν ταῦτα μετὰ προθυμίας ἐπέδωκας; εἴπερ ὑπῆρχες δουλεύων ἐν ἀλλοφύλοις αἰχμάλωτος, καί σοι προὔκειτο δουλεύειν ἐν ἐσχάτῃ ταλαιπωρίᾳ σιδηροφοροῦντα δι' ὅλου· εἶτα μετὰ τοῦτο κεκήρυκτο, ἀπελεύθερον εἶναί σε τοῦ λοιποῦ, μόνον εἰ τὰ περιττεύοντά σοι τῶν ὄντων παρέξεις τοῖς χρήζουσιν, οὐκ ἂν καὶ αὐτὰ παρέχες τὰ ἀναγκαῖα; εἰ ἐπωλεῖτο τὸ οἰκούμενον μέρος τῆς γῆς τοσούτου τιμήματος, ὅσου τιμᾶται τὰ σὰ, οὐκ ἂν πάντα προθύμως παρέχες, ὥστε ταύτης γενέσθαι Κύριος; καὶ ζημίαν ἐσχάτην ἡγήσω, τὸ ἐκπεσεῖν ἐμπορίας καὶ κέρδους τοσούτου; εἴ τις σε γεγηρακότα, καὶ ἀποθνήσκειν ἐν ἐσχάτῃ πενίᾳ μέλλοντα, ἐξαίφνης πόνου δίχα καὶ κόπου νέον ποιήσειν ὑγιέ-

ὑγιέστατον, ἀθάνατον, καὶ πλουσιώτατον ἐπηγγείλατο, εἰ μόνον ἓν κτῆμα τῶν σῶν τοῖς συνδούλοις χαρίσῃ τοῖς σοῖς, οὐκ ἂν τοῦτο αὐτίκα παρέχες προθύμῳ ψυχῇ; εἴπερ ὑπῆρχες ἀνθρώπων ἁπάντων πενέστατος, ὑπέσχετο δέ σοι ὁ βασιλεὺς, εἰ μίαν μόνην τῶν ἐντολῶν αὐτοῦ τηρήσῃς, μετὰ μικρόν σε βασιλέα ποιήσειν ἀθάνατον, οὐκ ἂν προθυμότατα ταύτην ἐτήρησας; εἴτις σοι τῶν τοῦ κόσμου ἀρχόντων μυρία τῶν αὐτοῦ ἀγαθῶν ἐχαρίζετο εἰς ἀπόλαυσιν, χιλιοστημόριον μόνον τούτων παρὰ σοῦ ἀπαιτῶν, καὶ τοῦτο πάλιν διὰ σὲ, καὶ τὴν σὴν εὐδοκίμησιν, οὐκ ἂν προθύμως παρεῖχες τὸ αἴτημα; εἰ διὰ τῶν σῶν ἁμαρτημάτων τὸ πλῆθος ἀπόφασιν ὁ κριτὴς ἀπεφήνατο κατὰ σοῦ, ὥστε ἀποθανεῖν σε σήμερον αἴσχιστα, ἐὰν μὴ τὸ ἑκατοστημόριον τῶν σῶν ὑπαρχόντων χαρίσῃ τῇ βουλῇ καὶ τῷ δήμῳ, οὐκ ἂν ἀσμένως καὶ τὸ ἥμισυ τούτων ἐκένωσας; εἴτις σοι πάσας τὰς ἀναπαύσεις ἐν μιᾷ καιροῦ ῥοπῇ, καὶ πάσας τὰς κολάσεις ἐδείκνυ, καὶ τῶν μὲν τὴν ἀπαλλαγὴν ὑπισχνεῖτο, τῶν δὲ τὴν ἀπόλαυσιν ἐχαρίζετο, ᾔτεῖτο δὲ παρὰ σοῦ τῶνδε χάριν μικράν τινα δωρεὰν, οὐκ ἂν τούτῳ ἀσμένως πάντα παρέχες τὰ σὰ, ἢ γοῦν τὸ αἰτούμενον; Ἀλλὰ μὴ θαυμάσῃς· μᾶλλον δὲ θαύμασον, καὶ ἐκπλάγηθι, ὅτι πάντα ταῦτα μόνη δύναται ποιεῖν ἡ ἐλεημοσύνη· ὁ γὰρ ἐλεῶν καὶ ποιῶν τὴν ἐλεημοσύνην, καὶ ἀγαπῶν τοὺς πτωχοὺς διὰ τὸν Κύριον, καὶ τοῦ ἀπείρου τῶν ἁμαρτιῶν λυτροῦται χρέους, καὶ τῆς δεινῆς αἰχμαλωσίας τῶν δαιμόνων ἐλευθεροῦται, καὶ πάντα τὸν κόσμον μικροῦ ὠνεῖται τιμήματος, καὶ ἀνανεοῦται καθάπαξ, καὶ μένει ἀθάνατος, καὶ βασιλεύει βασιλείαν οὐράνιον, καὶ ἅτε δοῦλος εὐγνώμων, πάντα τὰ τοῦ Κυρίου κληρονομεῖ, καὶ τῆς πρὸς τοὺς ἐξ εὐωνύμων ἀποφάσεως οὐκ ἀκούει, καὶ τὴν δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κλῆσιν ἀξίως τῷ ὄντι πλουτεῖ, καὶ πάσης ἀπαλλαττόμενος τιμωρίας παντὸς καλοῦ ἀπολαύει διηνεκῶς.

Οὐκοῦν

Οὐκοῦν κατὰ γνώμην ἐμὴν, μὴ ἀνάμενε παρελθεῖν σου τὸν βίον, ἀλλ᾽ ἕως ἂν ζῇς ἀπὸ τῆς τραπέζης σου καθ᾽ ἡμέραν, ἀπὸ τοῦ φυράματός σου καθ᾽ ἑβδομάδα, ἀπὸ τοῦ κέρδους σου κατὰ μῆνα, ἀπὸ τῶν ἱματίων σου κατὰ καιρὸν, ἀπὸ τῆς εἰσόδου σου κατ᾽ ἐνιαυτὸν, μεταδίδου τοῖς χρήζουσι· μᾶλλον δὲ ἐκ πάντων δι᾽ ὅλου θησαύριζε καὶ συνάγαγε εἰς τὰς ἀποθήκας τῶν οὐρανῶν. Θησαυρίζεις τῷ σώματι, θησαύρισον καὶ τῇ ψυχῇ· προνοῇ τῶν σαυτοῦ, ἐπιμελήθητι καὶ τοῦ πέλας· ἀπολαύεις τῶν ἐνεστώτων, προνοήθητι καὶ περὶ τῶν μελλόντων. Διὰ τοῦτο βοῦς μακροχρόνιον, ὅτι ἡμῖν συμπονεῖ· χοῖρος βραχύβιον, ὅτι ἑαυτῷ βούλεται ζῆν· μέλιττα χρήσιμον, ὅτι ἡμῖν θησαυρίζει· κάνθαρος ἄχρηστον, ὅτι ἑαυτοῦ μόνον ἐπιμελεῖται· γνῶθι, καὶ εὐχαρίστησον τῷ Θεῷ, ὅτι οὐ τῶν αἰτούντων ἀλλὰ τῶν διδόντων ἐγένου· οὐ τῶν ξένων καὶ πτωχῶν, ἀλλὰ τῶν εὐπόρων καὶ ἐγχωρίων· οὐ τῶν δουλευόντων καὶ θλιβομένων, ἀλλὰ τῶν χαιρόντων καὶ ἐλευθέρων· οὐ τῶν ἀῤῥωστούντων καὶ χρεωστούντων, ἀλλὰ τῶν ὑγιαινόντων καὶ δανειζόντων. Λόγισαι πόσον δίκαιος εἶ δοῦναι ὥστε μὴ ἀκοῦσαι τότε πρὸς τοῦ Κυρίου τὰ φρικώδη ἐκεῖνα ῥητὰ, τὸ, πορεύου ἀπ᾽ ἐμοῦ εἰς τὸ πῦρ τὸ αἰώνιον· τὸ, „ πονηρὲ δοῦλε καὶ ὀκνηρέ· τὸ, ἄρατε ἀπ᾽ αὐτοῦ τὸ τά- „ λαντον· τὸ, δήσαντες αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πό- „ δας ἐμβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· τὸ, ὑπά- „ γετε, οὐκ οἶδα ὑμᾶς· τὸ, οὐδέποτε ἔγνων ὑμᾶς· καὶ „ τὸ, πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ ἐργάται τῆς ἀνομίας· ὢ πό- „ σα ἄν τις προθύμως παρέχετο χρήματα, ἵν᾽ ἀκούσῃ „ τὸ, δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου· τὸ, εὖ δοῦλε „ ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε „ καταστήσω· τὸ, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· „ καὶ τὸ, ἀνακλιθῆναι μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ταῦτα καὶ τὰ τοιαῦτα καλῶς ἀναλογιζόμενος λοιπὸν, διὰ τῆς χρηστῆς μεταδόσεως, καὶ ὑψώθητι

ἕως ζῇς, καὶ δοξάσθητι ἐν ἀνθρώποις, καὶ σώθητι ἐν Θεῷ. Ἐλεημοσύνην δὲ λέγω, οὐχ ἵνα ἐλεήσῃς ἕνα, καὶ ἅπαξ, ἀλλ᾽ ὡς ἂν ἐλεήσῃς παντὶ τρόπῳ τοὺς πάντας, καὶ πάντοτε· τὸν μὲν ὡς συγγενῆ, τὸν δ᾽ ὡς φίλον· καὶ τὸν μὲν ὡς γείτονα, τὸν δ᾽ ὡς γνώριμον, τὸν δὲ ἤθει, τὸν δὲ λόγῳ, τὸν δὲ ἔργῳ, τὸν δὲ πράγματι· καὶ τὸν μὲν βρώματι, τὸν δὲ πόματι, τὸν δὲ ἐνδύμασι· καὶ τὸν μὲν στέγῃ, τὸν δὲ φιλοφροσύνῃ, τὸν δὲ τιμῇ· καὶ ἁπλῶς ἅπασι τρόποις, οἷς δύνασαι· ἕξεις συνόντα σοι ἀχωρίστως τὸν εἰς τοῦτό σε ποδηγοῦντα Χριστόν· ὃν, καθ᾽ ὃν τρόπον οὐ διαλείπει εὐεργετῶν σε, μὴ παύσῃ μιμούμενος ἐν τῷ εὐεργετεῖν· ᾧ ἡ δόξα σὺν τῷ Πατρὶ αὐτοῦ, καὶ τῷ Πνεύματι. Ἀμήν· Ἀμήν· Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ

# ΛΟΓΟΣ.

## ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΕΙΣ ΤΗΝ ΘΕΟΤΟΚΟΝ.

Εἴρηται δὲ ἐν τῇ Μονῇ τῶν Ὁδηγῶν, μετὰ τὴν ἐκ τῆς χώρας τῆς εἰκόνος ταύτης ἐπάνοδον.

Θεοῦ τοῦ παντοδυνάμου πλούσιον λόγον ἡμῖν χορηγοῦντος ἐν ἀνοίξει τοῦ στόματος, ὥσπερ πᾶν νόημα ἐπιὸν, καὶ μηκῦναι, καὶ πλατῦναι, καὶ ἐπεξεργάσασθαι ἱκανὰ δέῃ, καὶ συντεμεῖν τὸ αὐτὸ καὶ συστεῖλαι, καὶ πλεῖστα ἐν ὀλίγοις σημᾶναι, καλοῦντος καιροῦ, ἐπεὶ καὶ τὸ τῆς ὥρας στενὸν ἀρτίως εἰπεῖν συντόμως βιάζεται, καὶ ὁ τοῦ πλήθους ὠθισμὸς ταύτῃ χρήσασθαι πείθει, καὶ ὁ πολὺς ἡμῶν ἱδρὼς οὗτος πρὸς τοῦτο παρακαλεῖ· λοιπὸν δίχα διττῶν προοιμίων, καὶ μακρῶν διηγήσεων, καὶ γενναίων ἀγώνων, καὶ στεῤῥῶν ἀντιθέσεων, καὶ δεινῶν ἐπιλόγων, τὸν λόγον τοῦτον ποιήσομαι. Πλὴν ὅστις φιλακροάμων ἐφίεται τελεώτερον περὶ τούτων ἀκοῦσαι, κατὰ τὴν δευτέραν ὥραν τῆς ἐπιούσης Τρίτης, Θεοῦ διδόντος, ἀκούσεται· νῦν δὲ θαῤῥοῦντες θᾶττον ἀπαλλαγήσεσθαι τῶν ἐνοχλούντων τούτων, προθύμως ἅμα καὶ ἀσμένως προσέχετε.

Ἄνδρες Ῥωμαῖοι, ἄνδρες ὀρθόδοξοι, ἄνδρες ἠγαπημένοι ἐν Χριστῷ, θέσθε θέσιν ἀληθείας ταῖς καρδίαις ὑμῶν, ἰδοὺ κἀν τῷ Ναῷ τῶν Σεπτῶν Ἀποστόλων, καὶ εἰς τὰ προαύλια τῆς χώρας τῶν Ζώντων, παῤῥησίᾳ τοῖς πᾶσιν ἐξήγγειλα· ὅτι καὶ ὁ πρωτόκλητος Ἀνδρέας, μετὰ τῶν ὑπ' αὐτὸν ὀρθοδόξων Πατριαρχῶν, καὶ ὁ πρῶτος ἐν βασιλεῦσι χριστιανὸς Κωνσταντῖνος ὁ μέγας, καὶ κτίτωρ τῆς Πόλεως, καὶ πάντες οἱ ὀρθόδοξοι βασιλεῖς, οἵτε Πατέρες ὑμῶν τῶν ἐν τέλει, καὶ οἱ Πάπποι, καὶ οἱ Πρόπαπποι, μέχρι τῶν ἐλθόντων ἀπὸ τῆς Ῥώμης· πρὸς δὲ καὶ οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ θεοφόροι Πατέρες, οἱ λειτουργήσαντες ἅμα καὶ ἀφιερώσαντες τὴν Πόλιν ταύτην τῇ Θεοτόκῳ, ἅπαντες οὗτοι παρίστανται τῷ θρόνῳ τῆς μεγαλωσύνης ἐν τοῖς ὑψίστοις, καὶ ἱκετεύουσιν, ὥστε ταύτην ἀνάλωτον μεῖναι, μέχρι τῆς κρίσεως· καὶ ὁμολογουμένως τῇ στάσει τοῦ προσκαίρου αἰῶνος, καὶ ἡ μεγαλόπολις συμπαρεκτανθήσεται, οὐκ ἐκ τῶν ἐνοικούντων δυναμουμένη, ἀλλ' ἐκ τῆς Θεοτόκου κρατυνομένη· εἰ δὲ τοῖς ἐμοῖς ἀπιστεῖτε λόγοις, τοῖς γινομένοις θαύμασι, καθ' ἑκάστην πρὸς τὸ συνίστασθαι ταύτην πιστεύσατε· ταυτὸν γὰρ γίνεται περὶ ταύτην, ἀφ' οὗ συνέστη, οἷον καὶ περὶ τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἐγένετο· πόσοι γὰρ Βασιλεῖς, καὶ Τύραννοι, καὶ Σατράπαι, καὶ ἄπιστοι, καὶ αἱρετικοὶ, καὶ ἄθεοι κατ' αὐτῆς ἔπνευσαν; Πέρσαι καὶ Σκύθαι ἐξ Ἀνατολῶν, Σαυρομάται καὶ Γότθοι ἀπὸ Βοῤῥᾶ, Βούλγαροι καὶ Παίονες ἐκ Δυσμῶν, Ἀγαρηνοὶ καὶ Ἄραβες ἀπὸ Νότου· καὶ ἅμα πάντες καὶ ἰδίᾳ ἕκαστος οὐ διέλειπον παντὶ σθένει φερόμενοι κατ' αὐτῆς, ἀλλ' ὅμως ὑπὸ τοσούτων πολεμουμένη ἀήττητος στήσεται, ἕως ἂν μένῃ πίστις ὀρθόδοξος.

Συμμαρτυρεῖ μου τῷ λόγῳ καὶ Δανιὴλ ὁ Προφήτης ἐν ταῖς ὁράσεσι, καὶ ὁ Εὐαγγελιστὴς Ἰωάννης ἐν τῇ Ἀποκαλύψει, καὶ ὁ Ἀπόστολος Παῦλος ἐν τῇ δευτέρᾳ πρὸς Θεσσαλονικεῖς, καὶ ὁ Κύριος ἐν Εὐαγγελίοις λέγων

γων „ ἄρα ἐλθὼν ὁ Υἱὸς τȣ̃ ἀνθρώπȣ εὑρήσει τὴν πί- “
ςιν· καὶ πρόγε πάντων, ὁ μίαν εἰκόνα συνεχῆ πάσας “
τὰς βασιλείας παραδείξας τῷ Προφήτῃ Θεός· ἐδὲ γὰρ
ἔςι τὶ κνήμης μεταξὺ καὶ ποδὸς, ἐδὲ σιδήρȣ καὶ ὀςρά-
κȣ τὸ σιώολον, ὡς ἐδὲ Ἑλλήνων τι καὶ Ῥωμαίων με-
ταίχμιον. Εἰ δὲ καὶ μόνη τῶν ἀπηλπισμένων ἐλπὶς ἐςὶν
ὁ Θεὸς, ἡ βοήθεια τῶν ἀβοηθήτων, καὶ τῶν ἀδικȣ-
μένων ἐκδικητὴς, ἡμεῖς δὲ παρεδόθημεν ἐκ εἰς θάνα-
τον, ἐδὲ εἰς ζημίαν, ἐδὲ εἰς ὄνειδος, ἐδ' εἰς τέλειον
ἀφανισμὸν καὶ παντελῆ ἐξολόθρευσιν· ἤγȣν ἵνα τὰς
μὲν Ἐκκλησίας ἐκ θεμελίων κατασκάψωσι, τὸν δὲ χρι-
ςώνυμον λαὸν τῆς πόλεως αἰχμάλωτον εἰς πάσας τὰς
Σατραπίας διασκορπίσωσι, τȣ̀ς μοναχȣ̀ς καὶ ἱερεῖς,
τȣ̀ς μὲν μαχαίρᾳ, τȣ̀ς δὲ θαλάσσῃ, τȣ̀ς δὲ πυρὶ πα-
ραδώσωσι, τὸν τῆς Σοφίας ναὸν, καὶ πάσας τὰς ἁγίας
Μονὰς βεβηλώσωσι, Πατριάρχȣ δὲ καὶ Βασιλέως ὄνο-
μα ὀρθοδόξȣ ἐκ μέσȣ πάντῃ ποιήσωσι· ταῦτα δὴ πάν-
τα σκαιωρȣ́μενα καθ' ἡμῶν ἱκανὰ τὸν Θεὸν διεγεῖραι εἰς
ἡμῶν τῶν ἀβοηθήτων βοήθειαν. Ὅθεν καὶ ἤγειρεν
ἡμῖν πρόμαχον ἄμαχον, τὴν δέσποιναν ἡμῶν Θεοτόκον·
καὶ συνήθως πάλιν ἡμῶν ἀντελάβετο, καὶ τῆς παγίδος
τῶν ἐνεδρευόντων ἡμᾶς προφανῶς ἐλυτρώσατο.

Οὕτως ȣ̂ν ἔχει τὰ καθ' ἡμᾶς, καὶ ȣ̓χ ὥςτινες
οἴονται, ὅτι ὠργίσθη ἡμῖν ὁ Θεὸς, καὶ ἀπέῤῥιψεν ἡμᾶς
ἀπὸ προσώπȣ αὐτȣ̃, καὶ τέλεον ἐγκατέλιπεν· ἐκ ἔςι
τȣ̃το ἐκ ἔςιν, ἐδ' ȣ̓ μὴ γένηται· ἀνδρῶν καθ' ἡμῶν φε-
ρομένων αὕτη ἐςὶν ἡ ὑπόληψις, οἱ πρὸς τὸ παραδȣ̃ναι
τὸ γένος ἡμῶν εἰς ἀπώλειαν, καὶ τὸν Θεὸν αὐτὸν συ-
νεργὸν ἔχειν πρὸς τȣ̃το καυχῶνται, καὶ ἐκ ἐντρέπον-
ται· ἀλλ' ἐπηρεαζόμενοι παρὰ τῶν οἰκείων, καὶ ἐπιβȣ-
λευόμενοι παρὰ τῶν γειτόνων, ἠναγκάσθημεν, ὡς μὴ
ὄφελεν! ἀπολύσαι τȣ̀ς ἐχθρȣ̀ς, ȣ̀ς ὁ Θεὸς ἡμῖν δίχα
πόνων παρέδωκε· τȣ̃το προδήλως ȣ̓κ ἐκ Θεȣ̃, ἀλλ' ἐξ
ἀνθρώπων ἡμῖν ἐπεγένετο· καὶ ἵνα τὸ τȣ̃ Παύλȣ ἐρῶ,

πειρασμὸς ἡμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος· εἰ δὲ μὴ πᾶσιν οὕτω δοκεῖ, οὐδὲν ἀπεικός· οὐδὲ γὰρ ἴσασι πάντες, ὡς ἄλλο ἐστὶ πειρασμὸς, καὶ ἄλλο ἐστὶ Θεοῦ ἐγκατάλειψις· καὶ πολλάκις ἐπιβάτης κινδυνεύων εἰς πλοῖον, οὐκ εὐλόγως αἰτιᾶται τὸν Ναύκληρον· καὶ στρατιώτης ἐν στρατοπέδῳ τραυματιζόμενος, οὐκ ὀρθῶς ἐπαρᾶται τῷ Στρατηγῷ· καὶ ἐν πολιορκίᾳ πάσχων πολίτης ἐν πόλει, οὐ πάντοτε μετὰ λόγου τὸν Βασιλέα κατηγορεῖ.

Ἀλλὰ δεῦρό μοι πάντες τὸν νοῦν τείναντες τῇ Θεοτόκῳ προσέλθωμεν εὐλαβῶς· ὅλῃ ψυχῇ ἀποδῶμεν αὐτῇ τὰ εὐχαριστήρια, καὶ εἴπωμεν ταύτῃ δουλικῶς „ χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ· εὐλόγηταί σου τὸ ὄνομα, δεδόξασταί σου ὁ βίος, ἐθαυμαστώθη τὰ θαύματα· εὐφράνθητι ἐπ' αὐτῇ οὐρανὲ, χόρευσον γῆ, σκίρτησον θάλασσα, ἐπαινέσατε αὐτὴν οἱ προφῆται, δοξάσατε ἀπόστολοι, θαυμάσατε μάρτυρες, εὐφημήσατε ἅπαντες· ἐγὼ δὲ οἷον στόμα ὑμῶν τῶν πρός με ἀτενιζόντων γενόμενος, ἀντὶ πάντων πρὸς ταύτην ἐρῶ. Εὐχαριστοῦμέν σοι πάντες ὑπὲρ πάντων ὦ Δέσποινα, ὧν ἐν τοῖς ἄνω χρόνοις ἐποίησας τοῖς πατράσιν ἡμῶν, προασπίζουσα ταύτης τῆς Πόλεως, καὶ ὧν ἐθαυματούργησας νῦν εἰς ἡμᾶς προφανέστατα καὶ στόματι, καὶ καρδίᾳ, καὶ νῷ, καὶ ψυχῇ, καὶ φωνῇ τὰς πρὸς ἡμᾶς σοῦ κηρύττομεν χάριτας, καὶ πρόμαχον ἀήττητον διαρρήδην ὁμολογοῦμέν σε, καὶ προστάτην ἡμῶν ἀκαταίσχυντον· καὶ ἡμᾶς αὐτοὺς ἕκαστοι καὶ ἀλλήλους, καὶ σώματα καὶ ψυχὰς, καὶ τὰ ἡμέτερα πάντα, καὶ τὴν Πόλιν ἡμῶν ταύτην, μᾶλλον δὲ σὴν, ἐπὶ σὲ ἀνατίθεμεν, καὶ τῆς ἡμῶν πρὸς σὲ πίστεως ταύτης, μετὰ πολλῶν καὶ ταῦτα μαρτύρια, ὡς ἅμα τῷ ἀκουσθῆναι τὴν τοῦ ἀσεβοῦς καθ' ἡμῶν ταύτην ἔφοδον, εὐθὺς ἐπὶ σὲ τὰς ἐλπίδας ἐθέμεθα, καὶ μηχαναῖς πολυτρόποις ἑλεῖν ἡμᾶς πειρωμένου ἐπὶ σὲ κατεφύγομεν· καὶ δὴ ἀπελθόντος κατῃσχυμμένου, σοὶ μόνῃ τὰ νικητήρια ἐπιγράφομεν· καθάπερ

περ τὴν ἀρχὴν, ἅτε στρατηγὸν ἀπροσμάχητον τὴν σὴν εἰκόνα τῆς οἰκείας μεταστήσαντες στάσεως, περὶ τὰ τείχη τῆς Πόλεως προπολεμήσουσαν μετηγάγομεν, οὕτω καὶ νῦν νικητὴν καὶ τροπαιοῦχον προφανῶς γενομένην, εἰς τὰ ὅθεν τὴν ἀρχὴν εἰλήφαμεν, φέροντες ἐνιδρύσαμεν· πᾶσα ἡ πόλις ἐστερήθη τῇ ταύτης ἀποδημίᾳ, καὶ μακρὰ τῇ μακρᾷ μετοικίᾳ λελύπηται, ἀλλὰ καὶ πᾶσα πάνυ λαμπρῶς ἑώρτασε νῦν τὴν ταύτης ἐπάνοδον.

Ἡ Σκηνὴ τοῦ Μαρτυρίου ποτὲ, ἐκ τοῦ Σινᾶ ὄρους, εἰς τὸ Σιὼν ὄρος μεταφερομένη, σταυροειδῶς ταῖς τῶν Ἑβραίων φυλαῖς παρεπέμπετο· καὶ Δαυὶδ ὁ βασιλεὺς καὶ προφήτης τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου εἰς Ἱεροσόλυμα μετάγων ἀπὸ Σηλὼμ, ἐνδεδυμένος Βαδδὶν· καὶ μετὰ χεῖρας ἔχων ψαλτήριον ἦσεν αὐτῇ τὸ καλὸν ἐπεισόδιον, ἐχόρευσεν, ἐσκίρτησεν, ἥλατο πρὸ ταύτης ἐνθουσιῶν, καὶ ἀγαλλιώμενος Πνεύματι· πρὸς δὲ καὶ ὁ τούτου παῖς Σολομὼν, εἰς τὸ Δαβὴρ τοῦ οἴκου, τὰ τῶν ἁγίων ἅγια ταύτην εἰσαγαγὼν, καὶ προτυπῶν τὰ ἐσόμενα, πάντα φιλοτιμότατα τὸν βασίλειον αὐτοῦ περικείμενος κόσμον, καὶ τὴν ἐπιλάφωτον λυχνίαν φέρων, περιφανῶς αὐτῆς προηγήσατο· ἔκτε τῆς πατρῴου οἰκείας εἰς τὴν ἁγίαν Σιὼν τριετοῦς ἀπιούσης, ψαλμικῶς ἐν εὐφροσύνῃ πολλῇ καὶ ἀγαλλιάσει, θαλαμευόμεναι κόραι, παρθένοι λαμπαδηφόροι ὀπίσωσου ἔδραμον· καὶ ὁ κλεινὸς Ζαχαρίας χερσί σε ὑπτίαις προσιέμενος ὑπεδέξατο· καὶ ταῦτα μὲν δὴ τὰ κατὰ τὴν Παλαιστίνην πάλαι τετέλεσται· τὰ δὲ νῦν ἐν Κωνσταντινουπόλει γενόμενα οἷα; ὁ μέγας τῆς οἰκουμένης καὶ ἄκρος Ἀρχιερεὺς, καὶ πᾶν τὸ περὶ αὐτὸν βασίλειον ἱεράτευμα· Βασιλεὺς αὐτὸς, καὶ βασιλέως υἱοί· Ἄρχοντες Ἀρχόντων, καὶ πάντες οἱ πλούσιοι τοῦ λαοῦ· μοναστὰι καὶ μιγάδες, πρεσβύτεροι καὶ νεώτεροι, παρθένοι καὶ χῆραι, καὶ αἱ ὑπὸ ζυγὸν, ὅσον ἡμεδαπὸν, καὶ

 ὅσον

ὅσον παρεπίδημον, πᾶς ὁ περιούσιος οὗτος λαός σου, τὸ χριστώνυμον ἔθνος καὶ ἅγιον, ἐκ τῆς τῶν Ζώντων χώρας εἰς τὴν μονὴν τῶν Ὁδηγῶν τῆς σῆς εἰκόνος ἐπανιούσης, λαμπαδηφόρος μεθ᾽ ὕμνων ἐπινικίων, κύκλωθεν ταύτην περιστοιχῶν, ἐλιτάνευσεν.

Εὐφράνθη δὲ μέγα καὶ ἡ Ἐκκλησία ταύτην προσδεξαμένη, ἀνθομολογουμένη τοῖς πᾶσι καὶ λέγουσα, μεγαλύνει ἡ δόξα μου τὸν Κύριον, ἀποδόντα μοι τροπαιοφόρον τὴν ὑπέρμαχον στρατηγὸν καὶ ἀήττητον, τὴν κραταίωσιν τῶν δογμάτων μου, καὶ ἀντίληψιν τῆς ἐμῆς πτωχείας, καὶ ἀνάπαυσιν τῶν ἐμῶν κροτάφων· καὶ ταῦτα πέπρακται παρ᾽ ἡμῶν, οὐχ ὅτι δέῃ τινὸς τῶν ἡμετέρων αὐτὴ, ἀνενδεὴς οὖσα, καὶ πλήρης, καὶ πασῶν ἀνθρωπίνων χαρίτων ἐπέκεινα, ἀλλ᾽ ὅτι πάντες ἡμεῖς τῆς σῆς βοηθείας καὶ ἐν πολλοῖς, καὶ πολλάκις, καὶ νῦν εἴπερ ποτε ἀπηλαύσαμεν· ὡς εἰ μὴ σὺ προΐστασο τρίμηνον ὅλον μεταξὺ τῶν ἀθέων ἐκείνων καὶ ἡμῶν τῶν ἐντὸς, τοὺς μὲν καταργοῦσα, τοῖς δὲ βοηθοῦσα, πάλαι ἂν ἦμεν μαχαίρας ἔργον γεγενημένοι, καὶ τοῖς ἐχθροῖς παρανάλωμα· καθὼς καὶ πόῤῥω νυκτῶν, καὶ μεσημβρινῶν μέσων πολλάκις τῶν φυλάκων ἐκεῖθεν ἀπόντων, ἢ ῥαθυμούντων ἄλλως, μόνη τῶν πύργων καὶ τῶν ἐπάλξεων ὕπερθεν, φοβερὰ φαινομένη τοῖς ἀλαζόσιν ἐκείνοις, περιήρχου κύκλωθεν, τὴν πόλιν φυλάττουσα, καὶ ταῦτα πότε; ἡνίκα καὶ ἠπειρῶται, καὶ νησιῶται, καὶ οἱ ἐκ γῆς σύμμαχοι, καὶ οἱ ἐκ θαλάττης, πρὸς δὲ καὶ οἱ ἐν τῷ λιμένι τούτῳ τυχόντες, ἔφυγον ἅμα καταλιπόντες ἡμᾶς ὡς ἤδη ἀπηλπικότας, καὶ οὐδεμίαν ὁθενοῦν βοήθειαν ἔχοντας· καὶ τοῦτο ἐστὶ τὸ τοῦ θαύματός σου παράδοξον, ὅτι καὶ τῶν ἐχθρῶν σφοδρῶς ἡμῖν ἐπιτιθεμένων, καὶ τῶν φίλων πάντων ἀπεγνωκότων ἡμᾶς, καὶ τῶν γειτόνων ἀναιδῶς ἐπεμβαινόντων, καὶ τῶν ἐντὸς ἐπιβουλευόντων, καὶ ἡμῶν πρὸς ἀλλήλους διαφωνούντων, μόνη αὐτὴ καὶ ἀήττητος καὶ ἄτρεπτος

πτος

πλος μείνασα, παρὰ πᾶσαν ἐλπίδα ταύτην ἐτήρησας ἄτρωτον, ἵνα μηδεὶς ἔχῃ λέγειν, ὡς ἐξ ἀνθρωπίνης ἐπινοίας, ἢ βοηθείας ἡ πόλις σου σέσωσαι· ταύτῃ τοι καὶ σοὶ μόνῃ τὰ σῶστρα καὶ νικητήρια ἐπιγράφομεν, ὅτι καὶ σὺ μόνη Κυρία τῷ ὄντι καὶ φερωνύμως ἐν γυναιξὶ καλὴ Μαριάμ· ὅτι καὶ μόνη Κυρία τοῦ κόσμου ὑπάρχεις αὐτὴ, καὶ ὅτι μόνη ῥύῃ ἅπαντας τοῦ μισοκάλου.

Πλὴν εἴτις ὑμῶν θέλει τὴν Θεοτόκον τιμῆσαι ὡς αὐτὴ βούλεται, τρισὶ τούτοις ταύτην τιμάτω περιφανῶς· λογισμῷ καιρίῳ, λόγῳ ἁγίῳ, καὶ ἔργῳ θεοφιλεῖ. Λογισμῷ, ἵν' ὅτι πάντοτε τῶν ταύτης ἀπείρων χαρίτων αἷς καλῶς πάντα τὸν κόσμον ἐκόσμησε, καὶ μέμνηται, καὶ κατανοῇ, καὶ θαυμάζῃ ἐν ἑαυτῷ. Λόγῳ, ἵνα διὰ βίου παντὸς καὶ εὐφημῇ, καὶ δοξάζῃ, καὶ διηγῆται τὰ μεγαλεῖα ταύτης τὸ κατὰ δύναμιν. Ὅτι συνάφεια γενομένη τοῦ Θεοῦ καὶ τῶν τούτου κτισμάτων, τὸν Θεὸν τῇ ἑαυτῆς μεσιτείᾳ ἐποίησεν ἄνθρωπον, καὶ τὸν ἄνθρωπον εἰργάσατο Θεόν· ὢ φρικτοῦ καὶ παραδόξου ἀκέσματος! τὸν οὐρανὸν συνῆψε τῇ γῇ, τὴν γῆν οὐράνωσε, τοὺς Ἀγγέλους τοῖς ἀνθρώποις κατήλλαξε, τοὺς ἀνθρώπους τοῖς Ἀγγέλοις συνέμιξε, τὸ ἀνθρώπινον γένος φθαρὲν ἀνεκαλέσατο, ὑπὲρ τοῦ κόσμου παντὸς πρεσβεύει τῇ Τριάδι παριςαμένη, χριςιανοῖς προξενεῖ πᾶν σωτήριον, καὶ κατὰ τῶν ἐχθρῶν τῆς Πόλεως ταύτης ξένα ἵςησι τρόπαια. Ἔργῳ, εἴπερ τι πράττεις ὧν μισεῖ Θεὸς, ταύτην χάριν εὐχαριςήριον χάρισαι τῇ πλήρει χαρίτων καὶ τοῦ Θεοῦ Λόγου Μητρὶ, τάχιον ἔκκλινον ἀπ' αὐτοῦ, ὡς ἐκ προσώπου πυρὸς, καὶ ςραφεὶς πρὸς τὴν ταύτης εἰκόνα τὴν Ὁδηγήτρειαν εἰπὲ ῥητῶς οὑτωσί· διὰ τὸ σὸν ἀειπάρθενε ὄνομα, τῆς πονηρᾶς τῆς δε πράξεως καθάπαξ ἀφίςαμαι· εἰ μνησικακεῖς πρός τινα, διὰ τὴν πρὸς τὴν Θεοτόκον ἀγάπην τὴν πρὸς αὐτὸν ἔχθραν κατάλυσον,

σον, θαῤῥέντως ἔτως εἰπὼν, διὰ τὰς πρὸς ἡμᾶς σε ἀπείρες εὐεργεσίας πανύμνητε, ἀφίημι τῷ δε τὴν ἔχθραν ὁλοτελῶς· ἔχεις καὶ γείτονα πτωχὸν, ἐνδύματος χρήζοντα, βρώματος, χρήματος, δεῖξον τῇ Θεοτόκῳ τὴν πρόθεσίν σε ἐξ ὅλης ψυχῆς, καὶ μετάδος τέτῳ τῆς χρείας εἰπὼν, εἰς μικρὰν ἀμοιβὴν τῶν μεγάλων σε πρόσμε χαρίτων τἕτο δίδωμι τῷ πλησίον με Δέσποινα. Τοιαύταις ἡ Παναγία θεραπεύεται χάρισι, τοιέτοις χαίρει ἐπαίνοις, τοιαῖς δε πράξεσιν ἐπιτέρπεται· ἂν ἔτω ταύτην φιλοτιμώμεθα, καὶ παρὰ πάντα τὸν βίον σκέπην ταύτην πλετήσομεν, καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδε προςασίαν ἑτοίμην εὑρήσομεν, καὶ μεσίτην ἐν ἡμέρᾳ τῆς κρίσεως ἕξομεν, ῥυομένην μὲν ἡμᾶς τῇ πυρὸς τῆς γεέννης, ἀξιῦσαν δὲ τῆς ἐκ δεξιῶν τῇ Υἱῇ αὐτῆς ςάσεως.

Ἀλλὰ τὶς παραςῆσαι λόγος ἰσχύσει, τὰς πρὸς ἡμᾶς σε ἀπείρες εὐεργεσίας πανύμνητε; αὐτὴ τοίνυν κυριώνυμε κόρη καὶ μυριώνυμε, ἣν ἀνυμνῦσιν ἅπασαι τῶν Ἀγγέλων χορεῖαι, καὶ γλῶσσαι αἱ φλογεραὶ καὶ πυρίμορφοι, καὶ τῶν ἀσωμάτων τὰ ςόματα· τῶν ἡμετέρων ψυχῶν ἀναψυχὴ, τὸ τῶν καρδιῶν ἡμῶν ἀγαλλίαμα, τῶν ὀμμάτων ὁ φωτισμὸς, τῶν λαρύγγων ὁ γλυκασμὸς, καὶ τῶν ὀδυνῶν ὁ κεφισμὸς, τῶν λυπεμένων ἡ παραμυθία, τῶν ἀσθενέντων ἡ θεραπεία, ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, ἡ βοήθεια τῶν ἀβοηθήτων, τῶν χηρῶν ἡ προςασία, τῶν ὀρφανῶν ἡ παρηγορία, τῶν ἐν ἀνάγκαις ἡ λύτρωσις, καὶ τῶν πολεμεμένων τὸ καταφύγιον, ἡ ἁγία χώρα καὶ ἀνήροτος ἄρερα, ἡ νοητὴ καὶ ἀγεώργητος ἄμπελος, ἡ καθαρὰ γῆ καὶ ἐκλεκτὴ, ἁγιώτατε τόπε, ὄρος ἀλατόμητον, δεδοξασμένη πόλις, ἔμπνεν παλάτιον, πάντιμε θάλαμε, χρυσοπορφύρωτε παςὰς, νυμφὼν ἀχειρόπλοκε, φλόγινον ἅρμα τῇ Λόγε, ὑψηλὴ τῇ παμβασιλέως καθέδρα, ὑπερνεφὴς καὶ μετάρσιε κλίμαξ, κόσμε τῇ κόσμε, καὶ ἐρανὲ λογικὲ,

λογικὲ, ναὲ ἄσπιλε καὶ τέμενος ἄσυλον, πύλη φωτὸς, θησαυρὲ μυστηρίων, ἔμψυχε παράδεισε, πολυανθέστατε κῆπε, λειμὼν ἡδύπνοε, ἡ ἀνεξάντλητος πηγὴ, ἡ ἀδαπάνητος κρήνη, ἡ ἀέναος καὶ ἄφθονος βρύσις, ἡ καλλονὴ τοῦ Ἰακὼβ, ἡ ῥίζα τοῦ Ἰεσσαὶ, ἡ ῥάβδος τοῦ Ἀαρὼν, τὸ σκῆπτρον τοῦ θείου Δαυὶδ, τῆς ἀρετῆς τὸ βλάστημα, τὸ τῆς φύσεως ἄνθος, ὁ τῆς κτίσεως καρπὸς, ἡ τοῦ γένους εὐγένεια, ἡ παραδόξως τεχθεῖσα, καὶ συλλαβοῦσα ἀσπόρως, καὶ τεκοῦσα ἀφθόρως, τῶν ἀνθρώπων ἡ δόξα, τῶν ἁγίων τὸ κράτος, τῶν Ἀγγέλων τὸ θαῦμα, ἡ θυγάτηρ τοῦ Ἀδὰμ, ἡ χρυσέρυθρος μυροθήκη τοῦ Πνεύματος, ἡ ἀειπάρθενος Μήτηρ τοῦ Χριστοῦ, ἡ ἀνύμφευτος νύμφη τοῦ Θεοῦ καὶ Πατρὸς, ἡ ἐξαίρετος κατοικία τῆς παναγίου Τριάδος· σὺ καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον τὴν Πόλιν σου ταύτην φυλάττοις, καὶ ἀπολιόρκητον, καὶ ὀρθόδοξον, ἕως ἂν ὁ σὸς Υἱὸς ἔλθῃ κρίνων τὸν κόσμον· ᾧ ἡ δόξα σὺν τῷ Πατρὶ, καὶ τῷ Πνεύματι. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΠΕΡΙ ΚΑΡΤΕΡΙΑΣ.

## Εἴρηται δὲ μετὰ τὴν ἀπαλλαγὴν τοῦ πολέμου, ἐν τῇ τῆς Ὁδηγητρείας αὐλῇ.

Τρία ταῦτα ὀφείλει πᾶς νοῦ μετέχων ἄνθρωπος παρ' ὅσον χρόνον ζῇ· εὐχαριστεῖν τῷ Θεῷ ὑπὲρ πάντων, τοῖς πλησίον δι' ἀγάπην ἐπὶ πᾶσι συμπάσχειν, καὶ τοῖς καλῶς ἀπολιποῦσι τὸν βίον ποιεῖσθαι μνήμην διηνεκῆ· καὶ ὁ ταῦτα ποιῶν ὡς προσήκει, ἀναπολόγητος ἔσαι καὶ Θεῷ, καὶ ἀνθρώποις, ἐν ἡμέρᾳ τῆς κρίσεως· ἐπεὶ οὖν ἐνταῦθα τῶν τριῶν τούτων χάριν συνήλθομεν ἄναγχος, εὐχαριστῆσαι Θεῷ, καὶ τῇ τοῦ κόσμου δεσποίνῃ τῇ Θεοτόκῳ, ἐπὶ τῇ τῶν δεινῶν ἐκείνων ἀπαλλαγῇ, ἐν ἀγάπῃ συνησθῆναι ἀλλήλοις, καὶ μνήμην ποιήσασθαι τῶν ἐν τῷ φθάσαντι τούτῳ πολέμῳ ἀναιρεθέντων ἡμῶν ἀδελφῶν, οὐκ ἔφθημεν δὲ τηνικαῦτα, λόγου τὶ ἄξιον περὶ τούτων ἐρεῖν, τῆς ὥρας σενοχωρούσης, καὶ τῆς ἀκολουθίας κατεπειγούσης, καὶ τοῦ πλήθους τῇδε κἀκεῖσε διῃρημένου καὶ θορυβοῦντος, νῦν ὧδε φαμέν.

Καὶ πρῶτον εὐχαριστοῦμεν τῇ παναιτίῳ Τριάδι ἐπὶ πᾶσιν οἷς ἐποίησεν ἡμῖν, καὶ ποιεῖ, καὶ ποιήσει, ἐπίσης ἐπὶ τῇ τῶν ἀγαθῶν χορηγίᾳ, καὶ ἐπὶ τῇ τῶν κακῶν συγχωρήσει· εἰδότες ὅτι πάντες ἄνθρωποι, τὰ μὲν εὐεργετοῦντες ποιοῦσι, τὰ δὲ μισοῦντες τινὰς καὶ ἀποστρεφόμενοι, ὁ δὲ Θεὸς πάντα εὐεργετῶν τοὺς ἀνθρώπους ποιεῖ·

καὶ

καὶ τῷ ὄντι ἐκεῖνο ἡμῶν ἑκάστῳ συμφέρει, ὅπερ ἡμῶν ὁ Θεὸς ἑκάστῳ φέρει· καὶ τότε συμφέρει, ὅταν ἐκεῖνος φέρῃ· ὅτι καὶ πρὸ τοῦ παραγαγεῖν ἡμᾶς εἰς τὸ εἶναι, κρεῖττον καὶ ἄμεινον πάντων ὑπὲρ ἡμῶν βεβούλευται, καὶ κραταιός ἐστιν οὗτος καὶ ἰσχυρὸς, καὶ ἀήττητος, καὶ φύσει μέγας ἄρχων, καὶ φοβερὸς, καὶ θαυμαστὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων· καὶ τῷ αὐτοῦ θελήματι ἀνθέστηκεν οὐδεὶς, καὶ ὁ δοκῶν ἀνθίστασθαι τούτῳ κατάτι, μετὰ τοῦ ἄλογος εἶναι καὶ κτήνους χείρων, μηδέν τι πλέον ποιῶν, καὶ θεομάχος εὑρίσκεται. Διόπερ χρὴ μὴ μόνον ὡς λογικοὺς, ἀλλὰ καὶ ὡς εὐσεβεῖς ἡμᾶς ἑκόντας τούτῳ πείθεσθαι· τὸ γὰρ μὴ θέλοντας ἡμᾶς εἰς τὴν τοῦ Θεοῦ ἕλκεσθαι δουλείαν, ἴσον τῷ μηδὲ ὅλως δουλεύειν ἐστί· καὶ τὸ ἄκοντας ἐπὶ τοῖς συμβαίνουσιν ἕπεσθαι τῷ Θεῷ, καὶ τοῖς ἀπίστοις πρόσεστι· καὶ δεῖ μηκέτι μόνον συμπνεῖν τῷ περιέχοντι ἀέρι, ἀλλὰ καὶ συμφρονεῖν τῷ περιέχοντι πάντα νοερῷ· οὐδὲν γὰρ ἧττον ἡ νοερὰ δύναμις πάντῃ κέχυται καὶ διαπεφοίτηκε τῷ γνῶναι δυναμένῳ, ἤπερ ἡ ἀερώδης τῷ ἀναπνεῦσαι.

Διὸ καί τις ἔλεγεν, ὁ κόσμος οὗτος πόλις ἐστίν· ἐγὼ τῆς πόλεως ταύτης πολίτης· ὃ τῇ πόλει ταύτῃ οὐκ ἔστι βλαβερὸν, οὐδ᾽ ἐμὲ τὸν πολίτην βλάπτει, ὥσπερ ὅγε τῷ σμήνει, οὐδὲ τὴν μέλισσαν· εἰ δὲ καὶ ἴσως ὑπότε ἡ πόλις αὕτη βλάπτηται, οὐκ ὀργιστέον τῷ βλάπτοντι· Θεὸς γάρ ὅδε ἐστίν· ἐπείπερ ὁ κοινὸς βίος, ἀγαθοῖς ἐναλλὰξ καὶ κακοῖς, πάντα κυκλεῖται τὸν ῥέοντα τοῦτον αἰῶνα· διὸ καὶ παράδοξον οὐ γέγονεν, ἢ γίνεταί τι ἀνέλπιστον· ἀλλ᾽ ὅτι μὴ πᾶν τὸ γινόμενον ἀπροσδόκητον, ὅτι καὶ καινὰ πράγματα πάσαις ἡμέραις ἀρέσκει, καὶ οὐδὲν καινὸν οὐδὲ πρόσφατον, ἀλλὰ πάντα καὶ συνήθη, καὶ ὀλιγοχρόνια τὰ γινόμενα· ὅθεν οὐδεὶς ὀφείλει ἐγκαλεῖν τῇ προνοίᾳ, ὅτι μὴ τόδε ἀλλὰ τόδε ποιεῖ, ἢ ἀφαιρεῖται ὃ δέδωκεν· ἀλλ᾽ ἐπειδὴ μὴ γίνεται τὰ γινόμενα ὡς βουλόμεθα, οὕτω δὴ ταῦτα βούλεσθαι ὡς γίνεται γίγνεσθαι. Ὅτι καὶ πανηγύρει ἔοικε πᾶσα σύμβασις· ὁ εἰδὼς πραγματεύεσθαι κερδαί-

νει πολλὰ, ὁ δὲ μὴ εἰδὼς ζημίαν ὑποφέρει· ἢ πεττεία τινὶ ὁ βίος παρόμοιος, καὶ δεῖ ὥσπερ ψῆφόν τινα τίθεσθαι πᾶν συμβαῖνον· ȣ̓ γάρ ἐστιν ἄνωθεν βαλεῖν, ȣ̓δ᾽ ἀναθέσθαι τὴν ψῆφον, ȣ̓δ᾽ ὁπωσδηποτȣ͂ν ποιῆσαι τὸ τετυγμένον ἄτυκτον· ταύτῃτοι καὶ πᾶσα συμφορὰ κȣ͂φη ἐστὶν ἀνδρὶ μὴ κȣ́φῳ· καὶ μάλα εἰκότως· ȣ̓δὲν γὰρ τῶν ὄντων, ἢ τῶν γινομένων λυπεῖ ποτε ἄνθρωπον, ἀλλὰ μόνον αἱ ψευδεῖς πȣ περὶ αὐτὸν φαντασίαι.

Οὐκȣ͂ν ὁ βȣλόμενος ἀλύπως βιȣ͂ν, μὴ παυσάσθω φαντασίας ἀντιτιθεὶς φαντασίαις, φημὶ δὴ τὰς ἀληθεῖς ταῖς ψευδέσιν, ἑκάστῃ διενοχλȣ́σῃ ἐπιλέγων σοφῶς· φαντασία εἶ διάκονος, καὶ ȣ̓κ αὐτὸ τὸ φαινόμενον· ἥκες πάλιν ὡς ἔθος σοι, ἄπιθι θᾶττον ἐντεῦθεν, ȣ̓ πείθομαι ἅτε λόγȣ μετέχων ἐγώ· τȣ͂το εἰ μήτι ἄλλο πεποιθότως ἐπίσταμαι, ὅτι κατὰ μὲν τὸν τῆς φύσεως λόγον, ȣ̓δὲν ȣ̓́τε τῶν ὄντων ἐλύπησεν ἄνθρωπον, ἢ λυπεῖ, ἢ λυπήσει, ȣ̓́τε τῶν γινομένων· μὴ γένοιτο! ȣ̓δὲ ἐστιν Ἀγγέλων τὶς ἢ ἀνθρώπων, ὁ τȣ͂το ποθὲν παραστῆσαι δυνάμενος. Πῶς γὰρ ὁ ȣ̓ρανὸς, ἢ ὁ αἰθὴρ, ἢ ἡ γῆ, ἢ ἡ θάλασσα, ἢ τὸ πῦρ, ἢ τὶ τῶν τοιȣ́των οἷον ἀὴρ, ἢ σελήνη, ἢ ἥλιος τῶν ὑπ᾽ αὐτῶν φύσει συνισταμένων κατά τι ἀντίμαχα γένοιτ᾽ ἄν; πῶς δέ τι τῶν γινομένων κατὰ τὴν ἐκ τῆς φύσεως, ἢ τῆς προνοίας πρόοδον, ἀπ᾽ αὐτῆς ταύτης μὴ συγχωροῖτο ȣ̓́τω περαίνεσθαι πάλιν, ὡς αὐτὸ φύσεως ἔχει, ἢ ȣ̓́τω πως προσῆκεν ἕκαστον τῶν γινομένων γενέσθαι; Ἀλλ᾽ ȣ̓́τε τῶν παρελθόντων ἐλύπησέ τι τινὰ, ἢ λυπήσει, ȣ̓́τε τι τῶν μελλόντων γενήσεσθαι· πῶς γὰρ τὸ φθάσαν γενέσθαι, καὶ ἤδη χωρῆσαν εἰς τὸ μὴ ὂν; ἢ πῶς τὸ μήπω γινόμενον, ἀλλὰ μέλλον μετά τινα χρόνον γενέσθαι, λυπεῖν τινὰ τῶν ἄρτι βιȣ́ντων ὁθενȣ͂ν δύναται; ȣ̓κȣ͂ν ἐπεὶ μήτε τι ὂν, μήτε τι γιγνόμενον, μήτε τι παρελθὸν, μήτε τι μέλλον λυπεῖ τινὰ, λείπεται σκοπῆσαι, μήπως τὸ ἐνεστὸς τȣ͂το, ὁποῖον τί ἐστιν, ἢ καθὸ φύσεως ἔχει, αὐτὸ ἐστὶ τὸ λυπȣ͂ν; ἀλλὰ τίνα ἂν ἔχῃ λόγον τὸ ἄστατον, ὃ πρὶν γνωσθῆναι καλῶς διαδιδράσκει τὴν αἴσθησιν,

ἐπὶ

ἐπὶ μακρὸν χρόνον ψυχὴν, ἢ ψυχὰς ἐνοχλεῖν; οὕτω γὰρ ἂν ὁ ἐνεστὼς χρόνος μόνος εὑρίσκηται ἐνοχλῶν, ὁ πάντας τοὺς ἐν αὐτῷ συνιστῶν· ὥστε μόναι αἱ ψευδεῖς φαντασίαι, τοὺς ἀνθρώπους ταράττουσιν· ἃς δεῖ ὡς ἀπατηλὰς παρατρέχειν, τὸν εἰς τὸν λιμένα τῆς ἀταραξίας ἐλλιμενίσαι βουλόμενον, σκοποῦντα θεοφιλῶς, ὅτι ὥσπερ τῆς τομῆς, ἢ τοῦ καυτῆρος οὐχ ὁ ἰατρὸς αἴτιος, ἀλλ᾽ ἡ νόσος, οὕτω καὶ τῶν πόλεων οἱ ἀφανισμοὶ, καὶ οἱ πρὸς ἕκαστον ἀφόρητοι κίνδυνοι, ἐκ τῆς ἀμετρίας τῶν ἁμαρτανομένων τὴν ἀρχὴν ἔχοντες, τὸν Θεὸν πάσης μέμψεως ἀπολύουσι.

Διὸ καὶ προσήκει τὰς ἀρετὰς ἀσκεῖν, καὶ τὰς κακίας φεύγειν πολὺ μᾶλλον ταῖς πόλεσιν, ἢ τοῖς ἰδιώταις· ἀνὴρ μὲν γὰρ ἀσεβὴς καὶ πονηρὸς, τυχὸν ἂν φθάσῃ τελευτῆσαι πρὶν δοῦναι δίκην τῶν ἡμαρτημένων, αἱ δὲ πόλεις διὰ τὸ μακροχρόνιον ὑπομένουσι καὶ τὰς παρὰ τῶν ἀνθρώπων, καὶ τὰς παρὰ τοῦ Θεοῦ τιμωρίας· καὶ ὥσπερ εὐεργέτης ὁ ἰατρὸς, κἂν πόνους, κἂν ἀλγηδόνας ἐμποιῇ τῷ σώματι· τῇ νόσῳ γὰρ μάχεται, οὐχὶ τῷ κάμνοντι· οὕτως ἀγαθὸς ὁ Θεὸς ὁ τὴν σωτηρίαν τῷ παντὶ διὰ τῶν μερικῶν κολάσεων διοικούμενος· ἐπεὶ τοιοῦτον ἑαυτῷ ποιεῖ ἕκαστος τὸν Θεὸν, οἷον ὁ νοσῶν πρὸς τὸ ἴδιον πάθος τὸν ἰατρόν· ὅτι ὥσπερ τοὺς κακοσίτους ἀψίνθιον ὠφελεῖ τὸ πικρὸν, οὕτω τοῖς κακοτρόποις κακὰ πάσχειν συμφέρει· τοὺς μὲν γὰρ εὐεκτεῖν, τοὺς δὲ μετανοεῖν παρασκευάζει τὰ φάρμακα. Εἰ οὖν τις μὴ θέλῃ κακοπαθεῖν, μηδὲ κακοποιεῖν οὗτος θελέτω· διότι κἀκείνῳ τοῦτο ἀπαραβάτως ἀκολουθεῖ· ὃ γὰρ σπείρει τις, τοῦτο καὶ θερίζει· ἢ (οὐχὶ) τὸ ἐκ τοῦ σπαρέντος φυὲν κατὰ φύσιν, τῷ ἐξ οὗ προῆλθε ταὐτόν; ἑκουσίως οὖν τριβόλους σπείροντες πρότερον, ἀκουσίως ἔπειτα τὰς ἐκεῖθεν φυομένας ἀκάνθας θερίζοντες, ἅμα καὶ τὴν τοῦ Θεοῦ δικαιοσύνην θαυμάζειν ὀφείλομεν, καὶ ἡμᾶς αὐτοὺς μέμφεσθαι, ἅτε τοιούτων κακῶν αἰτίους·

Πλὴν πολλὰ καὶ ἀπὸ κοινωνίας τῆς πρὸς ἀλλήλους ἡμῖν ἐπιφέρεται· ἐπεὶ δύο εἰσὶ τρόποι τῆς κοινωνίας, εἷς ἀπὸ ἀγάπης, καὶ εἷς ἀπὸ κακίας· διὰ δὲ τῆς κοινωνίας,

ὡς οὐκ οἴδαμεν ἀλλήλους ἀναδεχόμεθα· ταῖς δὲ ἀναδοχαῖς, αἱ ἐπιφοραὶ ἀναγκαίως ἐπακολουθοῦσιν· οἷον ἀναδέχεται τοὺς πειρασμοὺς ὡς οὐ θέλει, ὁ ἀποστερῶν τοῦ ἀποστερουμένου, ὁ συκοφαντῶν τοῦ συκοφαντουμένου, ὁ πλεονεκτῶν τοῦ πλεονεκτουμένου, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· καὶ αὕτη ἐστὶν ἡ ἀπὸ κακίας ἀναδοχή, ὑπὲρ ἧς οἱ πολλοὶ τῶν ἀνθρώπων πολλὰ κακὰ πάσχοντες οὐ δύνανται συνιέναι πόθεν αὐτοῖς ταῦτ' ἐπέρχονται; καίγε τῶν ἐν τῷ κόσμῳ τούτῳ ἡδέων, οὐδὲν καθ' αὑτὸ ἐφετὸν καὶ ἐπέραστον δείκνυται, ἀλλὰ καὶ μετὰ νύκτα ἡμέρα φανεῖσα, καὶ μετὰ ζάλην γαλήνη, καὶ κέρδος μετὰ ζημίαν, καὶ ἄνεσις μετὰ κόπον, καὶ εὕρεσις μετὰ ζήτησιν, καὶ χαρὰ μετὰ λύπην, καὶ μετὰ νόσον ὑγίεια, καὶ ἔαρ μετὰ χειμῶνα, καὶ σιτίων μετάληψις μετὰ στέρησιν, καὶ εἰρήνη βαθεῖα μετὰ βαρὺν πόλεμον, καὶ ἡδέα καὶ θαυμαστὰ τοῖς ἀπολαύουσι φαίνεται· καὶ τούτων μάλιστα ἡ εἰρήνη· εἰρήνη τὸ γλυκὺ καὶ ἐπέραστον πᾶσιν ἀνθρώποις καὶ πρᾶγμα καὶ ὄνομα.

Ἔπειτα οὐ μισῶν ἡμᾶς ὁ Θεὸς καὶ ἀποστρεφόμενος συγχωρεῖ περιπίπτειν ταῖς θλίψεσιν, ἀλλὰ παιδεύει προσκαίρως ἵν' ἀναπαύσῃ αἰωνίως· ὡς τούς γε μὴ παιδευομένους ἐν τῷδε τῷ βίῳ, τῇ τῶν δαιμόνων ἐκεῖσε παραπέμπει μερίδι, καὶ μετ' ἐκείνων καταδικάζει· ,, ἐν κόποις γὰρ ,, φησὶν ἀνθρώπων οὐκ εἰσὶ, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται· ἀλλὰ δηλονότι μετὰ δαιμόνων· ὥστε εἴτις τὰς ἐπαγομένας ἡμῖν ἐκ Θεοῦ παιδείας ὁρῶν ἐξίσταται ἀπορῶν, μὴ μόνον ταύτας, ἀλλὰ καὶ τὰς γινομένας παρ' ἡμῶν ἀτοπίας διανοούμενος καὶ κατανοῶν, περὶ μὲν τούτων σιγάτω, θαυμαζέτω δὲ μέγα, πῶς οὐ φέρονται οὐρανόθεν μυρίοι σκηπτοὶ καθ' ἡμῶν· καὶ γὰρ οὐκ ἔστι κακίας εἶδος, ὃ μὴ διὰ βίου ἐπιμελῶς μετερχόμεθα· ὡς ἂν τοίνυν ἐκεῖσε τινὸς ἀπολαύσεως ἐπιτύχωμεν, κοπιῶμεν ἐνταῦθα μικρόν· καὶ τοῦτο πεποιθότως, εἰμήτι ἄλλο, ὁμολογῶ, ὅτι πάσης θλίψεως τέλος ἐστὶν ἡ χαρὰ, καὶ παντὸς κόπου ἡ ἄνεσις, καὶ πάσης ἀτιμίας ἡ δόξα, καὶ ἁπλῶς πάντων τῶν ὑπὲρ ἀρετῆς ἀλγεινῶν τέλος ἐστὶ τὸ μετὰ Θεοῦ

γενέ-

γενέσθαι καὶ εἶναι διὰ παντὸς, καὶ τῆς αἰωνίου καὶ πέρας μὴ ἐχούσης μακαριότητος κατ᾽ ἀξίαν μετέχειν· καὶ τῶν προσδοκωμένων ἡμῖν ἀγαθῶν ἄνθη αἱ θλίψεις αὗταί εἰσι· διὰ γοῦν τοὺς αἰωνίους καρποὺς ἐκείνους, καὶ τὰ πρόσκαιρα ταῦτα ἄνθη ἀσμένως δρεπώμεθα· ὅγε μὴν ταῦτα μὴ θέλων, ἢ μὴ δυνάμενος ἴσως διακρίνειν καλῶς, ἀμφίκρημνον ὁδὸν κατὰ νοῦν διαβαίνει, καὶ ὑπὸ παντὸς ἀνέμου ῥαδίως ἀνατρέπεται· ἐπαινούμενος γαυριᾷ, καὶ ψεγόμενος πικραίνεται, εὐωχούμενος ἀσελγεῖ, καὶ κακοπαθῶν ὀδύρεται, συνιῶν φαντιᾷ, καὶ μὴ νοῶν σχηματίζεται, πλουτῶν ἀλαζονεύεται, καὶ πτωχεύων ὑποκρίνεται, κορεσθεὶς θρασύνεται, καὶ νηστεύων κενοδοξεῖ, τοῖς ἐλέγχουσι φιλονεικεῖ, καὶ τοῖς συγγνώμην αὐτῷ ἀπονέμουσιν ὡς ἀνοήτοις προσέχει, εἴτε τὰ πολυτρόπως οἰκονομούμενα παρὰ τοῦ Θεοῦ, καὶ τὰ παρὰ τῶν ἀνθρώπων γινόμενα, καὶ τὰς τῶν καιρῶν καὶ τῶν πραγμάτων μεταβολὰς καὶ ἀνωμαλίας ἐπισυμβαίνοντα τοῖς ἀνθρώποις, οὕτω κάθηται κριτὴς ἀπότομός τις, δύσροπος, καὶ δυσάρεστος, ὅτι σκυθρωπάζει, καὶ χαλεπαίνει, καὶ ἀδημονεῖ, καὶ ἀσχάλλει, καὶ γογγύζει, καὶ κατακρίνει, καὶ ἐπαρᾶται, καὶ βλασφημεῖ, καὶ ἀπαναίνεται, καὶ ταράσσεται, ὡς δῆθεν τοῖς πᾶσιν ἐπιστατῶν, καὶ ὑπὲρ πάντων ἀπολογεῖσθαι, καὶ τὰ τῶν πάντων αὐτὸς ὀφείλων ἐπεκδικεῖν· καὶ ταῦτα τυχὸν μηδὲν ὤν, ἢ κανθάρου, καὶ σκώληκος ἴσον πρὸς ταῦτα δυνάμενος. Ἂν μήτις οὖν γνῶσιν ἀληθῆ σὺν φόβῳ Θεοῦ κτήσηται, οὐ μόνον ἐκ τῶν παθῶν, καὶ τῶν αἰσθητῶν πολεμίων, καὶ τῶν νοητῶν ἀντιδίκων, ἀλλὰ καὶ ἐκ τῶν συμβάσεων μόνον δεινῶς τραυματίζεται, καὶ πάσχει δι᾽ ὅλου, μηδενὸς ἐνοχλοῦντος, καὶ κατήγορος πάντων καθίσταται ἀδιάλλακτος. Καὶ ταῦτα μὲν ὁ ἀπερισκέπτως ζῶν ἄνθρωπος, ἐξ ἀγνωσίας ὑφίσταται.

Ὁ δὲ νουνεχὴς καὶ θεόφρων, γενναιότατα φέρει τὰς ἀκουσίους ἐπιφορὰς, πρῶτον τοῦτο καλῶς ἐν ἑαυτῷ διακρίνων, ὅτι ἀνάγκη τοὺς τῆς Εὔας κληρονόμους θλίβεσθαι· καὶ ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα· καὶ ἀνάγκη τὰ

γινόμενα ὡς γίνεται γίνεσθαι· καὶ ὁ μὲν μὴ εἰδὼς ὅ, τί ποτὲ ἐςὶ κόσμος, ȣ̓κ οἶδεν ὅπȣ ἐςίν· ὁ δὲ μὴ εἰδὼς ὅπȣ ἐςὶν, ȣ̓κ οἶδεν ὅς τις ἐςίν· ὁ δὲ ἀντι τȣ́των ἀπολιπὼν, ȣ̓δὲ πρὸς ὅ, τι αὐτὸς πέφυκεν εἴποι. Δεύτερον ὅτι εἰ ξένος κόσμȣ ὁ μὴ γνωρίζων τὰ ἐν αὐτῷ ὄντα, ȣ̓χ ἧττον ξένος, καὶ ὁ μὴ γνωρίζων τὰ γινόμενα· Φυγὰς, ὁ φεύγων τὸν πολιτικὸν λόγον· τυφλὸς, ὁ καταμύων τῶν νοερῶν ὀμμάτων· πτωχὸς, ὁ ἐνδεὴς ἑτέρȣ καὶ μὴ πάντα ἔχων παρ' ἑαυτȣ̃ τὰ εἰς τὸν βίον χρήσιμα· ἀπόςημα κόσμȣ, ὁ ἀφιςάμενος καὶ χωρίζων ἑαυτὸν τȣ̃ τῆς κοινῆς φύσεως λόγȣ, διὰ τȣ̃ δυσαρεςεῖσθαι τοῖς ὁσημέραι συμβαίνεσι. Τρίτον ὅτι ἡ τὰ πάντα διεξάγȣσα πρόνοια ἐςόχασαι περὶ ἑκάςȣ, ȣ̓δέν τι ἔλαττον τῆς ἀπολήξεως, ἢ τῆς ἀρχῆς, καὶ τῆς διεξαγωγῆς· ὥσπερ ὁ κτίζων ἐκεῖνο τὸ προπύλαιον, τὶ καλὸν ἔσαι τȣ́τῳ παρ' αὐτȣ̃ κτιζομένῳ, ἢ τὶ ἀγαθὸν μετὰ τὸ κτισθῆναι, τὰ τȣ̃ νεῶ πρόθυρα περισκέποντι, ἢ τὶ κακὸν καταπεσόντι ποτέ· ἢ καθάπερ ἡ τὰ φυτὰ κατὰ φύσιν φέρȣσα φύσις, ἡ ἄνευ καὶ λόγȣ δίχα, τὶ καλὸν ἔσαι τῇ καρύᾳ ταύτῃ αὐξανομένῃ, ἢ τὶ ἀγαθὸν καρποφορȣ́σῃ, ἢ τὶ κακὸν ξηρανθείσῃ ὀψέποτε. Τέταρτον, ὅτι ποταμός τις ἐκ τῶν γινομένων, καὶ ῥεῦμα βίαιον ὁ αἰὼν ἐςοσί· ἅμα τε γὰρ ὤφθη ἕκασον καὶ παρενήνεκται, καὶ ἄλλο παραφέρεται, τὸ δὲ ἐνεχθήσεται· καὶ πᾶν τὸ συμβαῖνον ȣ̓́τω σύνηθες καὶ γνώριμον, ὡς τὸ ῥόδον ἐν τῷ ἔαρι, καὶ ὀπώρα ἐν τῷ θέρει· τοιȣ̃τον γὰρ καὶ νεότης, καὶ γῆρας, καὶ ἰσχὺς, καὶ ἀδυναμία, καὶ ὑγεία, καὶ νόσος, καὶ κάλλος, καὶ ἀμορφία, καὶ εὐγένεια, καὶ δυσγένεια, καὶ ὅσα τȣ̀ς πολλȣ̀ς εὐφραίνει φανέντα, ἢ καὶ ἀπόντα λυπεῖ. Πέμπτον, ὅτι ȣ̓δεὶς ȣ̓́τως ἑαυτȣ̃ φείδεται, ὡς πάντων ἡμῶν ὁ Θεός· πολλὰ γὰρ ἡμῶν αὐτὸς βȣ́λεται μηδὲν ἡμᾶς πάσχειν κακόν· διόπερ ȣ̓́τε ἐν συμφοραῖς ἀεὶ ἀφίησιν ἡμᾶς, ἵνα μὴ ἐκκακῶμεν, ἢ ἀποκάμωμεν, ȣ̓́τε πάλιν ἐν ἀνέσει δι' ὅλȣ, ἵνα μὴ ῥαθυμότεροι γενόμενοι, ἐκπέσωμεν τȣ̃ τῶν σπȣδαίων χορȣ̃. Ἕκτον, ὅτι τὸ ἀποτυχεῖν, ὅταν ὁ Θεὸς βȣ́λεται, ȣ̓κ ἔλαττον ἐςὶ τȣ̃ ἐπιτυχεῖν· ȣ̓δὲ γὰρ ἴσμεν ἡμεῖς τὸ συμφέρον ἡμῖν κατ' ἀκρίβειαν, ὡς αὐτὸς τȣ̃το

πανσόφως ἐπίςαται. Ἕβδομον, ὅτι οὐδὲν ἀπρονόητον, οὐδὲ ἠμελημένον, οὐδ᾽ ἐπιλελησμένον ἐςὶ παρὰ τῷ Θεῷ· πάντα σκοπεύει ὁ ἀκοίμητος ὀφθαλμὸς, πάντων προνοεῖται τὸ παντέφορον ὄμμα, καὶ πᾶσι πάρεςιν ὁ τὰ πάντα πληρῶν, φροντίζων ἑκάςου τὰ πρόσφορα. Ὄγδοον, ὅτι ὁ παιδευόμενος ἐνταῦθα διὰ τὴν ἰδίαν αἰσχύνην, ἐκ τῆς ἰδίας γεέννης ἐσθίει· καὶ τούτῳ καιρὸς ἀθυμίας, οὐχ ὅταν πάσχῃ δεινὰ, ἀλλ᾽ ὅταν ποιῇ τὰ κακά· Ἔννατον, ὅτι τοὺς ἀλγοῦντας ἡμᾶς, οὐχ ὑπὲρ ὧν πάσχομεν κακῶς, ἀλλ᾽ ὑπὲρ ὧν παροξύναμεν τὸν ὑπεράγαθον Θεὸν καὶ φιλάνθρωπον ἀλγεῖν δεῖ· τοῦτο μὲν γὰρ ἀφίςησιν ἡμῶν τὸν Θεὸν, καὶ ἐχθρὸν ποιεῖ, ἐκεῖνο δὲ καταλλάττει τοῦτον ἡμῖν μάλιςα, καὶ μεθ᾽ ἡμῶν εἶναι παρασκευάζει. Καὶ δέκατον, ὅτι οὐχ ἡ τῶν δεινῶν προσβολὴ, ἀλλ᾽ ἡ τῆς ἡμετέρας διανοίας ῥαθυμία ἀνατρέπει τὴν σωτηρίαν ἡμῶν· αἱ γὰρ ταπειναὶ ψυχαὶ, ταῖς μὲν εὐημερίαις χαυνοῦνται, ταῖς δὲ συμφοραῖς καθαιροῦνται· καὶ εὐημερίαι παράλογοι, εἰς ὕβρεως ἔργα προσκαλοῦνται· καὶ συμφοραὶ ἀπροσδόκητοι, ταύτας εἰς γογγυσμοὺς ἐρεθίζουσι.

Ταῦτα μὲν δὴ καὶ τοιαῦτα διακρίνων λογίζεται πᾶς ὁ νοῦ βάρος ἔχων ἀνὴρ, καὶ πιςεύων τῶν πάντων ἐπόπτην εἶναι Θεόν· αὐτὸς δ᾽ ἐπὶ πᾶσι, κἀκεῖνο ἴσθι, ὅτι τὰ γινόμενα πάντα, ὡς ἕκαςον πέφυκε καὶ εἴωθε, γίνεταί τε καὶ ἀπογίνεται ὡσαύτως, παρόντος σου, καὶ ἀπόντος σου, καὶ θέλοντος τοῦτο, καὶ μή· οὐκοῦν θέλε ἀεὶ καὶ αὐτὸς οὕτω γίνεσθαι τὰ γινόμενα, ὡς καὶ πρὸ σοῦ, καὶ μετὰ σὲ, καὶ νῦν ταῦτα γίνεται, καὶ πέφυκε γίνεσθαι, καὶ ἔσῃ ἀτάραχος· καὶ ὅταν ἐν συμφοραῖς ᾖς, μὴ λέγε ὅτι ἐπελάθετό μου ὁ Θεὸς, ἀλλ᾽ ὅταν ἐν ἁμαρτίαις ζῇς, καὶ πάντα σοι κατὰ νοῦν ἐπιῤῥέῃ τὰ πράγματα· εἰ δὲ καὶ εὐεργετούμενος παρὰ τοῦ Θεοῦ, Θεὸν οὐ φρίττεις, καὶ παιδευόμενος παρ᾽ αὐτοῦ βλασφημεῖς, ἢ γογγύζεις, τίσοι καλὸν ἔνεςι; καλὸν μὴ ζῆν σοι· οὐκοῦν ἐν τούτων ἐπίλεξαι, εἰ μὲν ἀφόρητόν σοι δοκεῖ τὸ παιδεύεσθαι, παῦσαι τοῦ εἶναι κακός· εἰ δὲ βούλει μήτε ἐνταῦθα, μήτε ἐκεῖ δοῦναι δίκην τῶν

ἡμαρτημένων, σαυτὸν ἐντεῦθεν ἀπαίτησον εὐθύνας· Εἰ
" γὰρ ἑαυτοὺς ἐκρίνομεν φησὶν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμε-
" νοι δὲ, ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ
" κατακριθῶμεν· ὅμως καὶ τούτου τοῦ λόγου κρατοῦντος, καὶ ἐξ ἀπροσεξίας ἀνθρώπων, πολλὰ κακὰ τοῖς ἀνθρώποις ἐπισυμβαίνει, καθὼς πολλάκις ἐξ ἀμελείας γεηπόνων πολλὰ τῶν σπορίμων ἠφάνισται, καὶ ἐξ ὀλιγωρίας ποιμένων πολλὰ τῶν προβάτων λυκόβρωτα γέγονε, καὶ ἐξ ἀπειρίας ἐμπόρων πλεῖστα χρήματα ὤλετο, καὶ ἐκ ῥαθυμίας ναυκλήρων πολλὰ τῶν πλοίων βεβύθισται, καὶ ἐξ ὀκνηρίας οἰκητόρων πολλαὶ οἰκίαι κατέπεσον, καὶ ἐκ δειλίας στρατηγῶν ἢ θρασύτητος πολλὰ στρατόπεδα ἔφθαρται, καὶ ἐξ ἀπουσίας φυλάκων μυρίαι πόλεις ἑάλωσαν· καὶ τὸ πάντων δεινότατον ἐπὶ τοῖς τοιούτοις, ὅτι αὐτοὶ ὄντες μόνοι τῶν καθ᾽ ἡμῶν πάντων τούτων οἱ αἴτιοι, τὸν φύσει ἀνεύθυνον καὶ ἀναίτιον, τοῦτον ἐπὶ πᾶσι νομίζομεν αἴτιον· πρὸς δὲ, καὶ τὴν φύσιν αὐτὴν αἰτιώμεθα, καὶ ἀνθρώπους πολλάκις, καὶ στοιχεῖα, καὶ ἄστρα, καὶ ὥρας, καὶ αὐτὸ τὸ εἶναι ἡμᾶς, τοῦθ᾽ ὅπερ ἐσμέν.

Ἀλλὰ σὺ ὁ αὐτὸς μένε, καὶ μήτε αἴτιον κακῶν τὸν Θεὸν ὑπολάμβανε, μήτε χωρὶς τῆς αὐτοῦ συγχωρήσεως δυστυχεῖν ἡμᾶς νόμιζε· ἐπὶ μηδενὶ δὲ γογγύσῃς τὸ σύνολον, ὅτι πάσας τὰς ἁμαρτίας τῶν ἀνθρώπων βαστάζει ὁ Θεός, ἄνθρωπον δὲ γογγυστὴν οὐ βαστάζει, ἐὰν μὴ παιδεύσῃ αὐτόν· καὶ ἐπὶ πάσαις δὲ ταῖς ἐπαγομέναις παιδείαις ἡμῖν, ἀεὶ εὐχαρίστει, ὅτι παιδεύει μὲν ἡμᾶς ὡς Πατὴρ ὁ Θεὸς, εὐχαριστεῖσθαι δὲ παρ᾽ ἡμῶν ὡς εὐεργέτης ἐστὶν ἄξιος· καὶ οὐδὲν τῆς γλώττης ἐκείνης ἁγιώτερον, τῆς ἐν κακοῖς εὐχαριστούσης τῷ Θεῷ· καὶ δόξα τῇ αὐτοῦ περὶ ἡμᾶς χρηστότητι καὶ οἰκονομίᾳ, ὅτι ἄμεινον κρίνει τοῖς ἡμῖν αὐτῷ προκειμένοις ἐνταῦθα τῶν ἡμαρτημένων δοῦναι δίκην, ἢ τῇδε τὰς θλίψεις ἀνεὶς, ὑποχρέους ἡμᾶς τῆς ἐκεῖ δίκης ἕξειν, ἔνθα οὐ κολάσαι, τιμῆσαι δὲ βούλεται· ἐν τούτῳ γὰρ ἀφορίζονται οἱ υἱοὶ τοῦ Θεοῦ ἐκ τῶν λοιπῶν ἀνθρώπων, ὅτι αὐτοὶ μὲν ἐν θλίψεσι ζῶσιν, οἱ δὲ ἐν ἀναπαύσει καὶ δόξῃ

λαμ-

λαμπρύνονται· ἐπεὶ κατὰ τὴν Γραφὴν „ὃν ἀγαπᾷ Κύ- "
ριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται· "
καὶ τίς ἐστιν υἱὸς ὃν οὐ παιδεύει Πατήρ; εἰ δὲ χωρὶς ἐστὲ παι- "
δείας φησὶν, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ, "
καὶ οὐχ υἱοί· ὥστε οὐκ ἔστι χριστιανοὺς ἁμαρτήσαντας ἐκφυ-
γεῖν τὴν μέλλουσαν δίκην, ἄνευ ἑκουσίων ἐνταῦθα πόνων,
ἢ ἀκουσίων ἐπιφορῶν· ὅτι αἱ τούτοις ἐπερχόμεναι θλίψεις,
τῶν ἰδίων μὲν κακῶν εἰσὶν ἔκγονα, ἐὰν δὲ εὐχαρίστως αὐ-
τὰς ὑπομένωσι, σωτηρίας αἰτίαι τοῖς εὐχαρίστως αὐτὰς
ὑπομένουσι γίνονται.

Ὁ τὸν δεσπότην τιμῶν, ποιεῖ τὰ κελευόμενα· σφα-
λεὶς δὲ, ἢ παρακούσας, ὑπομένει ὡς ἴδια τὰ ἐπερχόμενα·
ὁ ἀντιτασσόμενος ταῖς σκυθρωπαῖς ἐπιφοραῖς, ὡς οὐκ οἶ-
δεν ἀντιμάχεται τῇ κελεύσει τοῦ Θεοῦ, ὁ δὲ καταδεχόμε-
νος ταύτας μετὰ γνώσεως ἀληθοῦς, οὗτος ψάλλει μετὰ τοῦ
Δαυὶδ „ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι· ὅταν
δὲ ἐφάμαρτος ψυχὴ τὰς ἐπερχομένας θλίψεις μὴ κατα-
δέχηται, τότε οἱ ἄγγελοι περὶ αὐτῆς λέγουσιν, ἰατρεύ-
σαμεν τὴν Βαβυλῶνα καὶ οὐκ ἰάθη· ὁ τὰ ἀλγεινὰ ὑποφέ-
ρων καὶ τῶν περιχαρῶν τεύξεται, καὶ ὁ τοῖς ἀηδέσιν ἐγ-
καρτερῶν, καὶ τῶν ἡδέων οὐκ ἀμοιρήσει. Ὅτι λέγων μὴ
πρέπειν τῷ δικαίῳ τὰς θλίψεις, οὐδὲν ἕτερον λέγει, ἢ μὴ
ἁρμόζειν τοῖς ἀθληταῖς τοὺς ἀνταγωνιστάς· δίχα δὲ ἀν-
ταγωνιστῶν, πόθεν οἱ ἀθληταὶ ἕξουσι τῶν στεφάνων τὰς
ὑποθέσεις; ὡς γὰρ οὐκ ἔστιν ἀθλητὴν στεφανωθῆναι μὴ
παλαίσαντα, οὕτως οὐκ ἔστι χριστιανὸν γενέσθαι ἀγώνων
δίχα. Ἐπαινῶ τὸν εἰρηκότα, ὅτι κυβερνήτην μὲν ὁ χει-
μὼν, καὶ ἀθλητὴν τὸ στάδιον, τὸν στρατηγὸν ἡ παράτα-
ξις, τὸν μεγαλόψυχον ἡ συμφορὰ, τὸν δὲ χριστιανὸν πει-
ρασμὸς δοκιμάζει, καὶ αἱ θλίψεις τὴν ψυχὴν, ὡς ἐν κα-
μίνῳ χρυσὸν, ἀπελέγχουσιν. Εὐχαριστεῖν μὲν οὖν διὰ ταῦ-
τα προσήκει, καὶ τὰ τούτων ἐχόμενα, εὐτυχοῦσι δὲ τοῖς
πλησίον, δι' ἀγάπην συγχαίρειν, καὶ συναλγεῖν λυπου-
μένοις δέον, κατὰ τὴν χαίρειν μετὰ χαιρόντων, κελεύου-
σαν ἐντολήν· καὶ κλαίειν μετὰ κλαιόντων· τοῦτο συνε-
ρῶν-

ρῶντας καὶ μήτι ἄλλο, ὅτι τȣ͂το ἔςαι κανὼν χριςιανισμȣ͂ τȣ͂ τελειότάτȣ, τȣ͂το ὅρος ἠκριβωμένος, τȣ͂το πάσης ἀρετῆς ἡ ἀκρώρεια, τὸ φιλεῖν τὸν πλησίον· καὶ πᾶσα ἐντολὴ ἐν τȣ́τῳ τῷ λόγῳ ἀνακεφαλαιȣ͂ται, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σȣ ὡς ἑαυτόν· πλήρωμα ȣ͂ν νόμȣ ἡ ἀγάπη, καὶ κατὰ τὸν Ἀπόςολον, καὶ κατὰ τὴν φύσιν τȣ͂ πράγματος.

Μεμνῆσθαι δὲ καὶ τῶν μετὰ χρηςῆς ἐλπίδος ἀπολιπόντων τὸν βίον χρεὼν, καὶ τȣ́των ȣ̓χ ἥκιςα, τῶν ὑπὲρ τῆς πίςεως ἠγωνισμένων, ὅτι τȣ͂το καὶ ἄξιον καὶ δίκαιον ἐςὶ, καὶ πρέπον καὶ σωτηριῶδες, καὶ πολυτρόπως ἡμῖν ὀφειλόμενον. Εἰ μὲν γὰρ πάντες ἀγαθῇ συνειδήσει τῆς τȣ͂ Χριςȣ͂ ἐκκλησίας, καὶ τῆς τῶν χριςιανῶν Μητροπόλεως ταύτης ὑπερμαχȣ͂ντες ἀπέθανον, μακαρισμῶν ȣ͂τοι μυρίων γεγόνασιν ἄξιοι, καὶ ȣ̓δεὶς ἀντιλέγει· εἰδέτινες τȣ́των ἴσως ἀλογίςως φερόμενοι ἐπέῤῥιψαν ἑαυτȣ̀ς τοῖς κινδύνοις, καὶ ἄφνω πληγέντες τὸν βίον μετηλλάξαντο, ἀμετανόητοι ἅμα, καὶ τῶν φρικτῶν μυςηρίων ἀμέτοχοι, ἐγὼ καὶ τȣ́τȣς, πιςεύσατε, τȣ͂ μὲν ἀπαρασκευάςȣ καὶ ἀνετοίμȣ ἐπαινεῖν ȣ̓κ ἔχω, πῶς γάρ; διὰ δὲ τὴν ὑπὲρ τῆς πίςεως τȣ͂ ἑαυτῶν αἵματος ἔκχυσιν, ὑπερεπαινῶ· κἂν γὰρ μὴ βασιλείας ȣ̓ρανῶν ἀπόλαυσις πρόκειται διὰ τὸ ἀνέτοιμον, ἀλλὰ τῆς ἐναποκειμένης αὐτοῖς κολάσεως ἔςαι, κατὰ τὴν ἑκάςȣ πρόθεσιν, ἄνεσις πάντως· καθώς τινες τȣ́των, καὶ ζῶντες διεμαρτύραντο τοῖς οἰκείοις εἰπόντες, εἰ γένοιτό μοι ἀποθανεῖν ὡς χριςιανῷ, ἤδη ἀπήλλαγμαι τῆς κολάσεως, καὶ μετὰ θάνατον πολλοῖς τῶν γνωρίμων ἐν ὕπνοις ὀφθέντες, καὶ πρὸς τȣ́των ἐρωτηθέντες, πῶς ἔχȣσιν εἰς ἐκεῖνον τὸν κόσμον, μετὰ φαιδρȣ͂ καὶ χαρίεντος μειδιάματος ἀπεκρίναντο· καίτοι πρὸς διαφόρων διάφοροι ὄντες ἐν διαφόροις καιροῖς, οἱ πάντες ἐν ἐκ συμφώνȣ εἶπον, ὅσοι ἀπεθάνομεν ἐν τῷ φθάσαντι τȣ́τῳ πολέμῳ, πάντες ἠλευθερώθημεν· καὶ ὁμολογȣμένως ἠλευθερώθησαν τῷ ὄντι μεγίςην ἐλευθερίαν πυρὸς, γεέννης, σκότȣς ἐξωτέρȣ, σκώληκος ἀκοιμήτȣ, βρυγμȣ͂ ὀδόν-

ὀδόντων, δεσμῶν ἀλύτων, ταρτάρου, ᾅδου, ξενοχωρίας καὶ δυσωδίας, κλαυθμοῦ ἀπαρακλήτου, αἰσχύνης ἀπεράντου, τῆς ἀφορήτου μετὰ δαιμόνων διαίτης, καὶ πάσης ἄλλης κολάσεως· εἰ γὰρ μιᾶς δουλείας ἀπαλλαγεὶς ἄνθρωπος, ζωὴν δευτέραν ἡγεῖται τὴν ἐλευθερίαν ἐκείνην, πολλῷ μᾶλλον οἱ τοσούτων δαιμόνων ἐπιστασίας λυτρωθέντες καθάπαξ, εἰκότως ἂν εἴποιεν, οἱ πάντες ἠλευθερώθημεν. Ἔπειτα οὐκ ἐφ' ἡμῖν κεῖται τὸ διακρῖναι, ὡς ὁ μὲν τοιᾶσδε, ὁ δὲ τοιᾶσδε ἀπολαύσεως, ἢ κολάσεως ἄξιος· μόνου γὰρ ἐστὶ ταῦτα κρῖναι, οὗ τὰ κρίματα ἄβυσσος.

Ἓν ἐγὼ περὶ τούτων ἐπίσταμαι, ὅτι τοὺς ὑπὲρ Χριστοῦ καὶ ἡμῶν ὀρθοδόξως θανόντας, μακαρίζειν καὶ τοῦ τέλους ἐκθειάζειν ὀφείλομεν· εἰδ' ἐπίσης καὶ οὗτοι ἀγέραστοι κείσονται τοῖς μηδὲν τοιοῦτον ἠγωνισμένοις, τίς ἡμᾶς ἀγνωμοσύνης καὶ ἀσυνεσίας μὴ ἐπιγράψηται; τίς δ' ἐξ ἡμῶν πάντων οἶδεν, εἴπερ τισιν ἐξ ἐκείνων, λέγω δὲ τῶν παρ' ἡμῶν δῆθεν κατεγνωσμένων, τὸ ἴδιον αἷμα τὰς αὐτῶν ἁμαρτίας, μικρὰς οὔσας ἐξήλειψε; καὶ τὸ τῆς μετανοίας ὑστέρημα, τοῦτο χεθὲν ἀνεπλήρωσεν; ὅπου γε καὶ τοῦ νῦν Πατριάρχου τοῖς γράμμασι πειθαρχοῦντες οἱ πλείους πρὸς τοὺς ἀγῶνας ἐχώρησαν; ὃ δὲ πρὸς τὸν Αὐτοκράτορα πρότριτα εἶπον, πάλιν ἐρῶ· ἐπὶ πάσῃ προθέσει, καὶ πάσῃ πράξει, ὁ τὸ κατὰ δύναμιν ποιῶν, ὅσον ἂν εἴη, ὡς τὸ ὅλον ποιῶν ἀμειφθήσεται παρὰ τοῦ Θεοῦ· τοῦτο δὲ καὶ ἐπὶ ἀρετῶν, καὶ ἐπὶ κακιῶν ἐπίσης κρίνεσθαι νόμιζε· εἰ γὰρ σφαγῆς δίχα, μυρίοι καὶ γεγόνασι καὶ γίνονται μάρτυρες, πολλῷ μᾶλλον μετὰ σφαγῆς ἁγίου τέλους τυγχάνειν οὐκ ἀπεικός· πανταχοῦ γὰρ ἡ γνώμη, ὅταν ἀπηρτισμένη ᾖ, ὁλόκληρον λαμβάνει τὸν στέφανον· ἐπεὶ καὶ ὁ Ἀβραὰμ μὴ σφάξας τῇ πείρᾳ τὸν υἱὸν, τῇ προθέσει ἔσφαξε, καὶ φωνῆς ἤκουσεν ἄνωθεν λεγούσης, οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. Ἀλλὰ καὶ οἱ ἅγιοι λέγουσι, κἂν μὴ παρῇ διωγμὸς ὥσπερ θέλεις, οὕτως ἔσται τὰ πράγματα· μαρτύρησον τῇ συνειδήσει, μαρτύρησον τῇ ἀληθείᾳ, μαρτύρησον τῇ προθέσει, μακάρι-

σον γνησίως τὸν μαρτυρήσαντα, καὶ γέγονας μάρτυς τῇ προαιρέσει, καὶ ἀπέβης χωρὶς διωγμȣ͂ καὶ μαςίγων καὶ αἵματος.

Ἀμέλει περὶ τȣ́των ταύτην αὐτὸς γνώμην δίδωμι· ἵνα κατ᾽ αὐτὴν τὴν ἡμέραν, καθ᾽ ἣν ἐῤῥύσθη τῶν ἀθέων ἡ Πόλις, ἐν τῷ περιωνύμῳ τῆς τȣ͂ Θεȣ͂ Σοφίας Νεῷ τελῆται τȣ́των μνημόσυνον· καὶ ὥσπερ πρὸ πεντήκοντα χρόνων, τῶν δέκα πλείȣς διῃρημένας καὶ πανδήμȣς συνάξεις ἁγίων (*) ἐποίει, ȣ̔́τως ἀπ᾽ ἄρτι μνείαν ποιείτω κατ᾽ ἔτος μίαν, τῶν διαφόροις τρόποις, ἐν τῇ Ἀνατολῇ, καὶ τῇ Δύσει, κατὰ τὴν ἡμετέραν γενεὰν θανόντων ὑπὲρ τῆς πίςεως· καὶ ἀκολȣθία δὲ τȣ́τοις γραφήτω ἁρμόδιος, καὶ λόγος διαλαμβάνων τὰ περὶ τȣ́των ἀκριβέςερον· ἡ γὰρ τȣ́των μνήμη, συμπεριλήψεται πάντως καὶ τȣ̀ς ἐν τῇ τȣ͂ Θαμύριδος ἐκείνȣ ἐφόδῳ, κατὰ τὴν Ἕω ὑπὲρ Χριςȣ͂ μαρτυρήσαντας, ϗ τȣ̀ς ἐνταῦθα, ἐν τῇ τῶν ὀκτὼ ἐνιαυτῶν παρατάσει τῶν δεινῶν λιμῷ τελευτήσαντας, καὶ τȣ̀ς ἐν τῇ μάχῃ τȣ͂ θεηλάτȣ Μωσῆ, πρὸς δὲ ϗ τȣ̀ς ἐν Θεσσαλονίκῃ, καὶ τῇ Πελοποννήσῳ, καὶ πολλαχȣ͂, τῷ αὐτῷ τελειωθέντας σκοπῷ, ὧν καὶ τὰς προθέσεις, καὶ τὰ ὀνόματα, μόνος οἶδεν ὁ Κύριος· καὶ εἴτις κατὰ τὸ μέλλον τȣ́των ζηλώσειε τὸ πρόθυμον, καὶ τȣ͂ μισθȣ͂ καὶ τῆς μνήμης αὐτῶν ἔςαι μέτοχος.

Ἀλλὰ ζηλώσωμεν καὶ ἡμεῖς Ἀδελφοὶ τὸ περὶ τὴν πίςιν τȣ́των ςεῤῥὸν καὶ ἀήττητον· ἔςι δὲ πίςεως μέγα σημεῖον, τὸ καθ᾽ ἑκάςην, πρὸ παντὸς ἔργȣ παραβάλλειν εἰς τȣ̀ς ἁγίȣς Ναȣ́ς· ἐπεὶ κατ᾽ ἐμὴν γνῶσιν, θαλάσσῃ ὁ ἀνθρώπινος ἔοικε βίος, καὶ πελάγει δυσπεραιώτῳ μυρίων σκοπέλων καὶ πειρατῶν καὶ πετρῶν ὑφάλων μεμεςωμένῳ, μέσον δὲ τȣ͂ τοιȣ́τȣ πελάγȣς ναῦς μεγάλη, πολλοῖς καὶ ἀπείροις περιαντλȣμένη τοῖς κύμασιν, ἡ τȣ͂ Θεȣ͂ ἕςηκεν Ἐκκλησία· ταύτης τῆς νηὸς τὴν τρόπιν ἐτεκτήνατο, πρὸς τȣ͂ Πατρὸς τῶν Φώτων μαθὼν, ὁ μακάριος Πέτρος· τίς δὲ ἐςὶν αὕτη; ἡ πρὸς τὸν Θεάνθρωπον λόγον τȣ́τȣ φωνὴ, ἣν πρὸς αὐτὸν εἶπε θαῤῥȣ́ντως „ σὺ εἶ ὁ Χριςὸς

σὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· ταύτης τῆς ὁλκάδος γραφεὺς μὲν ἐστὶν ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης, ταμείας δὲ ὁ οὐρανοφάντωρ Βασίλειος, διοικητὴς δὲ Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος, καὶ ναῦται μὲν ἅπας ὁ τῶν ἁγίων χορὸς, ἐπιβάται δὲ ταύτης καὶ ἔμποροι χριστιανοὶ ἅπαντες οἱ βοηθούμενοι δι' αὐτῶν, καὶ περαιούμενοι τὸ μέγα τοῦτο τοῦ βίου καὶ πολυκύμαντον πέλαγος· καὶ πρόμαχοι μὲν τῆς νηὸς, Ἀνδρέας, Ἰάκωβος, Σίμων, Φίλιππος, Θωμᾶς, καὶ Βαρθολομαῖος· σκοποὶ δὲ καὶ φύλακες πάντες οἱ Ἄγγελοι τοῦ Θεοῦ, δι' ὅλου πάντες ταύτην ἐπίσης ἅμα φυλάττοντες· ταύτης πρωρεὺς ἡ πρόδρομος τοῦ λόγου φωνὴ, Ἰωάννης ὁ Βαπτιστὴς· καὶ ναύκληρος μὲν ὁ θαυμάσιος Παῦλος, κυβερνήτης δὲ ποδηγός τε καὶ ναύαρχος, ὁ καὶ ναυπηγὸς αὐτῆς, Ἰησοῦς ὁ Χριστός· καὶ ἱστίον μὲν τῆς νηὸς ἡ ἀγάπη, ἐξάρτια δὲ ὁ λοιπὸς τῶν ἀρετῶν ἀριθμὸς, πηδάλια δὲ εἰρήνη τε καὶ σοφία, ἑκατέρωθεν ταύτης ἐξηρτημένα, ἄγκυρα δὲ παμμεγέθης καὶ ἀσφαλῶς πεπηγμένη, εἰς ἣν ὅλη ἀποσαλεύει ἡ ναῦς, ἡ εἰς τὴν ἁγίαν Τριάδα ἀκριβὴς καὶ ὀρθόδοξος πίστις ἐστί· πνεύματα δὲ γαληνοτάτως πνέοντα ἐκ ταύτης, καὶ εἰς ταύτην, Ματθαῖος, Μάρκος, Λουκᾶς, καὶ Ἰωάννης οἱ Εὐαγγελισταί· οὐ πνεῦμα ἠχοῦν καὶ παρερχόμενον πνέον, ἀλλ' ἠρεμοῦν καὶ ἱστάμενον· πνέουσι γὰρ τοῖς ἐν τῷδε τῷ πλοίῳ ζεφύριον ἀφθαρσίαν, καὶ πᾶν εἴτι καλόν.

Ὅσοι γοῦν κολυμβῶντες ἐν τῷ τοῦ βίου πελάγει τῇδε προσαῤῥάξαι ἠθέλησαν τῇ νηΐ, αὐτοὶ μὲν συνετρίβησαν, καὶ τὸ μνημόσυνον αὐτῶν ἀπώλετο μετ' ἤχου· ἡ δ' ἀκλόνητος ἕστηκε μένουσα εἰς αἰῶνας· καὶ γὰρ καὶ Τύραννοι, καὶ Βασιλεῖς, καὶ στρατῶν πλῆθος, καὶ δημῶται, καὶ ἀγροῖκοι, καὶ ῥήτορες, καὶ σοφοὶ, καὶ σατράπαι, καὶ ὕπατοι, αἱρετικοί τε καὶ ἄπιστοι, καὶ ἀλλότριοι, καὶ οἰκεῖοι, καὶ πρόγε πάντων οἱ δαίμονες, προσέκρουσαν ταύτῃ ῥαγδαίως, ἀλλ' ὡς ἱστὸς ἀράχνης ἅπαντες ἠφανίσθησαν, αὐτοὶ μὲν συντριβέντες εἰς τέλος, τὴν δὲ, ἀκράδαντον δείξαντες. Ἥρεισε γὰρ τὴν ἄγκυραν εἰς πέτραν ἀκρότομον

τομον, καὶ εἰς λίθον ἀκρογωνιαῖον, αὐτὸν Ἰησȣ̃ν τὸν Χριςὸν, ἐφ' ὃν ὁ πίπτων συντρίβεται, καὶ ἐφ' ὃν ἂν αὐτὸς πέσῃ, τόνδε εὐθὺς ἐκλικμᾷ. Αὕτη ἡ ναῦς ȣ̓κ ἀπὸ πόλεως εἰς πόλιν ἄγει τȣ̀ς ἐπιβάτας, ἀλλὰ τῆς γῆς ἀπανιςῶσα τȣ́τȣς καὶ τῶν γηΐνων, ἀναβιβάζει πρὸς ȣ̓ρανὸν, καὶ τὰ ἐν αὐτῷ· καὶ οἱ ἐν αὐτῇ πραγματευταὶ, ȣ̓ πρόσκαιρα, ἀλλ' ἀΐδια πραγματεύονται, ἀντὶ μὲν φθειρομένων τὰ ἄφθαρτα, ἀντὶ προσκαίρων αἰώνια, καὶ ἀντὶ ῥευςῶν ἀμάραντα καὶ ἄῤῥευςα, καλῶς ἀμειβόμενοι καὶ κληρονομȣ̃ντες, ȣ̓ χρυσὸν καὶ ἄργυρον καὶ λίθον τίμιον ἐμπορευόμενοι, ἀλλὰ βίον ἐνάρετον, ζωὴν ἀθάνατον, καὶ αἰώνιον κληρȣχίαν.

Πλὴν ὥσπερ πλοῖον πλεόντων, ȣ̓́τω καὶ λιμὴν ἡ αὐτὴ ναῦς ἐςὶ τῶν τȣ̃ βίȣ πλωτήρων, λιμὴν ἀκύμαντος καὶ γαλήνειος ὅρμος, εἰς ὃν ȣ̓ τριήρεις καὶ νῆες ἐκ σανίδων συγκείμεναι, ἀλλὰ ψυχαὶ εὐσεβεῖς καὶ πιςαὶ ἡδέως ἐλλιμενίζȣσι, μηδὲν τῶν ἐκτὸς πνευμάτων, ἢ τῶν κυμάτων δεδοικυῖαι, ἢ τρέμȣσαι· τετοιχισμέναι γάρ εἰσιν, ἀντὶ πύργȣ ὑψηλοτάτȣ τῇ δυνάμει τῆς πίςεως. Εἰ δὲ καὶ πολλαὶ τῶν χριςιανῶν ψυχαὶ, καθάπερ τινὲς νῆες, ἔδοξαν ἐν τȣ́τῳ τῷ λιμένι ναυάγιον ὑποςῆναι, ἐκεῖνο ἐρȣ̃μεν, ὡς ἔδοξαν μὲν εἶναι ἐντὸς τȣ́τȣ, ȣ̓κ ἦσαν δὲ, καὶ διὰ τȣ̃το ναυαγήσασαι περὶ τὴν πίςιν ἀπώλοντο· ἡ δὲ πίςις τωόντι ἀκράδαντος ἕςηκεν. Οὐκȣ̃ν καθάπερ εἰς τὴν ναῦν, ἢ τὴν χέρσον οἱ κολυμβῶντες, καὶ εἰς τὸν λιμένα τὰ πλοῖα, ȣ̓́τω καὶ αὐτοὶ καταφεύγοντες προςρέχωμεν τῇ τȣ̃ Θεȣ̃ Ἐκκλησίᾳ, μήπως ἔξω ταύτης χρονίζοντες καταποντισθῶμεν ἐν τῷ τȣ̃ βίȣ βυθῷ· καὶ γὰρ ἐκτὸς ταύτης πολλὰ τὰ ναυάγια, πολλαὶ ζάλαι καὶ τρικυμίαι, πολλὰ πνεύματα πονηρίας, καὶ πάντα μεςὰ ταραχῆς· ἐντὸς δὲ, ȣ̓ κύματα, ȣ̓ σκόπελοι, ȣ̓ θηρία, ȣ̓ πειραταὶ ἀλλὰ πάντα γαλήνια, καὶ ἐξ ȣ̓ρίας ὁ πλȣ̃ς· Πνεῦμα γὰρ θεῖον ἅγιον εἰς τὸν τῆς ἀφθαρσίας λιμένα, τὰς ἐμπλεȣ́σας ἐν ταύτῃ παραπέμπει ψυχάς.

Λέγε-

Λέγεται περὶ τοῦ προπάτορος Νῶε κἀκεῖνο μετὰ πολλῶν, ὅτι δεῆσαν αὐτῷ εἰς τὴν Κιβωτὸν συνέλευσιν τῶν ζώων ποιήσασθαι, μήτε κώδωνι, μήτε σάλπιγγι ταύτην δρᾶσαι, ἀλλὰ τῶν εἰς τὴν οἰκοδομὴν τῆς Κιβωτοῦ παρεσκευασμένων δοκῶν, μίαν μετεωρίσαι ἐφ᾽ ὑψηλοῦ, εἶτα τῆς ξύλου σφύρας λαβόμενος, μεθ᾽ ἧς τοὺς ξυλίνους ἥλους εἰώθε πηγνύναι τὴν κιβωτὸν συνιστῶν, κρούσμασι σημᾶναι τὴν ἄθροισιν τούτων· ὃν τοίνυν τρόπον τηνικαῦτα λέοντες καὶ παρδάλεις, βόες καὶ πρόβατα, ἑνὶ λόγῳ, ὅσα καθαρὰ καὶ μὴ καθαρὰ, κατέφυγε καὶ σέσωσαι, τὰ δὲ μείναντα ἔξω ἀπώλοντο, τὸν αὐτὸν ἄρα τρόπον καὶ νῦν ὅσοι τοῦ σημάντρου τῆς Ἐκκλησίας ἀκούοντες, εἰς ταύτην ὅλῳ ποδὶ καταφεύγουσι, σώζονται· ὅσοι δ᾽ ἄλλως περιφρονήσαντες τῆς ἀθροίσεως, ἔξωπου περιπλανῶνται, εἴτε δίκαιοι οὗτοι δοκοῦσιν, εἴτε ἁμαρτωλοὶ ἀληθείᾳ ὑπάρχωσιν, οὐδείς ἐστὶν ὃς μὴ καλέσει τούτους πανωλεθρίας υἱούς. Διὸ εἰσερχώμεθα μετ᾽ εὐλαβείας καὶ πίστεως εἰς τὴν πνευματικὴν ταύτην ὁλκάδα, καὶ τοὺς τῆς ἡμετέρας ψυχῆς καὶ ζωῆς ἐγχειρίζωμεν οἴακας ὁσημέραι, τῷ ταύτης καὶ πάντων ἄρχοντι καὶ κυβερνήτῃ Χριστῷ, ὡς ἂν τῇ αὐτοῦ δεξιᾷ κυβερνώμενοι, εἰς ἀκυμάντους λιμένας, καὶ κόλπους φθάσωμεν τοὺς Ἀβραμιαίους καὶ μακαρίους ἐκείνους· τοῦτο, εἰμήτι ἄλλο, ἅτε συνετοὶ ἐν Χριστῷ καὶ σοφοὶ ἐπιστάμενοι, ὅτι ὥσπερ ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς, εἷς ὢν τὴν οὐσίαν, πρὸς πάντα ἐσχημάτισαι τὰ καλὰ διὰ τὴν ἡμῶν σωτηρίαν, καὶ πολλοῖς καλεῖται ὀνόμασιν, οὕτω καὶ ἡ αὐτοῦ Ἐκκλησία, πολλὰ τῶν ὀνομάτων καὶ λέγεται καὶ ἐστί.

Καὶ γὰρ οὐ μόνον θέατρον ἀγωνιζομένων αὕτη καλεῖται, καὶ πανήγυρις πανηγύρεων πάλιν, ἀλλὰ καὶ ἐργαστήριον πάσης τέχνης, καὶ διδασκαλεῖον πασῶν τῶν ἐπιστημῶν, ἰατρεῖον τῶν ἀρρωστούντων, καὶ πανδοχεῖον τῶν θλιβομένων, βασίλειον τοῦ Βασιλέως τῶν ὅλων, καὶ πολιτεία καὶ πόλις ἀρίστη, δικαστήριον κρινομένων, καὶ στρατεία ἡ αὐτὴ στρατολογουμένων, παράδεισος καὶ λειμὼν,

λȣτρὸν εὔχρηστον καὶ πηγὴ, μήτηρτε καὶ τροφὸς ἁπάντων ἡμῶν, μάνδρα λογικῶν προβάτων, τράπεζα γάμȣ καὶ χαρᾶς, νύμφη καὶ σῶμα Κυρίȣ, κόσμος ἄλλος πεποικιλμένος, καὶ ȣ̉ρανὸς ἐπίγειος κατηγλαϊσμένος· αὐτὸς γὰρ ταύτης ἕστηκεν ἕτοιμος, καὶ πάντας ἐκδεχόμενος ὁσημέραι ὁ πλάστης ἡμῶν· ὃς κἂν εἰς ἀγαθὸν πορευθῆναι θελήσῃ τις ἡμῶν, ὁδὸς αὐτῷ γίνεται· κἂν εἰσελθεῖν εἰς τὸ καλὸν, θύρα· κἂν δανείσασθαι, δανειστὴς ἑτοιμότατος· εἰ τραφῆναι βȣληθῇ, ἄρτος· εἰ πιεῖν, πηγὴ ζωῆς, καὶ σωτήριον ποτήριον· εἰ οἰκῆσαι, οἰκία αἰώνιος· εἰ πανηγυρίσαι, συμπανηγυριστὴς, καὶ πανήγυρις· εἰ λȣθῆναι, λȣτρόν· εἰ ἀγωνίσασθαι, ἀγωνοθέτης· εἰ μαθεῖν τὰ καλὰ, διδάσκαλος ὑπὲρ πάντας· κἂν θεραπευθῆναι πάλιν, ἰατρὸς ψυχῆστε καὶ σώματος· εἰ ποιμανθῆναι, ποιμὴν· εἰ νυμφευθῆναι, πνευματικὸς νυμφίος ὑπέραγνος· εἰ στρατευθῆναι, στρατηγός· εἴγε κριθῆναι, κριτής· εἰ βασιλεῦσαι, χορηγὸς βασιλείας· εἰ κοσμηθῆναι, κόσμος· καὶ εἰ πρὸς ȣ̉ρανὸν ἀναβῆναι, ȣ̉ρανοβάμων χειραγωγός· πάντα τοῖς τὰ καλὰ καλῶς θέλȣσι γίνεται ὁ παντοδύναμος Κύριος.

Εἰ δὴ ταῦθ᾽ ȣ̈τως ἔχει, καὶ τοσȣ́τοις χαρίσμασιν ἡ τȣ̃ Χριστȣ̃ Ἐκκλησία καταφαιδρύνεται, πάντες οἱ θέλοντες ἀληθείᾳ σωθῆναι, ἅτε φιλόκαλοι καὶ φιλόθεοι, εἰς ταύτην σπεύδοντες συνερχώμεθα, ἐκεῖνο σαφῶς ἐπιστάμενοι, ὅτι ὥσπερ δεῖγμα τῆς εἰς τὸν Αὐτοκράτορα πίστεως τῶν Ἀρχομένων ἑκάστȣ, καὶ μάλιστα τῶν περὶ τȣ̃τον Ἀρχόντων, τὸ καθ᾽ ἑκάστην ἰέναι εἰς τὸ Παλάτιον, καὶ ἐρευνᾶν, τί ἄρα βȣ́λεται ὁ κρατῶν; τί κελεύει; τίσι τρόποις τῶν ὑπηκόων ἀρέσκεται; ȣ̈τως ἄρα μέγα σημεῖον ἀνθρώπȣ πιστȣ̃, τȣ̃ ὅτι πιστὸς ἐστὶν ἀληθείᾳ, καὶ ȣ̉ προσχήματι, τὸ πρὸ παντὸς ἔργȣ, τὸ καθ᾽ ἑκάστην ἡμέραν εἰσιέναι εἰς τȣ̀ς θείȣς ναȣ̀ς, καὶ συζητεῖν τίσιν ἔργοις εὐαρεστεῖται ὁ τῶν ὅλων Θεός· εἰ δέτις ἑαυτὸν δȣ̃λον πιστὸν μὲν εἶναι τȣ̃ κρατȣ̃ντος ὁμολογεῖ, τὸ δὲ Παλάτιον αὐτȣ̃ ἐξ ἀνοίας καταφρονεῖ, ȣ̈τος ἐγγύς ἐστι, τȣ̃ μὴ πιστὸς ἀλλ᾽

ἄπιστος

ἄπιστος εἶναι· τοῦ μὴ πιστεύεσθαι· ὁ αὐτὸς δ' ἂν εἴη λόγος καὶ ἐπὶ τῶν δούλων τοῦ πάντων Θεοῦ.

Πάλιν, δεῦρό μοι γενοῦ ἐν περινοίᾳ τῆς ἀληθείας, καὶ νόει μοι πάντα τὸν κόσμον οἰκίαν τινὰ, κατὰ τὸ σχῆμα κωνοειδῆ, πάντα δὲ τὸν ὑπερουράνιον χῶρον, λέγω δὴ τὸ μεταξὺ τοῦ στερεώματος καὶ τοῦ θείου θρόνου, ὅσον ἂν ᾖ, καὶ ὅπου, ἅπαν διάστημα, ἑξκαιδεκάκυκλον μίαν Ἐκκλησίαν οὐράνιον, ἐν ᾗ πρῶτος μοι κύκλος περὶ τὸν τῆς μεγαλωσύνης θρόνον ὑπέρτατοι παρίστανται Θρόνοι· δεύτερος μετ' ἐκεῖνον τὰ Ἑξαπτέρυγα Σεραφίμ· τρίτος τὰ πολυόμματα Χερουβίμ· τέταρτος αἱ Δυνάμεις· πέμπτος αἱ Ἐξουσίαι· ἕκτος αἱ Κυριότητες· ἕβδομος αἱ Ἀρχαί· ὄγδοος οἱ Ἀρχάγγελοι· ἔννατος οἱ Ἄγγελοι· δέκατος οἱ Ἀπόστολοι· ἐνδέκατος οἱ Μάρτυρες· δωδέκατος οἱ Προφῆται· τρισκαιδέκατος οἱ Ἱεράρχαι· τεσσαρεσκαιδέκατος οἱ Ὅσιοι· πεντεκαιδέκατος οἱ Δίκαιοι· ἑξκαιδέκατος ὁ τῶν ἁγίων γυναικῶν χορός· οὗτοι γὰρ πάντες κἂν ἄνωθεν κάτω τὴν τάξιν τῆς στάσεως ἔλαχον, ἀλλ' οὐκ ἄνωθεν κάτω στιχηδὸν, ἢ ὡς ἕκαστος τύχοι, κυκλικῶς δὲ καὶ εὐτάκτως τῷ ὑπερουρανίῳ παρίστανται· τούτοις ἑπτακαιδέκατον κύκλον μοι συναρίθμει, τὴν ὑπὸ τὸν ἥλιον Ἐκκλησίαν Χριστοῦ, τὴν κυκλόθεν καὶ αὐτὴν παρεστῶσαν ἐκ προσώπου πάσης τῆς γῆς· καὶ σκόπει πῶς πάντα τὰ ἔθνη κυκλόσε, καὶ πάντες οἱ τῶν ἁγίων χοροὶ μετὰ φόβου, καὶ τὰ οὐράνια τάγματα πάντα μετὰ πόθου ἐρῶντα, πρὸς τὸ ὑπέρτατον καὶ ἀπέραντον ὕψος ἐκεῖνο ἀνατείνει τὰς ὄψεις ἐνθέως, ὡς ἐκεῖθεν λαβόντα τὸ εἶναι, καὶ πρὸς τὸ εὖ εἶναι ἀποδιδόντα, καὶ αὐτὸ τὸ οὕτω παρεστάναι καὶ λειτουργεῖν διδασκόμενα. Ταῦτ', οὖν ἐννοῶν εὐσεβῶς, καὶ τῶν εἰρημένων πάντων ταγμάτων καὶ τὰς φύσεις, καὶ τὰς τάξεις, καὶ τὰς στάσεις, καὶ τὰς γλώσσας, καὶ τοὺς ἤχους, καὶ τὰς πρὸς ἄλληλα διαφορὰς, καὶ τὰς λειτουργίας, ὡς χρὴ λογιζόμενος, συνθιασώτης αὐτῶν εἶναι σπούδαζε, ὄντε πρωΐ, καὶ μεσημβρίᾳ, καὶ πάσῃ ἑσπέρᾳ, καὶ χρόνῳ παντί· τοῦτο, εἰμήτι ἄλλο,

ἄλλο, εἰδὼς, ὅτι μία Ἐκκλησία ποικίλη, παμπληθὴς, καὶ πολύγλωσσος, ὁ οὐρανὸς ἐστὶ καὶ ἡ γῆ, καὶ ἀκοιμήτως ἐγρηγόρως τε καὶ δι᾽ ὅλου, ἄγγελοι, ἅγιοι, ἄνθρωποι δοξολογοῦσι Θεόν· καὶ ὁ δι᾽ ὄκνον λοιπὸν ἑαυτὸν ἀφορίζων τῶν ἐνταῦθα συνάξεων, ἀφορίσει αὐτὸν ὁ Θεὸς τῆς Ἐκκλησίας ἐκείνης ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ἀλλὰ μηδένα ἐξ ἡμῶν γένοιτο Κύριε πάντων Χριστὲ καὶ Σῶτερ τῆς παγκοσμίου Ἐκκλησίας, μήτε ἐνταῦθα, μήτε ἐκεῖσε ἀποληφθῆναι τὸ σύνολον, ἀλλὰ συνταγῆναι τοῖς ἀπογεγραμμένοις τῇ Ἐκκλησίᾳ τῶν πρωτοτόκων, καὶ γραφῆναι τῇ βίβλῳ τῶν σωζομένων ἐν οὐρανοῖς, ἐν σοὶ παντοδύναμε, ᾧ ἡ δόξα, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Πνεύματι. Ἀμήν.

# ΤΕΛΟΣ
## ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ.

# ΠΙΝΑΞ
## ΤΟΠΟΛΟΓΙΚΟΣ ΤΩΝ ΕΝ ΤΗ ΒΙΒΛΩ.

Ἐν ᾧ

Διὰ μὲν τοῦ Ἀραβικοῦ Ἀριθμοῦ αἱ Σελίδες δηλοῦνται, διὰ δὲ τοῦ Ἑλληνικοῦ οἱ Στίχοι.

## A.

Α, μόριον σημαντικὸν ἑπλά τινων. 193. κϛ΄.

Ἀβραὰμ εἰς μαρτύριον ἑπλὰ ἀμνάδας παρέχει τῷ Ἀβιμέλεχ. 197. ϛ΄. Ἀπ᾽ αὐτοῦ ἕως Χριστοῦ γενεαὶ ἑξάκις ἑπλὰ κατὰ Ματθαῖον. 198. κθ΄. Ἀβραὰμ μὴ σφάξας τῇ πείρᾳ τὸν υἱὸν τῇ προθέσει ἔσφαξε. 425. κθ΄.

Ἀγαθὸν τί ἐστί; 326. ε΄.

Ἀγαθότητι, οὐκ ἀνάγκῃ προήχθη παθεῖν ὁ Θεὸς Λόγος. 179. λγ΄. 182. ε΄.

Ἁγίων τάγματα ἐν οὐρανοῖς ἑπλά. 199. κγ΄.

Ἄγνοια τοῦ δέοντος, πρόφασις. 341. ιη΄.

Ἀδὰμ μετὰ τὴν παράβασιν, ἐπὶ τῆς αὐτῆς τάξεως τοῦ Γένους μένοντος, τίνα ἂν ἄτοπα ἐπηκολούθει; 57. ιϛ΄. Ἀδὰμ ἦν παρὰ πάντα τὸν βίον προσκλαιόμενος. 100. ιε΄.

Ἀδελφάτα Σιμωνιακά, ἱεροκαπηλικά, ἐπὶ Βρυεννίου. 257. λά. 258.
Ἀδιαφορίας περὶ τὴν πίστιν ἔλεγχος. 23. θ'.
Ἅδης τὶ ἐστί; 224. ιβ'. 323. κβ'.
Ἀδυνατον οὐδὲν παρὰ τῷ Θεῷ. 98. κέ. 99. Καὶ 177. κζ'.
Ἀὴρ τί; 323. ιέ.
Αἰθὴρ τὶ ἐστί; 323. έ.
Αἰσθητήρια ἑπτά. 193. β'. καὶ Αἰσθητῶν εἴδη τοσαῦτα, ἐκείνοις ἀντικείμενα. Αὐτ. δ'.
Αἰῶνι τὰ ἐν τῷ προσκαίρῳ τῷδε πάντα, ὡς ὄναρ παρέρχεται. 104. κή. 105. Αἰῶνες ἑπτά. 195. ιδ'. Αἰὼν τὶ ἐστί; 324. θ'.
Ἀκοὴ χρησιμωτέρα ὄψεως. 68. κή. 69.
Ἀκοινωνήτοις οὐ χρὴ κοινωνεῖν. 19. ιά. 20.
Ἀλεξανδρίνας τόμος τὰ τῆς ἐν Κύπρῳ Ἐκκλησίας διατυπῶν. 6. ιβ'. 10. δ'.
Ἀλήθεια τὶ ἐστί; 326. λγ'.
Ἀλλήλων ἕνεκα γεγόνασιν ἄνθρωποι. 187. κγ'.
Ἀλλοίωσις τὶ ἐστίν; 324. ιέ.
Ἅμα τὶ ἐστίν; 325. ιά.
Ἁμαρτία μόνη ἀσυγχώρητος ἡ ἀμετανόητος. 4. δ'. Ἁμαρτία κοινὴ ἐνίοτε δι' ὀλίγους δικαίους ἀφίεται· καὶ ἀνάπαλιν διὰ μερικήν τινων ἁμαρτίαν πολλοὶ δίκαιοι συγκαταδικάζονται. 251. ς'. Ἁμάρτημα τὸ μεῖζον πάντων καὶ φρικωδέστατον παρ' ἡμῖν τολμώμενον, τῆς ἐξωλείας τοῦ Γένους κατέστη παραίτιον. 241. λά. 252. Ἁμαρτίαν τὴν ἄλλου, ἐξὸν, μὴ διορθοῦσθαι ζηλοῦν, ὑπεύθυνον· δείκνυται ἐκ τῶν Γραφῶν ἐν πολλοῖς παραδείγμασιν. 261. ί. Ἁμαρτήματος οὐ μόνον τὸ εἶδος ἀνακρίνεται, ἀλλὰ καὶ πολλὰ ἐπὶ τούτῳ τῶν περὶ αὐτὸ θεωρουμένων. 263. ιά. Ἁμαρτία ὅπου ἐπλεόνασεν ὑπερεπερίσσευσεν ἡ χάρις. 314. ζ'. Ἁμάρτημα οἱ τὸ

αὐτὸ

τὸ ποιοῦντες ἆρ' ἐπίσης κολασθήσονται; 387. γ'. 388. Ἁμαρτίας τρόποι ὀκτώ. Αὐτ. Ἁμαρτημάτων θανασίμων ἆρ' ἐξίσε ἡ κόλασις. 379. ά.

Ἀναγκαῖον τὶ ἐςίν; 326. δ'.

Ἀνάπλασις πλάσεως ἀσυγκρίτως ὑπέρτερον. 185. ιγ'. Διατὶ μὴ νεύματι Θεοῦ μόνῳ, ὥσπερ ἡ πλάσις; 240. ή. Οὔτε δι' Ἀγγέλου, οὔτε δι' ἀνθρώπου; 304. ζ'.

Ἀναςάσεις πρὸ τῆς τοῦ Κυρίου γεγόνασιν ἑπλά. 200. ά. Ἀνάςασις ἡ τοῦ Κυρίου ὀγδόη οὖσα τὶ σημαίνει; Αὐτ. Ἐγένετο νυκτὸς ὥρᾳ ἑβδόμῃ. Αὐτ. θ'. Ἡ παγγενὴς ὡσαύτως ἔσαι κατὰ τὴν αὐτὴν ὥραν. Αὐτ. ί.

Ἀνεξικακεῖν δέον. 187. β'. Ἀνεξικακία Θεοῦ, ἐλπὶς ἡμῖν σωτηρίας. 188. ά. Ἡ ἡμῶν πρὸς τοὺς ἄλλους λύει μὲν τὰ ἁμαρτήματα τοῖς ἁμαρτωλοῖς, μεγαλύνει δὲ τοὺς δικαίους. Αὐτ. ιά.

Ἄνεσις ἡ τοῦ τῇδε βίου τοῖς ἀγαπῶσι τὸν Θεὸν οὐκ ἀποκεκλήρωται. 108. ζ'.

Ἀνθέων τὰ εὐωδέςερα ἑπλά. 192. κβ'.

Ἄνθρωπος ἁπάσης κοινωνεῖ φύσεως. 40. κς'. 41. Τὸ τιμιώτατον τῶν κτισμάτων. 99. κθ'. Ὅροι τούτου ἑπλά. 196. κά. Οὐδεὶς ἀνθρώπων ἀμέτοχος πάμπαν παντὸς καλοῦ. 205. ιά.

Ἄννα χάριν σημαίνει. 154. θ'. Ἡ Προφῆτις ἑπλὰ ἔτη μετὰ τοῦ Ἀνδρὸς αὐτῆς ζήσασα. 199. γ'.

Ἀξίοχος θανατῶν, καὶ ὑποφρίσσων τὸν θάνατον, παραμυθίαν ἀκούων φιλόσοφον. 294. λγ'. 295.

Ἄπειρον τὶ ἐςίν; 324. ή.

Ἀπόλαυσις ἡ τῶν μακαρίων εἰς τὸ ἀπέραντον ἐπιδώσει. 393. κβ'. 394. Ἡ δὲ τῆς ἀπολαύσεως τούτοις κοινωνία κατὰ συμμετάληψιν. 395. κς'. 396.

Ἀποςόλων ὀπαδοὶ δεκάκις ἑπλά. 199. ί. Ἀποςόλων ἔργα καὶ σημεῖα ὑπὲρ τὰ Χριςοῦ. 355. ιθ'.

Ἀπόφασις ἐν τῇ Κρίσει, ἡ μὲν κοινὴ τοῖς καταδίκοις ὑπὸ τȣ̃ Δεσπότȣ, ἡ δὲ ἰδία ἑκάςῳ παρὰ τῶν τὰς ἀρετὰς κατωρθωκότων. 388. λά. 389.

Ἀρετῶν ἑβδομάς. 195. λέ. 196. Ἀρετῶν ἑπλὰς ἐπιχορηγȣμένη τῇ πίςει κατὰ τὴν τȣ̃ Ἀποςόλȣ Πέτρȣ ὑποθήκην. 198. λδ΄. Ἀρετὴ τί ἐςίν; 326. λέ. Ἀρετὴν τῶν τὴν αὐτὴν μετιόντων ἆρ᾽ ἡ αὐτὴ ἔςαι ἀπόλαυσις; 387. κδ΄. 388.

Ἄρθρα πίςεως περὶ τὸ τῆς Θεότητος μεγαλεῖον ἑπλά. 198. κγ΄.

Ἄρθρȣ προσθήκη ἐν τῇ Γραφῇ, ἐπίσημόν τι παριςάνȣσα. 231. ιθ΄.

Ἀριθμὸς ἑπλαδικὸς εἰς σημασίαν ἀπείρȣ πολλαχȣ̃ τῆς Γραφῆς ἐκλαμβάνεται. 194. κά. Διατὶ παρθένος καλεῖται; Αὐτ. κγ΄.

Ἀριθμητικὴ τί ἐςίν; 326. ιθ΄.

Ἄρκτος ἡ μικρὰ ἑπλάςερος. 192. ιέ.

Ἁρμονικὴ τί ἐςίν; 326. κδ΄.

Ἄρτι τί ἐςίν; 325. ϛ΄.

Ἄςρον τί ἐςίν; 323. ί.

Ἀςρονομία τί ἐςίν; 326. κέ.

Ἀτελὲς τί ἐςίν; 325. κβ΄.

Αὔξησις τί ἐςίν; 324. ιγ΄. Αὔξησις κολάσεως τοῖς κατακρίτοις ȣ̓κ ἔςαι, ȣ̓δὲ μείωσις. 394. κέ.

Αὐτόματον τί ἐςίν; 324. β΄.

Ἁφῆς συζυγίαι ἀντικειμένων ἑπλά. 193. κ΄.

Ἀφθονίȣ Προγυμνάσματα δὶς ἑπλά. 194. ϛ΄.

Ἄχρι καὶ ἕως ἐπὶ Θεȣ̃ λεγόμενα ȣ̓κ ἐμφαίνει τέλος. 398. β΄.

B. Βα-

## Β.

Βαβυλωνικὴ κάμινος ἑπταπλασίως ἐκκαυθεῖσα, καὶ ἐπὶ πήχεις ἑπτάκις ἑπτὰ ἐκχυθεῖσα. 197. ιθ΄.

Βάπτισμα ὃ ὁ Χριστὸς ἐβαπτίσατο τί διαφέρει τοῦ ἡμετέρου; 349. ιδ΄. Τὸ ἡμέτερον ἐταμιεύετο πᾶσι μετὰ τὴν τοῦ Κυρίου Ἀνάστασιν. 352. κϛ΄. Ὃ καὶ οἱ Ἀπόστολοι ἐβαπτίσαντο πάντες ὑπ᾽ ἀλλήλων. 353. κδ΄. Εἰς τὸ Ἰωάννου διατί οὐ κέκληται πάντα τὰ ἔθνη; 353. λδ΄. 354. Κατὰ τὸ τοῦ Κυρίου, οἷα γέγονε θαυμαστὰ καὶ παράδοξα; 358. θ΄. Ἀνακαθαρτέον τὸ βάπτισμα διὰ μετανοίας. 359. ι΄.

Βασιλεία Ῥωμαίων ἐπὶ Βρυεννίου μιᾶς μόνης τῆς Κωνσταντινουπόλεως ἦρχεν. 35. ε΄.

Βασιλεία τοῦ Θεοῦ διττῆ τις παρὰ τῇ Γραφῇ. 398. ι΄.

Βασίλειος ὁ οὐρανοφάντωρ τὰ λυπηρὰ τοῦ βίου διαγράφων. 284. κ΄. — 286.

Βασιλεὺς τῷ ὄντι τῶν σωζομένων ὁ Κύριος, διὸ καὶ Βασιλεὺς ἐπεγράφη τῶν Ἰουδαίων. 366. ιθ΄. 367.

Βασιλικοῦ ὁ παῖς ἑβδόμῃ ὥρᾳ τοῦ πυρετοῦ ἀπήλλακται. 199. α΄.

Βιβλίον τὸ ἐμφερόμενον ἐν τῇ Ἀποκαλύψει, σφραγῖσιν ἑπτὰ κατεσφράγιστο. 198. λγ΄.

Βίβλοι ἀνοιχθησόμεναι ἐν τῇ Κρίσει τίνες; 376. ιε΄.

Βίος διεφθαρμένος πονηρὰ τίκτει δόγματα, καὶ ἀνάπαλιν. 3. κζ΄. Ὁ παρὼν, ἑπτὰ παρὰ τῷ Σολομῶντι ὠνόμασται. 195. β΄. Κυοφορίᾳ τις ἔοικεν εἶναι πρὸς τὸν μέλλοντα. 203. κα΄. 204.

Βουλὴ προαιώνιος τῆς ἐν τέλει τῶν χρόνων γενησομένης οἰκονομίας. 141. — 144.

Βραχυβιότης εἰς ἀγαθὸν ᾠκονόμηται τοῖς ἀνθρώποις. 38. β΄. 39.

Βρεφῶν τὰ μὲν κυοφορέμενα ἄῤῥενα τῇ ἑβδόμῃ ἑβδομάδι διαμορφῦται, τὰ δὲ Θήλεα τῷ τρίτῳ μηνί. 195. έ. Τὰ ὀκτάμηνα τικτόμενα ὡς τὰ πολλὰ θνήσκει, ἢ μένει ἄγονα· τὰ δ᾽ ἑπτάμηνα ζῇ, καὶ τῶν ἐννεαμηνιαίων γίνεται γονιμώτερα, 195. ζ'.

Βρυέννιος Ἰωσὴφ τοποτηρητὴς τῦ Πατριάρχου εἰς Κύπρον ἀποσαλείς. 10. λβ'. Συνοδικαὶ ἐπιτροπαὶ αὐτῷ ἀποσελλομένῳ ἐπιδιαταχθεῖσαι. 12. ά. Ἀπολογία αὐτῦ ὑπὲρ τῆς εἰρημένης αὐτῦ Ἀποσολῆς. 24. 25. Ἐκ Βασιλικῦτε καὶ Πατριαρχικῦ ἐπιτάγματος ἐπὶ τὴν Διδασκαλικὴν καθέδραν προβιβαθείς. 244. κά. 245. Τὴν τῦ Γένους ἐν ταῖς κατ᾽ αὐτὸν ἡμέραις κατάστασιν ἐκτραγωδῶν. 245. — 249. κξ. Τούτου προδιαμαρτύρησις κατὰ τῶν χρισοκαπήλων. 260. κβ'. 261. Καὶ 270. ά. 271.

Βρώσεως καὶ Πόσεως οἱ μακάριοι μεταλήψονται οὐ φθειρομένων. 396. έ.

## Γ.

Γαβριὴλ, ὃς ἑρμηνεύεται ἄνθρωπος Θεὸς, διατὶ ὑπουργὸς τῦ τῆς οἰκονομίας μυσηρίου ἐκλέγεται. 155. ιθ'. 156.

Γάμος ὁ κατὰ τὴν Θεοπρεπῆ οἰκονομίαν. 58. κζ'. 59.

Γένεσις τὶ ἐσίν; 324. ιά.

Γένους τῦ ἡμετέρου τῆς καταστροφῆς τὰ αἴτια. 249. κή. 250.

Γερμανὸς ὁ Β'. Κωνσαντινουπόλεως τὸ συνεύχεσθαι τοῖς Λατινόφροσιν ἀπαγορεύων. 20. κς'.

Γεωμετρία τὶ ἐσίν; 326. κά.

Γῆ τὶ ἐσίν; 323. κά.

Γλῶσσαι πύρινοι αἱ ὀφθεῖσαι, οὔτε τῦ Πνεύματος ἦν ἡ φύσις, οὔθ᾽ ἡ ὑπόσασις, ἀλλ᾽ ἡ ἐνέργεια. 118. κ'.

Γλῶσσας εἴσονται τὰς πάσας οἱ ἅγιοι ἐν τῇ ἀπολαύσει. 395. ά. Γλωσσῶν ἡ κατάργησις παρὰ τῷ Ἀποςόλῳ πῶς νοητέα; 395. ιϛ'.

Γλώσσης τῆς ἐν κακοῖς εὐχαριςούσης Θεῷ οὐδὲν ἁγιώτερον. 422. κή.

Γνῶμαι τῶν ἑπτὰ Σοφῶν ἑπτά. 196. ί.

Γνῶσις τί ἐςίν; 326. ιά.

Γογγυςὴν ἄνθρωπον Θεὸς οὐ βαςάζει, ἐὰν μὴ παιδεύσῃ. 422. κβ'.

Γονέων κήδεσθαι ἔργῳ ἐδίδαξεν ὁ Κύριος. 80. ιέ. 81.

Γονὴ ἡ τοῦ ἀνθρώπου οὐκ ἔςι περίττωμα. 193. ιβ'.

Γραμματικὴ τί ἐςίν; 326. ιγ'.

Γραφικὴ λέξις φλὲψ ἀβύσσου ἀνεξαντλήτου. 70. λδ'. 71. καὶ 77. κγ'.

Γρηγόριος ὁ Θεολόγος τὴν ἑπτάδα τιμῶν καὶ ἐκθειάζων. 201. κά. 202. Τὰ λυπηρὰ τοῦ βίου ἐμμέτρως ᾄδων. 286. λά. — 288.

Γυναῖκες πλησιάσαι τολμήσασαι τῷ τοῦ Κυρίου Σταυρῷ. 79. κ'.

Γυναικὸς ἐξεπήγασε τὰ κρείττονα, ὥσπερ τὴν ἀρχὴν τὰ χείρονα. 239. κϛ'. 240.

## Δ.

Δάκρυον οὐκ ἔςι περίττωμα. 193. ιβ'. Δάκρυα μετανοίας μεῖζον τι τοῦ Βαπτίσματος. 359. κθ'. 360. Δάκρυα δεκτὰ Θεῷ, ὡς καὶ τὸ μαρτύρων αἷμα. 360. ί.

Δανιὴλ συνετιζόμενος περὶ τῶν ἑβδομάδων ὑπὸ τοῦ Γαβριὴλ, καὶ τρεῖς ἑβδομάδας ἡμερῶν νηςεύων. 197. ιζ'.

Δεσμεῖν τε καὶ λύειν οὐχ ἁπλῶς ὅ, τι τύχοι, καὶ ᾗ τύχοι. 262. κβ'. 263.

Διάβολος ὑπέδυ τὸν νύξαντα τῇ λόγχῃ τὴν τοῦ Κυρίου πλευρὰν, ὑφορώμενος καὶ δεδιὼς τὸν ἐςαυρωμένον. 86. ιδ'.

Διαθήκη μάρτυσιν ἑπ]ὰ ἀμέμπ]ως κυρᾶται. 194. ιή.
Διάκονοι ἑπ]ά. 199. ιϛ'.
Διαλεκτικὴ τὶ ἐςίν; 326. ιζ'.
Διάπλασις ἑκάςῳ ἡ πνευματικὴ ὅπως γίνεται. 203. λ'. 204.
Διδάσκων ἐπ' ἐκκλησίας τὸν λόγον τίνι ὅμοιος; 361. ί.
Δικαίων χάριτες ἐν τῇ ἀναςάσει, λεπ]ότης, ἐλαφρότης, κτξ. 377. ά. Μορφαὶ, καὶ ἀναβολαί. Αὐτ. κ'.
Δίκlω οἱ ἐνταῦθα φθάσαντες δȣ̃ναι τῶν πεπλημμελημένων, ἀνεκτότερον ἐν τῇ ἀναςάσει κολασθήσονται· οἱ δὲ καὶ τελείως ἀπαλλαχθήσονται. 390. θ'.
Δίψα ἡ τȣ̃ Κυρίȣ ἡμῶν ἐπὶ τȣ̃ Σταυρȣ̃ ὁποίατις ἦν; 83. ιδ'.
Δογμάτων τὰ ἀποῤῥητότερα τοῖς πᾶσι προτίθεσθαι ȣ̓κ εὐπρεπές. 183. θ'.
Δοκιμασία ἡ πρὸς τὴν τῶν μυςηρίων μετάληψιν ἀπαιτȣμένη. 271. κή.
Δυνάμεις τῆς ψυχῆς ὅσαι, καὶ τίνες; 66. ιβ'. 67.
Δυνάμεως ἐπὶ τȣ̃ Θεȣ̃ ἀπόδειξις λεγόμενον τὸ, ȣ̓ δύναται. 98. κέ. 99.
Δύναμις τὶ ἐςίν; 325. κδ'.

## E.

Ἔαρ τὶ ἐςίν; 324. κθ'.
Ἑβδομάδες ἑβδομήκοντα ἐπὶ τὴν Ἱερȣσαλὴμ συντετμημέναι. 197. ιδ'.
Ἑβδομὰς τὶ ἐςίν; 324. λδ'.
Ἐγκατάλειψις καὶ πειρασμὸς ἄλλο καὶ ἄλλο. 408. γ'.
Ἐγκωμίων ἀνθρωπίνων οἱ νόμοι τίνες; 344. ϛ'. Τȣ́τοις δȣλεύειν ȣ̓ θέλȣσιν οἱ πρὸς τȣ̀ς Ἁγίȣς ἔπαινοι. 345. ά.
Ἐδὲμ γῆ παρθένος τύπος τῆς Παρθένȣ καὶ Θεοτόκȣ. 230. κβ'.

Ἔθνη

Ἔθνη ἐπὶ Βρυεννίȣ Χριστιανίζοντα, καὶ Μαωμεθίζοντα. 104. ά.

Ἐκκλησίαι ἑπλὰ ὑπὸ Ἀγγέλων ἑπλὰ τηρȣ́μεναι κατὰ τὴν Ἰωάννȣ Ἀποκάλυψιν. 198. λ΄.

Ἐκκλησίας τύπος ὁ οἰκίσκος ἔνθα ἡ Παρθένος ἐγέννησεν. 60. κέ. Ἐκκλησίας ποικίλα ὀνόματα. 429. κζ΄. 430. Ἐκκλησίας τῆς παγκοσμίȣ διατύπωσις. 431. γ΄. 432. Ἐκκλησία Νηῒ ἐν πελάγει μεγάλῳ εἰκάζεται. 426. κή. — 428. καὶ λιμένι. 428. ιγ΄.

Ἐκκρίσεις σωματικαὶ ἑπλά. 193. ί.

Ἐκλεκτοὶ ὀλίγοι. 46. ά. Ἐκλεκτῶν ἀριθμὸς, ἄλλοις ἄλλος. 219. κά. 220.

Ἐλεημοσύνη πρὸς συγγενεῖς ὀφειλομένη καὶ δικαία. 80. ιθ΄. Ἐλεημοσύναι σωματικαὶ ἑπλά. 200. λδ΄. καὶ αἱ πνευματικαὶ τοσαῦται. 201. γ΄. Ἐλεημοσύνη ἀρετὴ ἀναγκαία. 400. λβ΄. 401. Ταύτης ἡ δύναμις ὅση καὶ τὸ κέρδος. 401. ιή. 402. Προτροπὴ εἰς τὴν πρᾶξιν αὐτῆς. 403. ά. 404.

Ἐλευθερίᾳ πάντες ἄνθρωποι τετιμήμεθα. 317. κθ΄. 318.

Ἐλισσαίȣ ἔργα ἐξαίσια δὶς ἑπλά. 197. λβ΄.

Ἔλλαμψις θεία τί ἐστίν; 123. κή. 124. — 128.

Ἐμπειρία τί ἐστίν; 325. κζ΄.

Ἐνανθρωπήσεως τῆς ἐκ παρθένȣ, εἰκότες λόγοι. 52. ιδ΄. 53. 54. Οὔθ' ὡς παραδόξῳ ταύτῃ, ȣ̓́θ' ὡς ἀναξίᾳ Θεῷ ἀπιστεῖν δεῖ. 55. ιά. — 57. Ὅτι ἀναλλοιώτως, καὶ ἀτρέπτως, καὶ ἀσυγχύτως ἐγένετο. 98. κγ΄. Καὶ 178. ιζ΄. 179. Ὅτι μεγαλύνει, ἢ σμικρύνει τὸν παντεργέτην. 178. ά. Ὅτι ἀπ' αἰῶνος τῷ Θεῷ θελητόν. 233. λ΄. 234. Ὅτι ȣ̓́τε ἀνάξιον Θεȣ̃ κατὰ Ἑλλήνων, ȣ̓́τε ἀδύνατον κατὰ Ἰȣδαίων δείκνυται. 238. κδ΄. 239.

Ἐνέργεια, ἐνεργητικὸν, ἐνέργημα, ἐνεργῶν, τὶ ἐςὶ, καὶ τὶ διαφέρει; 113. κή. 114. Ἐνέργεια τὶ ἐςίν; 325. κέ.

Ἐνιαυτὸς τὶ ἐςίν; 324. κδ΄.

Ἐνςάσεις δικανικαὶ δὶς ἑπ]ά. 194. ί.

Ἕνωσις τὶ ἐςίν; 5. ιθ΄. Γίνεται δωδεκαχῶς. 150. λβ΄. 151. Ἡ καθ᾽ ὑπόςασιν ἐπὶ μόνȣ τȣ̃ Θεανθρώπȣ. Αὐτ. Ταύτης ὁπωσȣ̃ν παράδειγμα ὁ δίσκος ὁ ἡλιακός. 151. κή. 152. Καὶ 233. ιϛ΄. Καὶ ἡ λαμπὰς ἀφ᾽ ἧς ἡ φλὸξ ἀμειώτως μεταδίδοται. 233. κ΄. Τὴν ἕνωσιν τῶν δύο φύσεων ἐπὶ τȣ̃ Χριςȣ̃, ἐνδοτάτην ἔδει εἶναι καὶ τελείαν. 305. δ΄.

Ἐξ αἴφνης τὶ ἐςίν; 325. ιά.

Ἐξομολογȣ̃μαι δισσὰ σημαίνει. 366. λβ΄. 367.

Ἐπιςήμη τὶ ἐςίν; 325. λδ΄.

Ἑπ]ὰ ὁ ἀριθμὸς παρθένος, καὶ τίμιος, καὶ σχεδὸν εἰς πάντα χωρῶν. 192. γ΄.

Ἐργασίαι πνευματικαὶ ἑπ]ά. 196. ή.

Ἔσχατον τὶ ἐςίν; 325. ιή.

Εὐαγγελισμὸς ἡ ἑορτὴ διατὶ λέγεται; 60. λγ΄. 62. Ἀρχὴ καὶ ῥίζα πασῶν τῶν ἑορτῶν. 63. θ΄. Ἡ ταύτης ὑπόθεσις. 149. ιέ.

Εὐαγγελιςῶν συμφωνία περὶ τὸ ὄξος, ὃ ἐπότισαν οἱ ςαυρώσαντες τὸν Ἰησȣ̃ν. 84. ιή.

Εὐγένεια τὶ ἐςίν; 327. δ΄.

Εὐχαριςεῖν Θεῷ, ȣ̓ μᾶλλον ἐπὶ τῇ τῶν ἀγαθῶν χορηγίᾳ, ἢ ἐπὶ τῇ τῶν κακῶν συγχωρήσει. 414. κδ΄. 422. κέ.

Εὐχαριςήριον τῇ Θεοτόκῳ ἐπὶ τῇ ἀπὸ τῶν πολεμίων ἀπολυτρώσει τῆς Πόλεως. 408. θ΄. — 413.

Εὐχέλαιον δι᾽ ἑπ]ὰ ἱερέων τελȣ́μενον. 199. κϛ΄.

## Ζ.

Ζοροβάβελ ἀνοικοδομεῖ τὸν Ναὸν ἐν ἔτεσιν ἑπ]ά. 197. κδ΄.
Ζύμης ἆρσις ἑπ]αήμερος. 195. α΄.
Ζωγράφοι πολλὰ φιλοτιμίας χάριν, ἢ ἐνδείξεως ἕνεκα τοῖς πίναξιν ἐγγράφειν εἰώθασιν. 389. λ΄. 390.
Ζωῆς ἡμῶν τὰ ἔτη κατὰ τὸν Δαυὶδ ἑπ]ὰ δεκάκις. 195. ιβ΄.
Ζῶον τί ἐςίν; 323. κε΄.
Ζωόφυτον τί ἐςίν; 323. κς΄.
Ζώων ἀπὸ τῶν καθαρῶν ἑπ]ὰ ἑπ]ὰ λαβεῖν ὁ Νῶε προςέτακται. 197 ε΄.

## Η.

Ἤδη τί ἐςίν; 325. η΄.
Ἦθος τί ἐςίν; 326. ε΄.
Ἡλικιῶν ἀνθρώπȣ μεταβολαὶ ἑπ]ά. 193. ζ΄.
Ἥλιος ἑπ]απλασίων ἑαυτȣ̃ κατὰ τὸν Ἡσαΐαν ἐσόμενος. 198. ιγ΄. Τί ἐςίν; 323. ζ΄. Τȣ́τȣ οἱ κύκλοι ἐν ἐνιαυτοῖς τετράκις ἑπ]ὰ, Βισέξτȣς περιέχοντες ἑπ]ά. 192. ι΄.
Ἡλιȣ̃ ἔργα ἐξαίσια ἑπ]ά. 197. κς΄.
Ἡμέρας τῆς φοβερᾶς κρίσεως ἀεὶ μνηςέον. 379. κε΄. — 384.
Ἡμέρα τί ἐςίν; 325. β΄.

## Θ.

Θαμύριδος ἐν τῇ ἐφόδῳ κατὰ τὴν Ἕω πολλοὶ μαρτυρήσαντες. 426. ιε΄.
Θάνατος κυρίως τίς; 102. ιη΄. Θάνατον πῶς δίκαιον τοῖς πιςοῖς ἐπίσης ἐπάγεσθαι καὶ τοῖς ἀπίςοις; 103. ις΄.

ιϛ΄. Εὐεργεσία μεγίςη παρὰ Θεȣ̃ τοῖς ἀνθρώποις. 292. λα΄. 293. Παρὼν μὲν ȣ̓δένα ἐλύπησεν, ἀπὼν δὲ καὶ προσδοκώμενος λυπεῖ. 294. κζ΄. Ἡ τȣ́τȣ ἀδηλία ὠφέλιμος. 295. κγ΄. Τοῖς πιςοῖς τὶ ἐςίν; 297. λα΄. Ὁ διὰ ςαυρȣ̃ πάντων ἐδόκει ἀτιμότερος καὶ ὀδυνηρότερος. 307. λα΄. Διατὶ τȣ̃τον ᾑρετίσατο ὁ Κύριος; 309. κζ΄. 310. Θανάτοις οἱ βιαίοις καὶ μὴ κατὰ φύσιν ἐπελθȣ̃σιν ἀπαχθέντες ἐντεῦθεν, πρὸς τὴν διαφορὰν τῆς σφῶν διαθέσεως, ἀνεκτότερον ἐν τῇ κρίσει δικαιωθήσονται. 390. κζ΄. 391.

Θανόντας ἐν τῷ πολέμῳ ὑπὲρ τῆς εἰς Χριςὸν πίςεως μακαρίζειν δέον, καὶ ἐκθειάζειν. 425. ια΄.

Θάλασσα τὶ ἐςὶν; 323. κ΄.

Θᾶττον τὶ ἐςίν; 325. ιγ΄.

Θαυματȣργίαι καὶ νῦν μὴ διαλείπȣσαι. 34. ϛ΄. – 36.

Θεάματα ἐν τῇ οἰκȣμένῃ ἑπτὰ· τίνα; 196. λβ΄.

Θεάνθρωπος Θεὸς σαρκοφόρος, ȣ̓κ ἄνθρωπος Θεοφόρος. 242. α΄. Παρὰ πάντα τὸν βίον ȣ̓κ ἐγέλασεν, ȣ̓κ ἔπαιξεν, ȣ̓δὲ ἀςεῖον εἶπεν, ȣ̓δὲ ἠῤῥώςησεν. 306. ζ΄. Ἡ ἐν αὐτῷ ἀνθρωπότης ὑπέςη τὰ πάθη. 305. κε΄. Ἅπερ ἡ ἐν αὐτῷ Θεότης οἰκειȣ̃ται διὰ τὴν καθ᾽ ὑπόςασιν ἕνωσιν. 306. ιγ΄.

Θεόθεν ὅ,τί ποτε ἡμῖν ἔπεισι, φιλάνθρωπον καὶ ὠφέλιμον. 293. ιδ΄. Καὶ 415. α΄.

Θεομητορικαὶ ἑορταὶ ἑπτά. 199. κζ΄. Ἡ γὰρ Κοίμησις, καὶ ὁ Εὐαγγελισμὸς, καὶ ἡ Ὑπαπαντὴ ταῖς Δεσποτικαῖς συναριθμȣ̃νται. Αὐτ.

ΘΕΟΣ διατὶ μὴ προςάγματι μόνῳ τὸν ἄνθρωπον τῆς φθορᾶς ἐῤῥύσατο; 94. ιϛ΄. 240. Ἢ δι᾽ Ἀγγέλȣ; Αὐτ. κϛ΄. Ἢ διὰ φύσεως ἑτέρας κτίσματος ἄλλȣ ἐκ τȣ̃ μὴ ὄντος παρηγμένȣ; 95. α΄. Καὶ 171. λ΄. 172. Ἢ διὰ ψιλȣ̃ τινος ἀνθρώπȣ; Αὐτ. θ΄. Καὶ 240. κθ΄. Ἢ διὰ τῶν Πατριαρχῶν, ἢ τῶν Προφητῶν, ἢ τῶν Βασιλέων,

σιλέων, ἢ τῶν Κριτῶν; Αὐτ. ιέ. Ἢ διατὶ μὴ προσείληφεν Ἀγγέλε φύσιν ὑπὲρ τῦ σῶσαι τὸν ἄνθρωπον; Αὐτ. κά. Ἢ καὶ τῶν Ἀγγέλων τὲς πεσόντας; Αὐτ. κή. Ἢ διατὶ μὴ μόνlω ἔλαβε ψυχlὼ, ἀλλὰ καὶ σῶμα; 96. ς'. Ἢ διατὶ μὴ γυμνῇ τῇ Θεότητι ὤφθη; Αὐτ. ιέ. Καὶ διατὶ μὴ πᾶσιν ἀνθρώποις, μόνοις δὲ τοῖς Ἰεδαίοις πεφανέρωται; Αὐτ. κβ'. Πῶς ἐνlωθρώπησεν; Αὐτ. λβ'. 97. 98. Διατὶ ἐχ ἐντι ἐξελέξατο τῶν τιμίων σωμάτων προσλαβεῖν; 99. θ'. Τὶ ὅτι μὴ πρότερον σεσάρκωται; 100. ά. Τὶ ἐκ ἐδέξατο τlὼ τῦ Ἀδὰμ μετάνοιαν; 100. ιδ'. Πῶς ὢν πανσθενὴς ἐ πάντας ἠφάνισε τὲς μὴ ὄντας Θεὲς; 101. δ'. Καὶ τὲς τῆς Ἐκκλησίας διώκτας; Αὐτ. ιή. Πῶς τlὼ κατάραν ἔλυσε, καὶ τὸν θάνατον κατήργησεν, ἁπάντων ὡς πρότερον ἀποθνησκόντων; 101. λγ'. 102. Διατὶ μὴ καὶ τῷ σώματι ἀναςὰς τὰ σώματα, ὡς τῇ ψυχῇ καταβὰς εἰς ἅδε τὰς ψυχὰς ἀνέσησε; Αὐτ. κδ'. Διατὶ μὴ πᾶσιν ὤφθη μετὰ τlὼ Ἀνάςασιν; 103. ά.

Θεῦ Λόγε ἡ μὲν παρεσία ἀμετάβατος. 149. λγ'. Ἡ δὲ σύλληψις ἀναλλοίωτος. 150. ά. Θεὸς ὄνομα ἐνεργείας σημαντικόν. 114. ά. 115. ἐ. Θεῦ Φύσις πάσῃ γενητῇ φύσει ἀμέθεκτος, μεθεκτὴ δὲ ἡ ἐνέργεια. 118. ς'. Καὶ ἡ ἐνέργεια ἄκτιςος. 118. κς'. — 120. Παρὰ δὲ τlὼ ἐν αὐτῷ δύναμιν καὶ ἐνέργειαν ἐ σιώθετος ὁ Θεός. 120. κδ'. — 122. Θεὸν ἄχρι σαρκὸς συγκαταβlῶαι τίνα τὰ κινήσαντα; 173. β'. — 177. Ἔργον ἐποίησε μεσίτε ὁ Λόγος, τῇ Θεότητι καταλλάξας τlὼ ἀνθρωπότητα. 173. λ' 174. κζ. Τὸ Θεὸν παθεῖν, φοβεῖσθαι ἐςὶν, ἐ φόβος ἐκ ἔςιν. 181. κβ'.

Θεωρία τὶ ἐςίν; 327. ή.

Θεωριῶν εἴδη ἑπλά. 196. δ'.

Θερίζει ἕκαςος ὅ, τι σπείρει. 417. κζ'.

Θέρος τὶ ἐςίν; 324. λ'.

Θλίψεις

Θλίψεις τὶ ὅτι καὶ τοῖς τῦ Θεῦ φίλοις ἐπέρχονται; 103. κγ΄. Θλίψεσιν οἱ παλαίοντες μᾶλλον κεχαρισμένοι εἰσὶ τῷ Θεῷ. 107. γ΄. 108. Θλίψεις τοῖς δικαίοις μάλιϛα πρέπυσι. 423. κβ΄.

Θρίαμβος τῆς Θεοτόκυ ἐπὶ τῇ ϛαυρώσει τῦ Υἱῦ αὐτῆς. 75. ια΄. 76.

## Ι.

Ἱεροκαπήλων ἡ ποινὴ φοβερά. 254. κή.

Ἱερωσιώῦ λαμβάνων ἑπλᾶ μάρτυσι πιϛῦται. 194. ιθ΄. Βαθμοὶ, ἢ τάξεις Ἱερωσιώνης ἑπλά. 199. έ.

Ἰησῦς Σωτήρ. 240. λδ΄.

Ἵνα ἐν τῇ Γραφῇ ὐκ ἀεὶ αἰτιολογικόν. 316. ιέ.

Ἰορδάνης διατὶ πάντων ποταμῶν, καὶ πασῶν πηγῶν καὶ λιμνῶν εἰς βαπτισμόν τῦ Κυρίυ προτετίμηται; 357. ιγ΄.

Ἰυδαῖοι ἀρθῆναι τὸ σῶμα τῦ Κυρίυ ἀπὸ τῦ ϛαυρῦ ἐπισπεύδυσι· διατί; 85. κά.

Ἰύδα οἱ ὑπεραπολογύμενοι, ὡς δῆθεν προωρισμένυ εἰς τὴν προδοσίαν ἵνα ἡ Γραφὴ πληρωθῇ, ἐλέγχονται. 314. λ΄. — 317.

Ἰταλῶν τῆς Κωνϛαντίνυ κρατησάντων, θαυματυργεῖν τὰ ἐκεῖσε λείψανα τῶν Ἁγίων ἐπαύσατο. 35. ιέ.

Ἰσμαηλιτῶν οἱ Σατράπαι βαπτιζόμενοι, ἵνα μὴ κακὸν τὰ σώματα ὄζωσι. 34. λά. Τῶν δὲ τῦ γένυς τὴν δυσπραγίαν παραζηλῦν ὐ χρή. 105. κή. — 107.

Ἰωακεὶμ ἑρμηνεύεται Θεὸς Ἰατρός. 154. ή.

Ἰωάννης ὁ ἐπιϛήθιος ἑαυτὸν ὐκ ὀνομάζει μετριοφρονῶν. 78. κβ΄. Δῦλον ἑαυτὸν ἀνέγραψε τῆς Ῥωμάνης, ὑφ' ἧς καὶ ῥαπισθεὶς τὴν ἄλλην ὑπέϛρεψεν. 79. ή. Τῦτῳ πρεπόντως ὁ Κύριος παρακατατίθεται τὴν ἑαυτῦ μητέρα. 81. ιέ. Ὡς κατ' ἐξοχὴν παρθένῳ. Αὐτ. κγ΄.

Ἰωάννυ

Ἰωάννȣ τȣ͂ Βαπτιςȣ͂ γέννησις, ἀνατροφὴ, διαγωγὴ, κήρυγμα κτ. 345. καί. 346. Τȣ͂νομα ἑρμηνεύεται Θεȣ͂ χάρις. 347. δ΄. Τȣ͂τον πέτρα ὑπεδέξατο ῥαγεῖσα, καὶ τὸν Ἡρώδην διέσωσε φεύγοντα. 347. ιά. Τȣ́τȣ ἔργα, καὶ ὀνομασίαι. 348. ά. Ὑπ' αὐτȣ͂ βεβαπτισμένȣ ἤδη, ἢ ἀβαπτίςȣ ἔτι ἐβαπτίσθη ὁ Κύριος; 351. θ΄. Ἐβαπτίσθη καὶ ȣ̔͂τος παρὰ Χριςȣ͂. 352. ά. Σημεῖον ἐποίησεν ȣ̓δέν. 354. λ΄. Διατὶ ἐξελέγη τȣ͂ Ἰȣδαίων γένȣς, καὶ τȣ͂ Χριςȣ͂ εἶναι βαπτιςής; 356. λγ΄. 357.

## Κ.

Καθιεῖσθαι ἐπὶ θρόνȣ δόξης ὁ Κύριος λέγεται ὡς ἄνθρωπος. 365. ζ΄.

ΚΑΙ Σύνδεσμος ἀντὶ τȣ͂ ΟΤΙ. 237. λβ΄.

Καιρὸν ὁ ἀπολέσας ȣ̓͂ποτε εὑρήσει. 226. ά.

Καιρὸς πονηρὸς τῷ ἡμετέρῳ Γένει, ἐπὶ Βρυεννίȣ. 245. λά. — 247.

Κακὰ ἐπιφερόμενα ῥαδίως ταράττει τὴν ἄφρονα. 419. ς΄. Εὔοιςα δὲ τῷ νȣνεχεῖ καὶ θεόφρονι. Αὐτ. λϛ΄. Διὰ δέκα λόγȣς. 420. 421. Πολλὰ δὲ τῶν κακῶν ἡμῖν καὶ ἐξ ἀπροσεξίας συμπίπτει, ἐφ' οἷς ἤτοι τὸν Θεὸν, ἢ τὴν φύσιν ἀλόγως πάνυ αἰτιᾶσθαι εἰώθαμεν. 422. ε΄. Κακὰ πάσχειν τοῖς κακοτρόποις συμφέρει. 417. κβ΄.

Κακία πρόχειρον εἰς μίμησιν. 13. ή.

Καλὸν ȣ̓κ ἐν τῷ πλήθει. 44. λβ΄. 45. Καλὸν τὶ ἐςίν; 326. β΄.

Κανὼν τοῖς μετανοȣ͂σιν ȣ̓χ ὁ αὐτὸς πᾶσιν ἐπιθετέος. 258. κς΄. 259.

Καρποφορεῖ τὰ ὄντα πάντα τῷ Θεῷ· πρὸ δὲ πάντων ὀφείλει ὁ ἄνθρωπος. 157. ιδ΄. — 159.

Καταλλαγὴ Θεȣ̃ πρὸς ἄνθρωπον ἐκ ἐγένετο ἐν τοῖς Προφήταις. 94. δ'.

Κατ' εἰκόνα τὶ ἐςίν; 141. κδ'. καὶ καθ' ὁμοίωσιν. 142.

Κενὸν τὶ ἐςίν; 324. θ'.

Κινήσεις τοπικαὶ ἑπλά. 193. ιγ'.

Κίνησις τὶ ἐςίν; 324. ί

Κλίματα γῆς ἑπλά. 192. ιθ'.

Κοινωνίας τρόποι δύο. 417. λδ'.

Κόλασις διὰ ταυτοπάθειαν τῶν πολλῶν, ȣ̓ φέρει ἀναψυχὴν. 391. ϛ'. Τέλος αὐτῆς ȣ̓κ ἔςαι ȣ̓δέποτε. 397. ά. Αἰώνιος ȣ̃σα ἐπὶ ἁμαρτίᾳ ἐγχρόνῳ πῶς ἔςαι δικαία; 399. ιή. 400. Πῶς ἔςαι ταύτην ἐκφυγεῖν; 400. ιή. Κολάσεων διαφοραὶ τοῖς ἁμαρτωλοῖς. 378. ϛ'.

Κόσμος ἐγγὺς τῆς συντελείας γινόμενος. 103. λγ'. Τȣ́τȣ μέρη ἑπλά. 192. ϛ'. Εἰς τρία διῄρηται. 204. λδ'. 205. Κόσμος ὁ περίγειος πειρατήριον καὶ δοκιμαςήριον τῶν ζώντων. 205. κέ. Αὐτός τε καὶ ὁ κατ' αὐτὸν αἰὼν ἔοικε πανηγύρει, ἀγορᾷ, τρυτάνῃ, ποταμῷ ῥέοντι, ἀγρῷ, ἀγῶνι, δένδρῳ, φρȣρᾷ. 220. ιδ'. 221. Τροχῷ καλινδȣμαίῳ, τῷ ἐν Ἐδὲμ παραδείσῳ. 222. θ'. Πανδοχείῳ, καταγωγίῳ. 224. λγ'. Ἔςι χωρίον ζώντων, καὶ θνησκόντων τάφος. 225. γ'. Ἔοικε θαλάσσῃ. Αὐτ. ιά. Τὶ ἐςίν; 323. δ'.

Κόσμος ἀνθρώπȣ. 326. ζ'.

Κρίνειν τȣ̀ς ἄλλȣς μὴ δεῖν. ὅπως νοητέον τὸ εἰρημένον. 268. δ'. 269.

Κρίσεως πέρι συμφωνία παλαιᾶς τε καὶ καινῆς Διαθήκης. 362. θ'. — 364. Ὅσα περὶ Κρίσεως εἴωθε ζητεῖσθαι. 367. κέ. — 369. Καθ' ἣν ἔςαι ἡμέραν μόνος ὁ Θεὸς οἶδεν. 369. κγ'. Πȣ̃; ἤτοι ἐν ποίῳ τόπῳ ἔςαι; 370. δ'. Πῶς; καὶ τίνι τρόπῳ γενήσεται;

ται; 370. κδ΄. Κρίσεως ὥρα ἡ πρώτη τῶν τȣ͂ ἔτȣς ὡρῶν· ἡμέρα Κυριακή· νυκτὸς ὥρα ἑβδόμη, καθ᾽ ἣν καὶ ὁ Κύριος ἡμῶν ἀνέστη. 371. κγ΄. 372. Διαρκέσει γινομένη ἐπὶ μακρὸν διάστημα χρόνȣ. 372. θ΄. Ἴσως δὲ καὶ ἀπέραντος ἔσαι διὰ παντὸς τȣ͂ αἰῶνος ἡ Κρίσις τοῖς ἁμαρτωλοῖς. Αὐτ. λ΄. Ἐν αὐτῇ καὶ οἱ ἀσεβεῖς ἀναστήσονται ἐπὶ τῷ κριθῆναι. 374. κέ. 375. Ἐν αὐτῇ οἱ πάντες τȣ̀ς πάντας γνωριȣ͂μεν ἀκριβῶς. 375. ζ΄.

Κριτὴς μόνος καθιεῖται ὁ Κύριος ὡς ἄνθρωπος, ȣ̓δεὶς δὲ αὐτῷ συνεδριάσει. 373. ις΄.

Κτίσις εἰς ἀφθαρσίαν μεταστοιχειωθήσεται. 210. — 216. Κτίσιν ἄλλην ἐκ τȣ͂ μὴ ὄντος ἐν τῇ συντελείᾳ παραχθησομένην ὑπὸ τȣ͂ Θεȣ͂, τοπάζει ὁ Βρυέννιος ἐκ τῆς Ἀποκαλύψεως. 214. ιβ΄. — 216.

Κυπρίων Ἐκκλησία τὴν αὐτονομίαν ἑαυτῆς προδȣ͂σα τοῖς Λατίνοις. 1. ις΄. 2. λ΄. Πρὸ ἐτῶν διακοσίων τεσσαράκοντα πρὸ τȣ͂ Βρυεννίȣ. 4. κθ΄. Κυπρίων ὁμολογίας λατινισμȣ͂ τύπος. 6. ά. Ἐξέτασις τȣ́των ὑποψηφίων ὄντων εἰς τὸ ἐπισκοπῆσαι, γινομένη αὐτοῖς παρὰ Λατίνων. 6. κδ΄. 7. Ὅρκος. 7. ί. Τελεσιȣργία ἐπὶ τȣ́τοις. 7. κ΄. Χειροτονίαι Κυπρίων ἄθεσμοι, καὶ Ἱερȣργίαι παράνομοι. 8. ιθ΄.

Κωνσαντινȣ́πολις ἑπτάλοφος, καὶ ἑπτὰ θεάμασιν ὑπὸ τῶν κατὰ καιρȣ̀ς βασιλευσάντων καλλωπισθεῖσα. 197. γ΄. Τȣ͂ ἀνάλωτον αὐτὴν μέχρι τέλȣς σωθήσεσθαι, μάτην ὁ Βρυέννιος προεφήτευεν. 406. ιέ. 407. Τρίμηνον πολιορκηθεῖσα, καὶ τῇ ἀντιλήψει τῆς Θεοτόκȣ ῥυσθεῖσα. 410. ιζ΄. Πολιορκȣμένης ὑπερμαχȣ͂σα ἡ Παρθένος ὤφθη τοῖς πολεμίοις ἐπὶ τῶν ἐπάλξεων. 410. ιζ΄. 411.

## Λ.

Λίθος τὶ ἐστίν; 323. κή.

Λόγος ὁ προφορικὸς ἀπὸ ἐνδιαθέτου, παράδειγμα τῆς τοῦ ἀναλλοιώτου καὶ ἀτρέπτου Θεοῦ καὶ Λόγου μετὰ τοῦ τρεπτοῦ καὶ παθητοῦ σώματος συναφείας. 105. κβ'. Ὁ διὰ ζώσης φωνῆς προφερόμενος τοῦ ἐν χάρτῃ γεγραμμένου μᾶλλον δραστήριος. 386. ή.

ΛΟΓΟΥ ΘΕΟΥ ἡ ἐπιδημία ἄνευ τόπου μεταβάσεως, καὶ δίχα τροπῆς ἡ ἐνσάρκωσις. 233. ς'.

Λογισμοὶ κακίας ἑπτὰ, ὑπὸ ἑπτὰ ἀρετῶν ἀντιθέτων ἀφανιζόμενοι. 200. κς'.

Λύπη οὐκ ἔσται τοῖς Ἁγίοις ὑπὲρ τῶν οἰκείων ἐν τῇ Κρίσει ἀπαχθησομένων εἰς κόλασιν. 392. ιβ'.

Λύρα ἑπτάχορδος. 195. κβ'.

Λυχνίας ἐπαρυστρίδες ἑπτὰ παρὰ τῷ προφήτῃ Ζαχαρίᾳ. 198. ιδ'.

## Μ.

Μαθημάτων εἴδη ἑπτά. 195. λά. Μάθημα ἄριστον τὸ ποῖον; 326. ή.

Μακκαβαῖοι παῖδες ἑπτά. 199. ις'.

Μαρία ἡ τοῦ Θεοῦ ἡμῶν Μήτηρ, μόνη γυναικῶν προεκλεχθεῖσα. 58. κγ'. 152. κ'. Διατὶ παραμυθίας τινὸς οὐκ ἤκουσεν ὑπὸ τοῦ Υἱοῦ αὐτῆς ἐν τῷ σταυρῷ κρεμαμένου; 81. λά. 82. Οὐδὲ μήτηρ, ἀλλὰ γυνὴ ὠνομάσθη. 82. γ'. Ὑπὲρ ἅπαντας τοὺς ἁγίους κατ' ἐξοχὴν τιμητέα. 146. ις'. Ὅτι καὶ πάντων τῶν κτισμάτων ἀσυγκρίτως ὑπερτέρα τῇ χάριτι. 146. λ'. 147. Διατὶ ἐκ στειρωτικῆς νηδύος γεννᾶται. 152. κή. 153. Διατὶ ἐξ Ἑβραίων, ἐξ ὀσφύος τοῦ Ἰωακεὶμ, καὶ τῶν λαγόνων τῆς Ἄννης; 153. κέ. 154.

154. Μαρία Κυρίαν σημαίνει. 154. θ΄. Ἀνατρέφεται εἰς τὰ Ἅγια τῶν Ἁγίων. 154. ιή. Ἐπιτηδεύματα αὐτῆς ἐκεῖσε ἀνατρεφομένης. 155. ς΄. Ὑπηρέται. Αὐτ. θ΄. Τρισὶ τρόποις ἄξιον αὐτὴν τιμᾶσθαι. 411. ί.

Μαρία ἡ τοῦ Κλωπᾶ, ἀδελφὴ τῆς Μητρὸς τοῦ Κυρίου ὅπως; 78. β΄.

Μαρία ἡ Μαγδαληνὴ εὐγνώμων τῷ Διδασκάλῳ Χριστῷ. 79. κέ. 80.

Μαρτύριον χωρὶς αἵματος. 87. λ΄. — 90.

Ματὴν τὶ ἐστίν; 324. έ.

Μεγαλοπόλεις ἐπὶ γῆς πάλαι τίνες; 274. ιθ΄.

Μέθοδος τὶ ἐστίν; 325. λ΄.

Μελέτη τὶ ἐστίν; 325. λδ΄.

Μέλλω τὸ ῥῆμα σημαίνει ἑπτά. 317. ζ΄.

Μεσίου ἡ ἔλευσις πρὸς ἁπάντων τῶν Προφητῶν προκεκήρυκτο. 168. ιέ.

Μεσιτεία τις ἔσται ἐν ἡμέρᾳ τῆς Κρίσεως, οὐ μὴν ὑπὲρ πάντων. 391. κέ. 392.

Μέταλλα ἑπτά. 192. κδ΄.

Μετάνοια μὴ εὐπρόσδεκτος ὁποία; 100. ιή. Ἐν ψιλῷ προσχήματι, κενή. 265. κθ΄. 266.

Μιχαὴλ Ἄρχων τοῦ τῶν Ἑβραίων λαοῦ. 156. ί.

Μνήμη μετὰ χρηστῆς ἐλπίδος τῶν ἐν τῷ πολέμῳ ὑπὲρ τῆς πίστεως πιπτόντων. 424. ή. 425.

Μνήμη τῶν προαπελθόντων γνωρίμων ὠφέλιμος. 223. ζ΄. 224.

Μνημόσυνον ὑπὲρ τῶν ἐν τῷ πολέμῳ πεσόντων, κατ' ἐνιαυτὸν ἐν τῷ τῆς ἁγίας Σοφίας Ναῷ ἐπιτελεῖσθαι, ὁ Βρυέννιος συνεβούλευε. 426. δ΄.

Μόρια ἐπιτατικὰ ἑπλά. 193. λέ.

Μȣσικὴ δυσὶν ἑπλαχόρδοις συνιςαμένη. 195. κβ΄.

Μῦρα ὑπερφυῶς ἐκβλύζοντα. 35. κέ.

Μυρίκη τὸ δένδρον ἀφ᾽ ȣ̂ ὁ Ἰȣ́δας ἀπήγξατο. 72. λ΄.

Μυςήρια τῆς Ἐκκλησιαςικῆς Ἁγιαςείας ἑπλά. 198. ιϛ΄.

Μυςήρια τῆς Οἰκονομίας πιςευτέα ἑπλά. 198. ιθ΄.

Μυςηρίων ἀπέχεσθαι, ἢ ἀναξίως μεταλαμβάνειν. 263. κζ΄. 272. ζ΄.

Μωάμεθ πρὸς ἡδονὴν νομοθετήσας πολλȣ̀ς ἐξαπατῆσαι ἴσχυσεν. 46. κζ΄. 47. Τίνι ἔλθȣσιν τȣ́τȣ τὶ ὅτι Θεὸς ȣ̓κ ἐκώλυσεν; 103. λ΄.

Μωσῆς ἕβδομος ἀπὸ Ἀβραάμ. 197. ή.

Μωσῆς τις θεήλατος ἐπὶ Βρυεννίȣ πολλȣ̀ς ἔργον μαχαίρας ἐποίησεν. 426. ιή.

N.

Ναȣ̀ς εἰς τȣ̀ς Ἱερȣ̀ς καθ᾽ ἑκάςην παραβάλλειν πίςεως σημεῖον. 426. κέ. — 440.

Νεεμὰν ἑπλάκις λȣθῆναι ἐν τῷ Ἰορδάνῃ κελεύεται. 198. ιά.

Νεκρȣ̀ς ἐξανέςησεν ὁ Κύριος τρεῖς. 355. έ.

Νηςεία ἡ τῶν ὀρθοδόξων ἑβδομάσιν ἐκτεινομένη ἑπλά. 200. κέ.

Νόημα, λόγος, καὶ πρᾶξις, τὰ τρία ταῦτα σώζει, ἢ ἀπόλλυσι τὸν ἄνθρωπον. 386. ιθ΄.

Νοσȣ̂σιν ἡ ἑβδόμη κρίσιμος. 195. δ΄.

Νȣ̂ς ὑπερέχων πασῶν τῶν ἐν ἡμῖν δυνάμεων. 67. ιέ. Τί ἐςίν; Αὐτ. κ΄. Καὶ 327. ιβ΄. Ἡλίκος τὸ δραςήριον. 67. κγ΄. 68. Ὁ Σοφὸς τίσιν ὅμοιος; 196. ιζ΄. Νȣ̂ πέρι, καὶ τῶν περὶ τὸν Νȣ̂ν ὑποθῆκαι. 330. λ΄. — 340.

340. Νῦν ταῖς περιτῖαις ἀκολεῖσθαι προόδοις ἐκ ἑατέον. 342. κέ.
Νῶ τί ἐςίν; 325. ς'.
Νὺξ τί ἐςίν; 325. γ'.
Νυχθήμερον τί ἐςίν; 325. ά.
Νῶε σημάντρῳ ξυλίνῳ συγκαλῶν τὰ ζῶα ἐν τῇ Κιβωτῷ. 429. ά.

## Ξ.

Ξένοι ἐπὶ γῆς ἐσμὲν καὶ πάροικοι. 39. ἑχ. 40.

## Ο.

Ὀδόντων ἀποβολὴ ἐν ἔτει τῷ ἑβδόμῳ. 195. ί.
Οἰκονομία δευτέρα τις δημιεργία ἐςίν. 49. ή. Ἡ ὑπὲρ τῆς σωτηρίας ἡμῶν γενομένη ἀνεξιχνίαςος καὶ ὑπερκατάληπῖος. 96. λβ'. — 98. Τῶν τȣ̃ Θεȣ̃ ἔργων τὸ θειότατον. 166. κς'. Πρὸς πίςωσιν αὐτῆς ἐπιλά τινα ἐπιζητȣ́μενα. 167. ις'. — 171. Καὶ 200. ιβ'. Λόγοι εἰκότες παριςῶντες ὡς ȣ̃τως ἔδει γενέσθαι καθὰ καὶ γέγονεν. 180. ά. Οἰκονομία τῆς Δημιȣργίας θαυμασιώτερον. 230. λ'. 231. Ἡ οἰκονομία προδιατέτακται ὑπὸ τȣ̃ Θεȣ̃, πρὶν ἢ παραχωρηθῇ τȣ̃ Ἀδὰμ τὸ ὀλίσθημα. 303. ς'. Οἱ περὶ αὐτὴν ποικίλως κακοδοξήσαντες μάταιοι. 306. λδ'. 307.
Οἰκονόμοι τετάγμεθα εἶναι ὧν ἔχομεν. 42. γ'.
Ὅλον καὶ τέλειον τί ἐςίν; 325. κά.
Ὅμηρος τὴν ἀνθρώπων γενεὰν φύλλοις εἰκάζων πίπτȣσιν. 296. ιθ'.
Ὁμόνοια ἔςι πολλάκις κακὴ, ὥσπερ καὶ καλὴ διαφωνία. 15. ιέ.
Ὄναρ ἡμῖν ὁ βίος κατὰ τὸν Χρυσόςομον. 288. ιζ'.

Ὁράσεως ἀντικείμενα δὶς ἑπτά. 193. ιέ.

Ὀρθοδοξία τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχεται. 3. λγ΄. Ὀρθοδοξία ἐν γένει τί ἐστίν; 29. κς΄.

Οὐρανὸς πόλοις κοσμεῖται ἑπτά. 192. ή. Οὐρανὸς τί ἐστίν; 224. ί. Καὶ 323. γ΄.

Οὐσία, ὑπόστασις, ἐνέργεια ἐπὶ Θεοῦ ἄλλο καὶ ἄλλο 113. κέ. — 115. κζ. Οὐσία Θεοῦ ἀνώνυμος, ἀπὸ δὲ τῶν ἐνεργειῶν Θεὸς ὀνομάζεται. 116. κή.

## Π.

Πάθος τὸ τοῦ Κυρίου κατὰ μνήμην οἱ Ἅγιοι φέροντες διὰ βίου διετέλουν θρηνοῦντες. 74. ιά. Πάθους τοῦ Κυριακοῦ τὰ σύμβολα ὁ ἠγαπημένος ἡμῖν ἀπεθησαύρισε μαθητής. 87. ά. Καὶ τῷ Ἀδελφοθέῳ ἀπερχόμενος εἰς τὸ κήρυγμα παρακατέθετο. Αὐτ. Πάθος δόξα τῷ ὑπὲρ ἡμῶν αὐτὸ ὑπομείναντι. 178. β΄. 179. Παθῶν διατὶ μετὰ τοσούτων καὶ τοιούτων ἡμῶν ἡ σωτηρία; 183. κβ΄. Καὶ 308. έ. 309. Παθήματα ἡμῶν ὁ Κύριος ὑπέστη παρὰ πάντα τὸν αὐτοῦ βίον. 319. δ΄.

Παιδεία ὠφέλιμος. 418. κ΄. 419.

Παῖδες ἐν ἔτεσι δὶς ἑπτὰ σπερμαίνουσιν. 195. ιά.

Παῖδες οἱ ἐν Ἐφέσῳ ὑπνώσαντες ἑπτά. 199. κ΄.

Παίδευσις τί ἐστίν; 327. έ.

Πάλαι τί ἐστίν; 325. ί.

Πάπας οὐδὲν πλέον παρὰ τῶν Ἀνατολικῶν ἐπὶ Βρυεννίου ζητῶν, ἢ ἅγιος καλεῖσθαι, καὶ κοινωνίας ἀξιοῦσθαι. 2. ιή.

Παραγωγῆς ἀνθρώπου τρόποι τρεῖς· κατὰ πλάσιν, κατὰ λῆψιν, κατὰ συνάφειαν. 54. κ΄.

Παράδεισος τί ἐστίν; 323. ιβ΄.

Παραλυτικοὺς συνέσφιγξεν ὁ Κύριος τρεῖς. 355. έ.

Παρασκευὴ ἡ μεγάλη φρικωδεστέρα πασῶν τῶν ἡμερῶν τοῦ αἰῶνος. 166. ιβ΄.

Παρθένος ἀειπάρθενος. 236. λ΄. 237.

Παροιμίαι ἐπὶ ἀδυνάτου. 4. κ΄.

Πατριάρχαι Κωνσταντινουπόλεως εἴκοσι καὶ δύο, ἀπὸ τοῦ λατινισμοῦ τῶν Κυπρίων ἄχρι τῶν χρόνων Βρυεννίου. Βασιλεῖς δὲ δέκα ἑπτά. 4. λ΄.

Παῦλος δυσὶν Ἀποστόλων ἑπτάσι τὴν Ἐκκλησίαν κατακοσμεῖ. 108. λς΄. Τούτου ῥῆσις „Ὅταν παραδῷ „τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ, κτ. ἀναπτύσσεται. 397. ζ΄. 398. θ΄.

Πειρασμῶν ἐπισκηπτόντων δέον εὐχαριστεῖν. 109. κς΄. Ἅπασιν ὠφέλιμοι οἱ πειρασμοί. Αὐτ. λ΄. — 111. Πολλοῦ παρὰ τῷ Θεῷ ἠξίωνται λόγου. 205. λά. Πειρασμοῖς καὶ ὁ Σωτὴρ εὐθὺς ἐξ ἀρχῆς συνεπλάκη. 206. ά. Τούτοις καὶ Ἀπόστολοι, καὶ Μάρτυρες ἐξητάσθησαν. Αὐτ. λ΄. Καὶ Ἀσκηταί. 207. δ΄. Πειρασμοὶ ἐξ ἀναδοχῆς. 418. β΄.

Πεῖρα τί ἐστίν; 325. κζ΄.

Πελοποννησιακοῦ ἰσθμοῦ ἡ διατείχισις ἐπὶ Βρυεννίου γενομένη. 280. ιή.

Πένητες διατρεφόμενοι, ἐπάλξεις εἰσὶ τῶν πόλεων ἀναλαμβανόμεναι. 281. ιθ΄.

Περιφορὰ τί ἐστίν; 324. ιζ΄.

Πέτρος ὁ Ἀπόστολος δημηγορῶν ἐξ ἀρχῆς ὅσον εἵλκε πλῆθος εἰς τὴν εὐσέβειαν; 354. λς΄. 355.

Πιστεύειν οὐ δέον μόνα, ὅσα καὶ καταλαβεῖν ἐστίν. 98. ι. Οὐδεὶς πιστεύων τὴν ἀνθρώπου πλάσιν ἐκ γῆς γεγονυῖαν, ἀπιστήσει περὶ τὴν ἐκ τῆς Παρθένου ἀνάπλασιν. 51. κδ΄. — 55.

Πίστις

Πίςις ἡ ἀληθὴς τίσι τεκμηρίοις διαγιγνώσκεται; 27. — 29. Ἡ τῶν χριςιανῶν οὐκ ἐν Ἀποδείξει, ἀλλ' ἐν τῷ ὑπὲρ ἀπόδειξιν εἶναι τὸ πιςὸν ἔχει καὶ βέβαιον. 49. κά. Καὶ 97. κζ΄. 98. Ταύτης τὰ μυςήρια ὑπὲρ ἀπόδειξιν. 151. κς΄.

Πλάνητες ἑπτά. 192. ιζ΄. Τίσιν ἀναλογοῦσιν; Αὐτ. κζ΄.

Πλάσις ἡ πρώτη ἐκ γῆς παρθένου, ἐκ Παρθένου δὲ γυναικὸς ἡ ἀνάπλασις. 145. ιγ΄.

Πλειὰς ἑπτάςερος. 192. ις΄.

Πλόῳ ἐξεικάζεται ἡ τῶν σωτηρίων παθῶν ἀφήγησις. 69. ις΄. 70.

Πνευματικοὶ χρυσοῦ πωλοῦντες, Φεῦ! τὸ μυςήριον, καὶ τῆς καταςροφῆς τοῦ ἡμετέρου γένους παραίτιοι γινόμενοι. 252. κζ΄. 253. 254. — 256. 257. — 259. 260. — 266.

Πνεῦμα τὸ χάρισμα καλεῖται τοῦ Πνεύματος. 127. κθ΄.

Ποιναὶ αἱ ὑπὸ Θεοῦ ἐπαγόμεναι, ἄντικρυς εὐεργεσίαι. 417. ιζ΄. 422. κζ΄. 423.

Πόλεως τῆς Κωνςαντίνου ἔπαινος. 273. κά. 274. — 276. Προτροπὴ εἰς τὴν αὐτῆς ἀνάκτισιν. 276. κς΄. 277. — 281. Ἐπὶ τῇ ταύτης ἀπολυτρώσει πρόοδος λαμπρὰ τῆς εἰκόνος τῆς Θεοτόκου. 409. κή. 410.

Πρᾶξις τί ἐςίν; 327. έ. Πράξεως πέρι καὶ Θεωρίας ὑποθῆκαι. 327. ιέ. — 330.

Προβάτοις διατὶ εἰκάζονται οἱ δίκαιοι, ἐρίφοις δὲ οἱ ἁμαρτωλοί. 366. δ΄.

Πρόγνωσις ἡ θεία οὐκ ἀναιρεῖ τὸ αὐτεξούσιον. 317. κβ΄.

Προδρόμου τοῦ Ἰωάννου ἑορτάσιμοι μνῆμαι ἑπτά. 199.
347 λβ΄. Διατὶ Πρόδρομος ὠνόμασαι; 327. κ΄.

Προνοία οὐκ ἐγκλητέον ὅτι τόδε, καὶ μὴ τόδε ποιεῖ. 415. λά.

Πρότε-

Πρότερον τί ἐςί; 325. ιδ'.

Πρόσωπον τὸ τῦ Χριςῦ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἁμαρτωλοῖς καὶ δικαίοις διαφόρως θεαθήσεται. 396. κδ'.

Προφῆται ἑπλὰ δεκάκις ἐξαίρετοι τὸν Χριςὸν ἐκήρυξαν. 199. θ'. Προφῆται παρῳχημένοις χρώμενοι χρόνοις εἰς δήλωσιν τῶν μελλόντων. 363. δ'.

Πῦρ τί ἐςίν; 323. ιγ'.

Πῶς, ἐν τοῖς ἀποῤῥήτοις δόγμασιν ὐκ ἔχει χώραν. 139. λδ'. 140. Πῶς ἡ τῦ Λόγυ ἐν σαρκὶ σύλληψις, ὐκ ἔςιν εἰπεῖν. 242. δ'.

Ρ.

Ῥητορικὴ τί ἐςίν; 326. ιδ'. Ταύτης αἱ γενικώταται ἰδέαι ἑπλά. 194. ιέ.

Ῥύσεις ἐνυπόςατοι ἐξ ἡμῶν δύο, μία μολύνυσα, καὶ μία ἁγιάζυσα· ἡ σπορὰ καὶ τὸ δάκρυον. 360. γ'.

Ῥωμαίων ἔθνει τῷ ἡμετέρῳ, διατί ἔφθασεν ἡ συντέλεια; 104. ιγ'.

Σ.

Σαμψὼν σειραῖς ἑπλὰ τὴν κεφαλὴν κοσμύμενος, καὶ ἑπλὰ καλωδίοις δεσμύμενος. 197. ιά.

Σελήνη ἐν ἡμέραις τετράκις ἑπλὰ περιοδεύυσα, ἑπλὰ ἀποπεραίνει χηματισμύς. 192. ιβ'. Σελήνη τί ἐςίν; 323. ή.

Σὴθ γεννᾶται τῇ Εὔᾳ ἀντὶ Ἄβελ, Χριςὸς δὲ τῇ Παρθένῳ ἀντὶ τῦ Ἀδάμ. 238. ιά.

Σιγᾶν ὐ χρὴ ἐπὶ τῶν παρανόμως γινομένων. 266. λγ'. 267. Οὐδὲ μακροθυμεῖν προδιδόντας τὴν ἀλήθειαν. 269. ς'.

Σκεῦος τὸ τῦ ὄξυς προητοίμαςο τοῖς ςαυρώσασι τὸν Κύριον κακέργοις. 84. ά.

Σκιωὴ ἡ τῦ Μαρτυρίυ ἐν μησὶν ἑπ͂ὰ κατασκευαθεῖσα. 197. κά.

Σκότος τὶ ἐςίν; 325. δ΄.

Σολομῶντος ὁ Ναὸς ἐν ἑπ͂ὰ ἔτεσιν οἰκοδομηθεὶς, καὶ μησὶν ἑπ͂ά. 197. κβ΄.

Σοφία τὶ ἐςίν; 326. λβ΄.

Στάσεως τόποι δύο ἐν τῇ Κρίσει. 365. λά. 366.

Σταυρῦ ὁ τύπος διὰ πολλῶν προβαλλόμενος. 299. ζ΄. Τῷ τύπῳ τύτῳ καὶ τὰ θαύματα πάντα ἐγένετο. 300. ιή. Καὶ τὰ μυςήρια τελεῖται. 301. ιγ΄. Συνεχῶς αὐτὸν ἐπιγράφομεν. 301. κ΄. Τύτῳ καὶ Βρυέννιος εἰώθει πρὶν ἄρξαθαι τῦ λόγυ, ὅλοντε αὐτῦ τὸ σῶμα σημειῦν, καὶ ἰδίᾳ τὴν κεφαλὴν, καὶ ἰδιαίτερον ἔτι τὸ ςόμα. 301. λέ. 302. Σταυρῦ πρῶτον τὸ σημεῖον φανήσεται ἀπ᾽ ὀρανῦ καταβαῖνον ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως. 373. ά.

Σταύρωσιν τὰ περὶ τὴν τῦ Κυρίυ γενόμενα θεωρεῖται. 310. κζ΄. — 312. Διατὶ ἔαρος ἡ Σταύρωσις, καὶ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ. 312. ιβ΄.

Στρατιώτης νύτλει λόγχῃ τὴν τῦ Κυρίυ πλευρὰν, ἀπιςῶν, καὶ ἀποπειρώμενος, εἰ ἄρα τέθνηκεν. 86. ί.

Συγγενέσι πότε ἀποτακτέον, καὶ πότε ὀχί; 80. κή. 81.

Συγγραφέων τοῖς ἐνδοξοτάτοις πιςεύειν εἰώθαμεν. 283. κέ.

Συγκατάβασις πρὸς τὸς πταίοντας ἄτοπος καὶ ψυχώλεθρος. 263. κά. — 265.

Συγχώ-

Συγχώρησις οὐχ ἡγεῖται τῆς διορθώσεως. 240. ιθ΄.

Σύλληψις Θεοῦ ἐν σαρκὶ, μυστήριον ἀνερμήνευτον. 235. λβ΄. 236.

Συλλογισμῶν οἱ τρόποι δὶς ἑπτά. 194. ιζ΄.

Σύνοδος τί ἐστίν; 5. κά. Σύνοδοι Οἰκουμενικαὶ ἑπτά. 199. ή.

Συντέλεια πότε ἔσται, ἄδηλον καὶ τοῖς Ἀγγέλοις. 191. ά. Καὶ 216. ις΄. Ἐγγύς ἐστὶ καὶ ἐπὶ θύραις. Αὐτ. γ΄. Καὶ 192. Ἡ μὲν κοινὴ, ἡ δὲ ἰδία ἑκάστου. 202. κθ΄. Ἑκατέραν δὲ ἡμῖν συμφερόντως ἀπέκρυψεν ὁ Θεός. 203. ζ΄. Ἀπώλειαν ταύτην καὶ ἀφανισμὸν ἔσεσθαι τοῦ παντὸς, οὐ καλῶς τινες ἐνόμισαν. 209. ί. Πλὴν ἀλλοίωσις ἔσται τῶν ὄντων, οὐκ ἀπώλεια. 210. ά. — 212. Συντέλεια ἡ παντὸς καλοῦ, τὴν συντέλειαν τοῦ κόσμου ἐγγίζειν τεκμήριον δίδωσιν. 216. ζ΄. 217. Ὁμοίως δὲ καὶ ἡ παντὸς ὄντος ἐν μέρει συντέλεια, τὴν ἐσομένην τοῦ ὅλου πιστοῦται. 217. κγ΄. Ἐγγὺς δ' ἔσεσθαι, καὶ ἄλλως δείκνυται. 218. 219. Ὅτι μετὰ τὸν ἕβδομον αἰῶνα ἐν τέλει τοῦ ἔτους, τῇ τελευταίᾳ τοῦ δωδεκάτου μηνὸς, τῆς ὑστάτης νυκτὸς ὥρα ἑβδόμη. 218. ιά. Πολλοὶ φασὶν ὅτι συντέλεια οὐκ ἔσται, ἐὰν μὴ ὁ τῶν ἐκλεκτῶν ἀριθμὸς πληρωθῇ. 219. θ΄.

Σφαῖραι ἑπτὰ περὶ τὴν γῆν, ὡς περὶ κέντρον, παρὰ τὰς τῶν πλανητῶν. 195. κδ΄.

Σώματος τοῦ ἀνθρωπίνου μέρη ἑπτὰ τὰ ἐκτός. 192. λδ΄. Καὶ τὰ ἐντός. 193. ά.

Σωτηρία διὰ ψιλοῦ ἀνθρώπου οὐχ οἷόν τε ἦν γενέσθαι. 240. κθ΄.

## Τ.

Τάλαντα τὰ ἡμῖν παρὰ Θεοῦ δοθέντα τίνα; καὶ ὅπως αὐτοῖς χρηστέον; 42. ιβ΄. — 44.

Ταπεινώσεως πέρι. 63. κή. — 65.

Τελειότης χριστιανισμοῦ ἡ ἀγάπη. 424. ά.

Τελῶναι ἐμαθήτευσαν τῷ Χριστῷ τρεῖς. 355. δ΄.

Τελώνια αέρος, ἐξετάζοντα τοὺς κριθησομένους ἐν τῇ κρίσει, οὐ παρέσαι. 389. ιθ΄.

Τετέλεσαι· τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου ἐπὶ τοῦ Σταυροῦ, ὅπως νοητέον. 85. β΄.

Τέχνη τὶ ἐστίν; 325. λβ΄.

Τόπος τὶ ἐστίν; 324. ς΄.

Τόποι ἀναπαύσεως ἡτοιμασμένοι τοῖς Ἁγίοις. 377. κθ΄. τόπος ὁ τῆς κολάσεως, ὅπου; 378. κδ΄.

Τριγώνων εἴδη ἑπτά. 195. ιθ΄.

Τύχη τί; 324. γ΄.

## Υ.

Ὕδωρ τὶ ἐστίν; 323. ιή. Τὸ τοῦ Βαπτίσματος, καὶ τὸ τοῦ Ἁγιασμοῦ τῶν Θεοφανίων, χρόνῳ τηρούμενα πολλῷ, οὐκ ἀποζέει. 34. κή. Διατὶ δι᾽ ὕδατος ἡ τῶν ἀνθρώπων κάθαρσις; 355. λγ΄. 356.

Υἱὸς ἐν τῇ Τριάδι διατὶ μόνος σαρκοῦται; 58. δ΄. Υἱὸς καὶ ὑπὸ τοῦ Πατρὸς πεμπόμενος, καὶ ὑπὸ τοῦ Πνεύματος, οὐχ ὡς ἄνθρωπος, ἀλλ᾽ ἢ Θεός. 234. ιδ΄. 235. Υἱὸς διατὶ τοῦ ἀνθρώπου καλεῖται; 241. ή. Υἱὸς ὁ τοῦ ἀνθρώπου ἐλεύσεσθαι εἰς κρίσιν προλέγεται, τὶ μὴ ὁ τοῦ Θεοῦ; 364. κς΄.

Ὕλαι τρεῖς, ἐξ ὧν, ἄλλοτε ἄλλης, συνέστη ἄνθρωπος· πηλὸς, πλευρὰ, σπέρμα. 54. ιζ΄. Ὕλη τὶ ἐστίν; 323. λέ.

Ὑπάν-

Ὑπάντησις ἐν τῇ Κρίσει τῶν πάντων ἐν τάξει. 373. λβ'. 374.
Ὑπολήψεις τινὲς ἐπισφαλεῖς πολλῶν περίτε τὰ θεῖα καὶ τὰ ἀνθρώπινα. 29. λδ'. — 33.
Ὑποςατικῆς ἑνώσεως ἐπὶ τῦ ἐνανθρωπήσαντος Θεῦ καὶ Λόγυ παραδείγματα. 59. ζ'. Ὁ μαργαρίτης, ὁ λίθαξ, ἡ πορφυρα, ὁ ἥλιος. 60.
Ὑποταγὴ τῦ Υἱῦ τῷ Πατρὶ κατὰ τὸν Ἀπόςολον ὁποία; 398. κβ'. 399.
Ὕσωπον βοτάνη ὁποία τις; 84. λά.
Ὕςερον τὶ ἐςίν; 325. ις'.

## Φ.

Φαντασίαι φαντασίαις ἀντιτιθέμεναι, αἱ ἀληθεῖς ταῖς ψευδέσι, τὸ ἄλυπον τῷ βίῳ προσεμποιῦσι. 416. θ'. 417.
Φαραὼ δὶς ἑπτὰ βόας, καὶ δὶς ἑπτὰ ςάχυας κατ' ὄναρ ἰδών. 197. θ'. Ἐπ' αὐτῦ ἔτη ἑπτὰ ὁ λιμὸς ἐκράτησαν. Αὐτ.
Φαρμάκυ ἀλυπίας κατασκευή. 296. λά.
Φήμη ἡ τῶν χειρόνων εἴωθε μετὰ προθήκης ἀγγέλλεσθαι· ἡ δὲ τῶν ἀγαθῶν μεθ' ὑφέσεως. 12. κθ'.
Φθινόπωρον τὶ ἐςίν; 324. λά.
Φθίσις τὶ ἐςίν; 324. ιδ'.
Φθόνος ἐν τοῖς ἀνομοιοτέχνοις ὐ χωρεῖ. 259. λά. 260. Οὐδεὶς ἔςαι τοῖς δικαίοις ἐν τῇ ἀπολαύσει. 393. ιά.
Φθορὰ τὶ ἐςίν; 324. ιβ'.
Φιλοσοφία τὶ ἐςίν; 326. κή.
Φορὰ τὶ ἐςίν; 324. ιζ'.
Φρόνησις τὶ ἐςίν; 326. ι.

Φρόνιμον, ἢ ἅγιον εἶναι, ὐδὲν, ἢ μικρὸν διαφέρει τῦ Φρονίμῳ, ἢ ἁγίῳ ἕπεσθαι. 341. ιβ΄. Φρόνιμοι τίνες παρὰ τοῖς πολλοῖς; 341. κθ΄. 342. Τὶς δ' ὁ Φρόνιμος κυρίως; 342. δ΄.

Φύσεως ἡ τάξις ἐνήλλακται ἐπὶ τῆς τῦ Θεῦ Λόγυ ἐνανθρωπήσεως. 168. κβ΄. Φύσεως μὲν τὸ γεννᾷν ἐνεργείας δὲ τὸ ποιεῖν. 114. κή. Φύσεις δύο τέλειοι ἐπὶ τῦ ἑνὸς Θεανθρώπυ. 184. ς΄. Φύσις τὶ ἐςίν; 323. κθ΄. Φύσει, καὶ κατὰ φύσιν. Αὐτ. λά. Φύσει πρότερον. Αὐτ. λγ΄.

Φυτῶν διαπλάσεως πρωτότυπον ὁ ἄνθρωπος. 158. κβ΄. 159. ι. Φυτὸν τὶ ἐςίν; 323. κζ΄.

Φῶς τὸ ἐν τῷ Θαβὼρ ὅτι θεῖον καὶ ἄκτιςον. 133. θ΄. — 139. Τὸ φῶς τὶ ἐςί; 323. ιά.

X.

Χειμὼν τὶ ἐςίν; 324. λβ΄.

Χειρόγραφον τὸ καθ' ἡμῶν διὰ τῦ Κυριακῦ πάθυς ἐξαλείφεται. 182. κγ΄. 183.

Χρήσιμον τὶ ἐςίν; 326. ά.

Χριςιανοὶ ἑκατὸν εἴκοσιν οἱ πάντες τῦ Κυρίυ ἀναληφθέντος. 354. λγ΄.

Χριςὸς ὁ πρὶν ἱδρώσας ἐγγίσαντος τῦ πάθυς, καὶ ἀδημονήσας, ἐπὶ τῦ Σταυρῦ ἀταράχως πάσχει, καὶ ἀςενακτί· διατί; 82. ζ΄. Ἐφ' ᾧ σκοπῷ ἐλήλυθεν εἰς τὸν κόσμον. 93. λά.

Χρόνος ἀνακυκλέμενος ἑπταδικῶς. 194. λδ΄. Τύτυ σύμβολον ἡ ἑπτὰς παρὰ τοῖς πυθαγορείοις. 195. ιέ. Τὶ ἐςίν; 324. κά.

Χυμοὶ οἱ γεωργύμενοι ἑπτά. 193. ιζ΄. Ὁ ἁλυκὸς ὐ γεωργεῖται, ἀλλὰ γίνεται. Αὐτ.

τῶν ἐν τῇ βίβλῳ.

Χῶρος εἷς χωρήσει ἅπαντας ἐν τῇ Κρίσει. 375. λβ 376.

Ψ

Ψυχὴ ἡ ἡμετέρα ἡ ἐν ποικιλίᾳ δυνάμεων ἢ ἕξεων, ἢ ἐνεργειῶν, τὸ ἁπλοῦν τῆς φύσεως διασώζουσα 122, ιδ'. 123. ψυχαῖς ταῖς τῶν οἰχομένων ἕδραν ἀφωρισμένως δώσουσι πρὸ τῆς Ἐσχάτης Κρίσεως 392 κη'. 393.

Ω

Ὥρα ἑβδόμη ἀρχὴ τοῦ ἡμερονυκτίου 194 λα. Ὥρα τί ἐστίν; 324 κζ'.

Ὠριγένους σκραμήρημα 209 κθ.

ΤΕΛΟΣ.

# ΔΙΟΡΘΩΣΙΣ
# ΤΩΝ
# ΕΣΦΑΛΜΕΝΩΝ

| | | | | | |
|---|---|---|---|---|---|
| Σελ. 4 | Στίχῳ | κδ' | ἀγρόταις | γρ. | ἀγρώταις |
| 14 | — | θ' | ἐγκατλείψαι | " | ἐγκαταλείψει |
| 20 | — | ιβ' | Θεόδωρος δ' ἐσοὶ | " | Θεόδωρος δ' ἐσοὶ |
| 27 | — | ιγ' | μετ' αὐτὸν | " | μεθ' ἑαυτόν |
| 65 | — | ιη' | ἐν ἡμῖν | " | ἐν ὑμῖν |
| 70 | — | κ' | εἰσήκεσαν | " | εἰσήκεισαν |
| 71 | — | κγ' | ἀνέθημεν δὲ ἐφ' οὗ | " | ἀνέθημεν δὲ ἐφ' ἧς |
| 74 | — | ιγ' | ἀνεκύρυθη | " | ἀνεκηρύθη |
| 96 | — | θ' | ὅ ἄνθρωπος | " | ὁ ἄνθρωπος |
| 150 | — | κς' | ὑβρίσεις | " | εὑρήσεις |
| 162 | — | δ' | μηδαμηνέστερον | " | μηδαμινέστερον |
| 162 | — | λβ' | διάγγελε | " | διάγγελλε |
| 179 | — | ιη' | μόλωπας | " | μώλωπας |
| 182 | — | η' | ἀδύνατον | " | ἀδύνατος |
| 186 | — | ιη' | ὤφελον | " | ὄφελον |
| 192 | — | ιζ' | Πλοιὰς | " | Πλειὰς |
| | — | λα' | Ἀφροδίτη | " | Ἀφροδίτη |
| 197 | — | ιζ' | Δανὴλ | " | |
| 199 | — | κθ' | Ἐσθῆτος | " | Ἐσθῆτος |

Ἀλλὰ καὶ τὰ λοιπὰ ὅσα θέλοις ὁμοίως περιέπεσον ἑξῆς μέχρι τέλους τοῖς εὐγνωμόνως καὶ μετὰ προσοχῆς μετιοῦσιν εὐσύγγνωστα οὐχ ἧττον ἔσται ἢ εὐδιόρθωτα.

κ'. „Ἰωσὴφ Βρυεννίου λογική, καὶ ἀρχίζει· πόσοι ὅροι
τῆς φιλοσοφίας· καὶ τὸ χαρτὶ εἶν[αι]
βεββάμινο."

κα' τοῦ Βιβλίου Ἰακώβου μαρμαρέτου κολάζοντ[ος]
παρὰ Rich. Foersteri, de antiq. & libris ma-
nuscripti C/Politanis commentatio.
Rostochii (1877).

Ἰωσὴφ Βρυεννίου εἰς τὴν φιλοσοφίαν.
αὐτ. σ. 29

Βρυεννίου περὶ ἁρμονικῆς

Ἰωσὴφ Βρυεννίου θεολογικά.

" " φιλοσοφικά
αὐτ. σελ. 30

Ἐκ τῶν ἐν Ραιδεστῷ ὄντων βιβλίων.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000022460